Ἕτεροι δὲ τὰς μὲν τεσσαρισκαιδεκαταίας τοῦ πρώτου μηνὸς τῆς σελήνης ἀκινήτους ἐφύλαξαν κατὰ τὰς ἀναγεγραμμένας ἡμέρας τῶν δύο μηνῶν μαρτίου καὶ ἀπριλίου ἐν τῇ ἐκτεθείσῃ ἐννεακαιδεκαετηρίδι ὑπὸ τῶν πανευφήμων τῆς ἐκκλησίας διδασκάλων, D καὶ οὕτω τὸν κύκλον τῶν φλβʹ ἐτῶν ἀνέταξαν. καὶ περὶ μὲν τὴν ἁγίαν τοῦ πάσχα ἑορτὴν σύμφωνοι ηὑρέθησαν τῷ ἐκκλησιαστικῷ κανόνι, καθ' ὃν ἐπετέλεσεν καὶ ἐπιτελεῖ καὶ ἐπιτελέσει τὸ ζωοποιὸν πάσχα ἡ τοῦ θεοῦ ἐκκλησία· χρόνους δὲ παρέθεντο ἐν τῷ κύκλῳ τῶν φλβʹ ἐτῶν τούς τε ἀπὸ κτίσεως κόσμου τούς τε ἀπὸ τῆς ἐνανθρωπήσεως τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τούς τε ἀπὸ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως ἀσυμφώνους τῇ τε θεοπνεύστῳ γραφῇ καὶ τῷ ἐκκλησιαστικῷ κανόνι καὶ τῇ τῶν πραγμάτων φύσει· ᾧ τινὲς προσέχοντες περὶ μὲν τὴν ἁγίαν P 11 τοῦ πάσχα ἑορτὴν οὐ διασφάλλονται, ἀλλὰ συμφωνοῦσι τῇ καθολικῇ V 9 ἐκκλησίᾳ, περὶ δὲ τὰς ἄλλας ἑορτὰς τὰς τελουμένας ἐν

9. τεσσαρεσκ. P. 13. κύκλῳ V. *ibid.* μὲν om. P. 14. εὑρέθησαν P.

ris Patribus proposito descriptos, sed proprios Decemnovennales Cyclos confecere illi contrarios qui ab inspiratis a Deo Doctoribus sunt expositi; sicque Cyclos DXXXII. annorum composuerunt. Quibus quidam fidem adhibentes, regulam ignorantes Ecclesiasticam, frustra de salutari Paschate turbas saepius excitarunt, cum in sancta Dei Ecclesia vivificum Pascha erronee celebrari sibi in animum inducerent.

Alii vero quartas decimas primi mensis Lunae immobiles observarunt juxta descriptos duorum mensium dies, Martii et Aprilis, in Decemnovennali Cyclo ab praeclaris Ecclesiae Doctoribus exposito, atque sic in semet redeuntem DXXXII. Cyclum constituerunt. Et sane circa Paschalem sanctam festivitatem sanctae regulae consentire sunt deprehensi, secundum quem vivificum Pascha celebravit, celebrat, et celebrabit Dei Ecclesia. In Cyclo porro DXXXII. annorum, a mundo condito annos praeterea apposuere, et ab Incarnatione magni Dei et Servatoris nostri Jesu Christi, et ab ejus a mortuis resurrectione, qui a Deo inspiratae scripturae, et Ecclesiasticae regulae, ac rerum naturae minime consonant, cui dum quidam adhaerent, quoad Sanctum Paschatis festum non falluntur quidem, immo Catholicae Ecclesiae consentiunt, verum quoad alias

αὐτῇ σφόδρα πεπλάνηνται, οἷον Χριστοῦ γενέθλιον, ὅπερ ἀπλανῶς λίαν ἑορτάζει ἡ τοῦ θεοῦ ἁγία ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους δεκεμβρίου μηνός, ἔτι δὲ καὶ τὸν εὐαγγελισμὸν τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὃν καὶ αὐτὸν ἀνεπιλήπτως ἐπιτελεῖ ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἔτι μὴν καὶ τὸ γενέθλιον τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτι-
B στοῦ, ὅπερ ἐπιτελεῖ ὀρθῶς ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι τετάρτῃ τοῦ κατὰ Ῥωμαίους ἰουνίου μηνός, πρὸς τούτοις δὲ καὶ τὴν ἁγίαν ἀπάντησιν τοῦ σωτῆρος ἡμῶν θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ, ὅτε ὑπεδέξατο αὐτὸν ἐν ταῖς ἀγκάλαις ὁ δίκαιος Συμεών, ἣν ἑορτάζει ἀσφαλῶς ἡ τοῦ θεοῦ ἐκκλησία τῇ δευτέρᾳ τοῦ κατὰ Ῥωμαίους φεβρουαρίου μηνός. τοῖς οὖν ἀναγραψαμένοις τὸν οὕτω κατασκευασθέντα κύκλον τῶν φλβʹ ἐτῶν κατακολουθοῦντές τινες τῶν κουφοτέρων, καὶ ἀληθεύειν τούτους οἰόμενοι, λίαν τολμηρῶς καὶ προπετῶς καταμέμφονται τὰς ἁπανταχόσε ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐν ταῖς εἰρημέναις ἡμέραις τὰς μνημονευθείσας
C ἐπιτελοῦντας ἑορτάς.

Ἐπεὶ οὖν οὐχ ηὕρομεν ὑπό τινος ἀναγραφέντα ἑορταστικὸν κύκλον τῶν φλβʹ ἐτῶν διὰ πάντων συμφωνοῦντα τῇ θεοπνεύστῳ γραφῇ καὶ ταῖς ἀνεπιλήπτως τελουμέναις ἑορταῖς ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἀλλ' ἔγνωμεν ἐν μιᾷ ἢ καὶ ἐν πλείοσιν ἢ καὶ ἐν πάσαις ταῖς ἑορταῖς τῆς ἁγίας τοῦ θεοῦ

4. ἡμῶν om. P. 13. Φευρουαρίου PV. 18. ἐπιτελοῦντας] Conf. περιττευόντων ὡρῶν in circulo p. 13.

festivitates quae in ea celebrantur plurimum aberrant: veluti in Christi Nativitate, quam recte prorsus celebrat Sancta Dei Ecclesia xxv. die mensis secundum Romanos Decembris. Ita perinde in Annuntiatione sanctae gloriosae Dominae nostrae Dei Genitricis et semper Virginis Mariae, quam et ipsam inculpate celebrat Dei Ecclesia xxv. die mensis secundum Romanos Martii: praeterea in Nativitate Sancti Joannis Praecursoris et Baptistae, quam recte Dei Ecclesia xxiv. mensis juxta Romanos Junii celebrat. Praeterea in sancto Servatoris nostri Dei et Domini Jesu Christi Occursu, cum in ulnis eum excepit justus Simeon, quem recte celebrat Dei Ecclesia ii. mensis juxta Romanos Februarii. Ab hisce igitur descriptum ac sic compactum dxxxii. annorum Cyclum quidam ex simplicioribus secuti, ac veritati consonum illum esse arbitrati, audacter nimis ac temere sanctas ubique Ecclesias, a quibus, praedictis diebus memoratae peraguntur festivitates, reprehendunt.

Quandoquidem igitur nullum hactenus invenimus a quopiam descriptum dxxxii. annorum Paschalem Cyclum, qui a Deo inspiratae scripturae in omnibus concinat, ac festis quae in sancta Dei Catholica et Apostolica Ecclesia inculpate celebrantur, immo in uno, vel in pluribus, vel etiam in omnibus festis, sanctae Dei Ecclesiae minime esse consentaneos,

ἐκκλησίας ἀσυμφώνους καὶ ἐναντίους τυγχάνοντας καὶ ταραχὰς καὶ σκάνδαλα τοῖς τῆς εὐσεβείας τροφίμοις ἐμποιοῦντας τοὺς ὑπό τινων ἀναγραφέντας ἑορταστικοὺς κύκλους, ἀναγκαῖον ἡγησάμεθα ἀναγράψαι κύκλον ἑορταστικὸν ἐτῶν φλβʹ διὰ πάντων συνᾴδοντα ταῖς θεοπνεύστοις γραφαῖς καὶ ταῖς ἀπλανῶς μὲν παραδοθείσαις D ὑπὸ τῶν θεοφόρων πατέρων, ὀρθῶς δὲ τελουμέναις ἑορταῖς ἐν ταῖς ἁπανταχόσε ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἐντευξομένων ὠφέλειαν καὶ εἰρήνην καὶ ὁμόνοιαν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, φωτίζοντος ἡμᾶς τῷ φωτὶ τῆς γνώσεως καὶ παρέχοντος ἡμῖν λόγον ἀληθείας ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν πρὸς οἰκοδομὴν τῆς ἁγίας ἐκκλησίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, παρ᾽ οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον δίδοται πᾶσι τοῖς πιστῶς προσκυνοῦσιν αὐτόν.

Προτάξομεν δὲ τοῦ ἑορταστικοῦ κύκλου τῶν φλβʹ ἐτῶν τὴν P 12 κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου, ἥτις συναρξαμένη τῇ γενέσει τῶν φωστήρων, εἰς ἑαυτὴν διὰ παντὸς ἀνακυκλουμένη δηλοῖ τὰς ἐν ἑκάστῳ ἔτει ἐπακτὰς τοῦ ἡλίου, ἀποκαταστατικὴ τυγχάνουσα ἡμέρας μηνὸς ἡλιακοῦ καὶ ἡμέρας ἑβδομάδος καὶ ἔτους τετραετηρίδος βισέξτου. ἔτι δὲ καὶ τὴν ἔκθεσιν τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης δηλώσομεν, ἥτις καὶ αὐτὴ συναρξαμένη τῇ γενέσει τῶν φωστήρων, εἰς ἑαυτὴν διὰ παντὸς ἀνακυκλουμένη δηλοῖ ἐν ἑκάστῳ ἔτει τὴν κατὰ τὸν ἐκκλησια-

10. ἀληθῆ P.

interdum etiam contrarios advertimus, Paschalesque a quibusdam compactos Cyclos tumultuum ac scandalorum ansam praebere pietatis alumnis, operae pretium duximus Cyclum describere DXXXII. annorum a Deo inspiratis scripturis in omnibus consentaneum, et festivitatibus quae recte a Deiferis Patribus traditae sunt, et in sanctis Dei Ecclesiis recte ubique celebrantur, tum ad nostram ipsorum, tum ad eorum qui haecce legent utilitatem ac pacem, et ad sanctarum praeterea Dei Ecclesiarum concordiam: illuminante nos lumine cognitionis, et verum nobis praebente sermonem in apertione oris nostri ad aedificationem sanctae Ecclesiae magno Deo et Servatore nostro Jesu Christo, a quo omne donum bonum, et omne munus perfectum datur iis omnibus qui cum fide eum adorant.


Praefigemus porro annorum DXXXII. Paschali cyclo naturalem solis Vigintioctennalem Cyclum, qui sumpto una cum luminarium ortu exordio in semetipsum semper reflectitur, et singulis annis Epactas Solis indicat, cum apocatastatice sit diei mensis solaris, ac diei hebdomadis, et anni quadriennii Bisexti. Praeterea proponemus naturalem Decemnovennalem Cyclum Lunae, qui et ipse una cum ortu luminarium in semet semper recurrens, singulis annis decimam quartam primi mensis Lunae, juxta ecclesiasticam regulam, qua legale festum celebrari praeceptum est, indi-

στικὸν κανόνα τεσσαρισκαιδεκάτην τοῦ πρώτου μηνὸς τῆς σελή-
νης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, καὶ πό-
B σαι εἰσὶν ἐν ἑκάστῳ ἔτει ἐπακταὶ τῆς σελήνης, ἥτις ἐννεακαιδε-
καετηρίδος ἀποκαταστατικὴ τυγχάνει ἡμέρας μηνὸς ἡλιακοῦ καὶ
V 10 ἡμέρας σελήνης μηνός. ἐπιδρομήν τε τῶν χρόνων τῶν ἀπὸ ἀρ-
χῆς κτίσεως κόσμου ποιησόμεθα. μέθοδόν τε παραδώσομεν
τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς γινώσκειν δυνήσεταί
τις καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόστον ἔτος ἐστὶν τῆς
ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου. μέθοδόν τε ἑτέραν δηλώσο-
μεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις
γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ
τοῦ ἡλίου ἐπακταί. μέθοδόν τε αὖθις ἄλλην γνωρίσομεν, δι'
ἧς δυνήσεταί τις γινώσκειν ἐν πόστῃ ἡμέρᾳ τῆς ἑβδομάδος εὑρί-
C σκεται ἑκάστη ἐπιζητουμένη οἱουδήποτε μηνὸς ἡμέρα. πάλιν
ἄλλην μέθοδον γράψομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες,
δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυ-
τὸν πόσαι εἰσὶν αἱ τῆς σελήνης ἐπακταί. ἔτι μέθοδον ἄλλην δη-
λώσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητού-
μενον ἐνιαυτὸν ἐν πόστῃ ἡμέρᾳ τοῦ μαρτίου ἢ τοῦ ἀπριλίου εὑ-
ρίσκεται ἡ κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα ιδ' τοῦ πρώτου μη-
νὸς τῆς σελήνης. τούτων γὰρ πάντων προδηλουμένων, οὕτω
σαφῶς ἀποδείξομεν ἐν πόστῳ μὲν ἔτει τοῦ κόσμου, ἐν πόστῳ δὲ
ἔτει τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου καὶ ἐν πόστῳ ἔτει τῆς
ἐννεακαιδεκαετηρίδος τῆς σελήνης τὸ πρῶτον ἐν Αἰγύπτῳ ἐπετε-
λέσθη πάσχα, ἐν πόστῳ δὲ ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιει-

1. τεσσαρεσκ. P. 6. τε] δὲ P. 7. 10. 13. 16. δυνήσηται PV. 22. ἐν πόστῳ δὲ ἔτει — 25. τοῦ κόσμου om. P.

cat: quotaeque singulis annis sunt Lunae Epactae, quaeve Decemnovennalis apocatastatice est diei mensis solaris, et diei mensis lunaris. Annorum etiam a mundi conditi exordio decursum exequemur: methodum vero ac rationem trademus, sumptis annis mundi, qua nosse quivis poterit, quovis quaesito anno, quotus est annus Decemnovennalis Cycli solis. Methodum praeterea alteram indicabimus, sumptis annis mundi, qua nosse quivis poterit in quaesitis singulis annis, quotae sunt solis Epactae. Methodum rursum aliam docebimus, qua nosse quivis poterit, quoto hebdomadis die invenitur unusquisque quaesiti cujusvis mensis dies. Rursum aliam methodum describemus, sumptis mundi annis, qua quivis nosse poterit singulis quaesitis annis quot sunt Lunae Epactae. Methodum adhuc aliam indicabimus, qua quivis nosse poterit singulis quaesitis annis quoto Martii aut Aprilis die invenitur juxta regulam Ecclesiasticam decima quarta primi mensis Lunae. Hisce praedictis omnibus praeindica-

V 11 *Κύκλος τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου εἰς ἑαυτὸν ἀνακυκλούμενος, πάντοτε σημαίνων τὰς ἐν ἑκάστῳ ἔτει ἐπακτὰς τοῦ ἡλίου.*



2. τὰς om. P. 8. β″] βη″ PV. ib. βήσε (ον) PV. 10. κύκλον PV. 11. καθεξεῖς PV.
ib. κύκλους] κ^υ PV. 12. βισέκτῳ κη′ κύκλῳ ζ′ PV. 15. περιττευόντων] Hoc non mutandum.

P 14
V 12 *Cyclus vigintioctennalis solis in seipsum semper recurrens, denotans quovis anno solis Epactas.*

Quae extra Rotam sunt, indicant quot sint Cycli: sunt autem XXVIII. *Quae vero intra Rotam sunt, quoto die ingreditur Martius denotant. Et ubi B describitur punctatus, Bissextum indicat qui fit singulis* IV. *Cyclis, seu annis. Invenies enim ipsum Bissextum in* IV. *Cyclo, et in* VIII. *et in* XII. *et sic deinceps secundum* IV. *Cyclos: ita ut* XXVIII. *Cyclo* VII. *Bissexti occurrant. Quippe juxta ejusmodi quadriennium poteris invenire dies* XXIX. *ex horarum trium, quae annis singulis supersunt, collectione.*

V

κοσαετηρίδος καὶ τῆς ἐννεακαιδεκαετηρίδος γέγονεν ὁ εὐαγγελισμὸς ὁ πρὸς τὸν ἅγιον Ζαχαρίαν περὶ τῆς συλλήψεως τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἔτι μὴν καὶ ὁ εὐαγγελισμὸς ὁ πρὸς D τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον καὶ θεοτόκον Μαρίαν γενόμενος καὶ ἡ κατὰ σάρκα σύλληψις τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσπόρως καὶ ἀφθάρτως γεγένηται· ἐν πόστῳ τε ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαεικοσαετηρίδος ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην ἐλθὼν ἐβαπτίσθη ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· ἐν πόστῳ τε ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τῆς ἐννεακαιδεκαετηρίδος ἐσταυρώθη ὑπὲρ ἡμῶν καὶ σκυλεύσας τὸν ᾅδην ἀνέστη ἐκ νεκρῶν. καὶ οὕτω λοιπὸν ἀρχόμενοι τοῦ ἑορταστικοῦ κύκλου ἀπὸ τοῦ ἔτους ἐκείνου ἐν ᾧ τὸν ζωοποιὸν θάνατον ὑπομείνας σαρκὶ ὑπὲρ ἡμῶν Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, παραστή- P 13 σομεν ἐν πόστῳ τε ἔτει τοῦ κόσμου ἐπληρώθη ὁ πρῶτος ἑορταστικὸς κύκλος τῶν φλβʹ ἐτῶν τοῦ ἐκκλησιαστικοῦ πάσχα καὶ πόθεν ἄρχεται ὁ δεύτερος κύκλος τοῦ ἁγίου καὶ ζωοποιοῦ πάσχα, προστιθέντες τοὺς χρόνους τοὺς ἀπὸ κτίσεως κόσμου φανέντας μετὰ πλείστης ὅσης τῆς ἐξετάσεως ἀληθείας ἔχεσθαι. ταῦτα γὰρ πάντα γινώσκων τις εὑρήσει ὡς ὀρθῶς καὶ ἀνεπιλήπτως τὰς μνημονευθείσας μικρῷ πρόσθεν ἑορτὰς ἐπιτελεῖ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

7. *τε* om. P. 9. *ὁ* om. P. *ib.* *τε* om. P. 10. *ἀνεσταυρώθη* P. 11. *ἐκ τῶν νεκρῶν* P. 15. *πληρωθῇ* P. 19. *ἔχεται* P.
22. Circulum qui sequebatur in tabula adiecta posuimus.

tis, sic perspicue demonstrabimus quoto mundi anno Vigintioctennalis Cycli et Decemnovennalis fuit Annuntiatio Sancto Zachariae de Praecursoris et Baptistae Joannis conceptione, ut et Annuntiatio Sanctae gloriosae semper Virgini et Dei genitrici Mariae facta, ut et Magni Dei et Servatoris nostri Jesu Christi secundum carnem Conceptio, quae sine semine et intaminate facta est. Deinde quoto mundi et Vigintioctennalis Cycli anno in Jordanem ad Joannem veniens baptizatus est Dominus noster Jesus Christus: quoto etiam mundi, et Vigintioctennalis, et Decemnovennalis Cycli anno crucifixus est pro nobis, et spoliato inferno ex mortuis resurrexit. Atque sic deinceps sumpto exordio Paschalis cycli, ab illo anno quo vivificam mortem tulit carne pro nobis Christus verus Deus noster, tertia die ex mortuis resurrexit, quo mundi anno completus est primus Paschalis Cyclus annorum DXXXII. Ecclesiastici Paschatis, et unde initium sumit secundus Cyclus sancti et vivifici Paschatis, additis qui a mundi conditu videntur effluxisse annis, cum quantalibet veritatis inquisitione demonstrabimus. Haec enim omnia ubi quivis intellexerit, tum ut supra memoratas festivitates recte ac inculpate celebret sancta Dei Catholica et Apostolica Ecclesia statim percipiet.

P 14 V 12 Ἰστέον ὡς ἐν τῇ γενέσει τῶν φωστήρων, ἤγουν ἐν ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως, τὸ πρῶτον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς οὐκ ἔχει. αἱ γὰρ ἐπακταὶ μετὰ συμπλήρωσιν τῶν νβʹ ἑβδομάδων ἑκάστου ἡγουμένου ἐνιαυτοῦ ἐκ τῆς ὑπολειπομένης τοῦ ἡλιακοῦ ἐνιαυτοῦ μιᾶς πρὸς τῷ τετάρτῳ ἡμέρας λαμβάνονται, καὶ ἑκάστῳ ἑπομένῳ ἐνιαυτῷ ἐπιφέρονται. πῶς οὖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου γενέσεως δυνατόν ἐστιν ἐπακτὰς λαβεῖν; καταγέλαστον γὰρ τοῦτο· λέγω δὴ τὸ λαβεῖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως ἐπακτὰς ἢ ἐπακτὴν ἢ λεπτὰ ἐπακτῶν. μετὰ δὲ τὸ πληρωθῆναι τὴν πρώτην ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου τὴν συναρξαμένην τῇ γενέσει τοῦ κόσμου τὸ πρῶτον ἔτος τῆς δευτέρας ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς ἔχει ζʹ· εἰ δὲ ὑπερβῶσι τὸν ζʹ, οὐκέτι λοιπὸν ηʹ ἢ θʹ λέγονται, ἀλλ' ἀφαιρουμένων τῶν ζʹ μία ἢ δύο καὶ πάλιν ἕως τῶν ζʹ. τὸ δὲ βʹ καὶ γʹ ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τὰ λοιπὰ αὐτῆς ἔτη ὡσαύτως ἔχει καὶ ἐν τῇ πρώτῃ ὀκτωκαιεικοσαετηρίδι καὶ ἐν τῇ δευτέρᾳ καὶ ἐν πάσαις ὁμοίως ταῖς λοιπαῖς.

Ἐνταῦθα δὲ σημειωτέον καὶ τοῦτο, ὅτι ἕκαστον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου τὴν ἀρχὴν ἔχει τὴν καʹ τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἐν ᾗ τὴν ἐαρινὴν ἰσημερίαν

2. ὀκτωκαιεικοσαετηρίδος] ηʹ καὶ κʹ ετηρίδος PV. Sic et 11. 12. 15. 17. 20. 5. ἐκ τῆς — ἐνιαυτοῦ om. P. 8. ἐστιν] μὲν P. 11. συναρξαμένην] οὖν ἀρξαμένην PV. 13. ζʹ] ξʹ P. *ib.* τὸν ζʹ] τὸ νξʹ P. 14. ἢ θʹ] ἡ θʹ PV. *ib.* λήγονται P, λίγονται V. 14. 15. ζʹ] ξʹ P. 16. καὶ τὰ] κατὰ P.

Notandum porro in ortu luminarium, seu in initio mundi compositionis, primum naturalis Cycli Vigintioctennalis Solis annum Epactas non habere: Epactae quippe post completas LII. hebdomades uniuscujusque primi anni, ex die cum quadrante sumuntur, et singulis sequentibus annis inferuntur. Qui ergo fieri potest, ut mundi conditi initio potuerint Epactae occurrere? Istud enim perridiculum est, ut, inquam, initio mundi compositionis Epactae, vel Epacta, atque adeo occurrant Epactarum minuta. Postquam autem primus Vigintioctennalis Cyclus solis completus fuerit, ille scilicet qui in mundi ortu incoeperit, primus secundi Vigintioctennalis Cycli solis annus Epactas habet LX. Si vero excedant LX. . . . . sed ablatis a LX. una vel duabus, et rursum usque ad LX. Secundus vero ac tertius Vigintioctennalis Cycli annus, prout reliqui illius anni, similiter Epactas habent, quemadmodum habentur in primo Vigintioctennali Cyclo, et in secundo, et pari modo in reliquis omnibus.

Istud etiam hoc loco observandum, unumquemque naturalis Vigintioctennalis Cycli solis annum habere initium XXI. die mensis juxta Romanos Martii, quo vernum fieri aequinoctium per Deiferos Patres docuit

Ad pag. 27.

P 15
V 13



Τὰ μὲν ἔξωθεν
τοῦ τροχοῦ δηλοῦσιν
τὸ πόσοι κύκλοι εἰσίν·
καὶ εἰσὶν ιθ'. τὰ δὲ ἔσωθεν
δηλοῦσι τὸ εἰς ποῖον μῆνά ἐστιν τὸ
πάσχα τὸ νομικόν. καὶ ὁ γ' τροχὸς δηλοῖ
τὸ εἰς πόσας τοῦ μηνός ἐστιν τὸ νομικόν. ὁ δὲ
ὅλον ἐνδότερος δηλοῖ καὶ αὐτὸς πόσας ὀφείλει ἔχειν
τὸ φέγγος τοῦ ἁγίου Βασιλείου εἰς τὴν πρώ-
την τοῦ ἰανουαρίου μηνός. εἰς δὲ τὸν
ὄπισθεν τροχὸν εὑρήσεις καὶ τὰ περὶ
ἡλίου ἅπαντα. καὶ οὕτως συν-
ίστανται τὰ πάσχατα
ἕως τῆς συντε-
λείας.

ἀπριλλ. ubique P. 10. Ἰαννουαρίου PV. 11. ὄπισθεν] p. 13.

Quae extra Rotam exscribuntur, indicant quot sunt Cycli: sunt autem XXIX. *Quae vero interius, quo mense Legale Pascha incidat, denotant. Tertia vero Rota, quoto mensis die idem Legale Pascha celebratur edocet. Quae vero omnino interior est, ostendit quotos habere debet dies Luna S. Basilii. primo Januarii mensis die. In ea vero quae a tergo est Rota, invenies omnia quae de Sole sunt. Sic porro constant Paschata usque ad consummationem.*

γίνεσθαι τὸ πνεῦμα τὸ ἅγιον διὰ τῶν θεοφόρων ἐδίδαξε πατέρων. ἐκκείσθω λοιπὸν καὶ ἡ ἔκθεσις τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης.

1. *πατέρων ἐδίδαξε* P. 2. *ιθʹ ετηρίδος* PV. 3. Circulum qui sequebatur in tabula adiecta posuimus.

Spiritus sanctus. Enimvero superest ut hic describatur Expositio naturalis Decemnovennalis Cycli Lunae.

V 14 *Περὶ τοῦ κατὰ τὸν θεῖον νόμον γιγνομένου κατ' ἐνιαυτὸν ἁγίου καὶ σωτηριώδους πάσχα καὶ τῶν τούτου ζητημάτων σύντομος μετὰ ἀποδείξεως ἀπόλυσις.*

Τὸ μὲν ἅγιον καὶ μακάριον πάσχα τοῦ θεοῦ διαῤῥήδην ὑπογράφει ὁ νόμος, ὁμοῦ καὶ τὸν μῆνα δηλῶν καθ' ὃν δεῖ τοῦτο ποιεῖν, καὶ τὴν ἡμέραν κελεύων διατηρεῖσθαι μετὰ πολλῆς τῆς ἀκριβείας. θεοῦ γάρ ἐστιν ἐν αὐτῷ φωνὴ φερομένη τῷ νόμῳ,
B *φυλάξαι τὸν μῆνα τῶν νέων, „καὶ ποιήσεις τὸ πάσχα κυρίῳ τῷ θεῷ σου τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ πρώτου μηνός.“ μῆνα δὲ νέον λέγει ὃν καὶ πρῶτον καλεῖ ἐν ᾧ τεθηλότες οἱ καρποὶ τὴν γενομένην τῶν παλαιῶν προσημαίνουσι κατάπαυσιν. ἐν δὲ τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἐπιτηρεῖσθαι τὸ πάσχα συνέταξεν, οὐκ ἄλλου τοῦτο χάριν ἢ ἵνα κατὰ μίμησιν τοῦ τῆς σελήνης φωτὸς πλήρη τὸν ἴδιον κύκλον ἐχούσης, τὸν μὲν τῆς διανοίας φωστῆρα ἡμεῖς τέλειον ἔχοντες ἐν σκότῳ τῆς ἁμαρτίας μὴ διατρίβωμεν, θάλλοντες δέ που παντοδαπέσιν ἀρεταῖς καὶ τοῖς τούτων πετάλοις οἷα τερπνὰ φυτὰ σκεπόμενοι λῃίων δίκην φαιδροὶ διαμείνωμεν. τεσσαρισκαιδεκάτην δὲ τοῦ μηνὸς λέγει οὐ*
C *κατὰ τὸν ἡλιακὸν κύκλον, ἀλλὰ κατὰ τὴν σελήνην. Ἑβραίων*

2. σωτηριώδου V. 8. θεοῦ] Numer. IX. 4. 10. τεσσαρεσκ. P. 11. τεθηλῶτες PV. 12. δὲ τεσσαρεσκ. P. 15. πλήρης V. 19. et seq. τεσσαρεσ. P.

De sancto ac salutari anni cujuslibet Legali Paschate, ac de quaestionibus ad illud spectantibus, brevis cum demonstratione solutio.

Sanctum ac beatum Dei Pascha perspicue omnino Lex praescribit, simulque quo fieri illud debet mensem indicat, et quo die jubetur observari, idque cum plurima accuratione. Vox quippe Dei in Legem illapsa est, qua praecipitur observari mensis Novorum: *Et facies Pascha Domino Deo tuo quartadecima die primi mensis.* Mensem vero Novum dicit, quem et primum vocat, in quo germinantes fructus veterum praenuntiant cessationem. Quartadecima autem primi mensis nulla alia ratione observari Pascha praecipit, nisi ut luminis instar Lunae plenum suum habentis circulum, nos perinde plenum habentes mentis luminare, in peccati tenebris non immoremur: quinimmo omnis generis florentes virtutibus, earumque foliis, jucundae veluti plantae, operti, segetum instar venusti permaneamus. Quartamdecimam vero mensis ait, non secundum solarem cyclum, sed juxta lunarem. Hebraeorum enim filii non ex solari,

γὰρ παῖδες οὐκ ἐκ τοῦ ἡλιακοῦ δρόμου, ἀλλ' ἐκ τοῦ τῆς σελήνης κύκλου τὸν μῆνα ποιεῖν ἐπαιδεύθησαν, ἐπειδὴ καὶ ὁ μὴν κατὰ τὸ ὄνομα τῆς σελήνης λέγεται· μήνη γὰρ αὕτη ὀνομάζεται ἑλλάδι τῇ φωνῇ. Αἰγύπτιοι γοῦν πρῶτοι διὰ τὸ τὸν τῆς σελήνης δρόμον ἐξώτατον εἶναι, καὶ ἐκ τούτου συμβαίνειν πλάνην τῶν ἡμερῶν παρά τισι γίνεσθαι, ἐξ ἡλίου τὰς τοῦ μηνὸς ἡμέρας ἐπενόησαν ψηφίζεσθαι, βραχύτερον τοῦ τῆς σελήνης κατὰ τὸν ἑαυτοῦ δρόμον κινουμένου, ὡς καὶ δυναμένου τούτου ῥᾷον καταλαμβάνεσθαι. τούτων τοίνυν οὕτως ὄντων, πολλοὶ καὶ τὸν πρῶτον μῆνα τοῦ ἐνιαυτοῦ, συντέλειαν ὄντα τῆς χειμερινῆς τροπῆς, ὡς πρῶτον διόλου τάττουσι. τοῦτο δὲ ποιοῦσιν ἀγνοοῦντες ὅτι D
τῆς ἐαρινῆς τροπῆς ἀρχομένης ἀπὸ τῆς πρὸ ιβ′ καλανδῶν ἀπριλίων τυγχάνει, ὅ ἐστι φαμενὼθ κε′, κατὰ δὲ Σύρους Ἀντιοχέας καὶ Μακεδόνας δύστρου μιᾷ καὶ εἰκάδι κατὰ τὸν ἡλιακὸν δρόμον, ἣν ἐπιτηρεῖν προσήκει μάλιστα, μή πως ταύτης κατωτέρω πεπλανημένως τις τὴν τεσσαρισκαιδεκαταίαν κατὰ σελήνην τάξας διαμάρτῃ τοῦ πάσχα, ὡς τοῦ πρώτου μηνὸς νομίζων εἶναι ταύτην. οὐ γὰρ ἐν τῷ δωδεκάτῳ μηνὶ χειμερινῆς τροπῆς, ὡς προεῖπον, οὔσης, ὁ τῶν νέων τάττεται μήν, οὔπω τὸν καρπὸν τῶν νέων πεπονημένων οὐδὲ δυναμένου δρεπάνου ἐν ἀμητῷ πέμπεσθαι· P 17
τοῦτο γὰρ μάλιστα σημεῖον τοῦ πρώτου μηνὸς ὁ θεῖος ἔταξεν νόμος. ἀλλ' ἐπεὶ συμβαίνει προφάσει τῆς τεσσαρισκαιδεκαταίας κατὰ σελήνην τοῦ αὐτοῦ πρώτου μηνὸς εἰς πλάνην ἐμπίπτοντάς

12. ἀπὸ] ἥτης supra versum V. *ib.* ἀπριλλίων P. 15. μήπω ταύτης PV. *ibid.* πεπλανημένος P. 22. τεσσαρεσκ. P.

sed ex lunari cursu mensem compingere sunt edocti, cum mensis ex Lunae nomine dicatur: Mene quippe Graeca lingua illa appellatur. Primi igitur Aegyptii, propterea quod Lunae cursus extimus est, ex eoque contingit a quibusdam in diebus peccari, mensis dies ex sole putari adinvenerunt, brevius Luna secundum cursum suum se movente, cum id facilius queat comprehendi. His igitur ita se habentibus, primum mensem, qui hibernum solstitium absolvit, ut primum omnino statuunt complures: in quo quidem ita versantur, quod eum existere ignorent verno solstitio, quod initium sumit ab ante diem XII. Kalendas Aprilis, quod est Phamenoth XXV. secundum vero Syros, Antiochenos, et Macedones, Dystri XXI. juxta cursum solarem. Idque maxime observare convenit, ne quis deceptus, infra illud quartadecima Lunae posita, in Paschate erret: ut qui primi mensis illam esse existimet. Neque enim, ut superius dixi, si in duodecimo mense existat hibernum solstitium, mensis Novorum recte statuitur, quo fructum Novi nondum conficiunt, neque falx in messem immitti potest: istud enim signum primi mensis divina Lex statuit. Sed cum accidat, ut praetextu decimaequartae Lunae mensis primi, in erro-

τινας, ἀπαντώσης αὐτῆς ἐν κυριακῇ ἢ ἐν σαββάτῳ, περιλύειν τὰς νηστείας, τρεισκαιδεκάτης εὑρισκομένης τότε κατὰ σελήνην, ὡς ξένα τοῦ νόμου πράττειν, τοῦτο σκοπεῖν προσήκει, ὅτιπερ εἰ συμβῇ τὴν αὐτὴν τεσσαρισκαιδεκαταίαν τῆς σελήνης ἐν κυριακῇ εὑρίσκεσθαι, εἰς τὴν ἑξῆς ἑβδομάδα ἄμεινον ὑπερτίθεσθαι δύο τούτων ἕνεκα, πρῶτον μέν, ἵνα μὴ τρεισκαιδεκαταίας κατὰ σελήνην σαββάτου τότε εὑρισκομένου περιλύσωμεν τὰς νηστείας· ὅπερ οὐκ
V 15 B ἀκόλουθον, τοῦ νόμου τοῦτο μὴ προστάξαντος, ἀλλὰ καὶ τοῦ φωστῆρος τῆς σελήνης ἔτιπερ ἀτελοῦς περὶ τὸν κύκλον τὸν ἑαυτοῦ ὄντος· ἔπειτα ἵνα μὴ καὶ κυριακῆς οὔσης καὶ τεσσαρισκαιδεκαταίας κατὰ σελήνην ὑπαρχούσης ἀναγκασθῶμεν νηστεύειν, ἀπρεπὲς πρᾶγμα ποιοῦντες· Μανιχαίων γάρ ἐστιν ἴδιον πρᾶγμα τὸ τοιοῦτον. οὐκοῦν ἐπειδὴ οὔτε τῆς τεσσαρισκαιδεκαταίας κατὰ σελήνην ἐν κυριακῇ εὑρισκομένης νηστεύειν δεῖ οὔτε ἀκόλουθον ἐν σαββάτῳ τρισκαιδεκάτης ἀπαντώσης περιλύειν τὰς νηστείας, ἀναγκαία ἡ ὑπέρθεσις εἰς τὴν ἑξῆς ἑβδομάδα, ὡς ὀλίγῳ πρόσθεν εἴρηται, οὐ παραλύσεως γιγνομένης ἐν τῷ πάσχα διὰ τῆς ὑπερθέσεως, ἀλλ' ὥσπερ ὁ δέκατος ἀριθμὸς περιλαμβάνει τὸν ἐννέα, οὕτως ἡ τεσσαρισκαιδεκαταία τῆς σελήνης ἐν κυριακῇ εὑρισκομένη διὰ τὸ μὴ δεῖν ἐν ταύτῃ νηστεύειν εἰς τὴν ἑξῆς ἑβ-
C δομάδα ἡ ὑπέρθεσις γίγνοιτο, οὐ τοῦ πάσχα ἐλάττωσιν ποιοῦσα τῶν ἓξ ἡμερῶν ἡ ὑπέρθεσις περιλαμβανουσῶν καὶ τὰς ἄλλας. ἄλλως τε ἐπειδὴ ὁ σωτὴρ ἡμῶν τῇ μὲν τρισκαιδεκα-

6. τρισκ. P. 13. οὐδὲ PV. 18. δέκατος] Fort. δέκα.

rem quidam inducti occurrente illa die Dominica vel Sabbato, jejunia solvant, et tertia decima Lunae tum inventa, contra Legem agant, investigandum omnino, an quarta decima illa Lunae occurrat die Dominica: tum enim potius est ut in hebdomadem sequentem differatur, hisce duabus potissimum de causis.

Ac primum quidem, ut tertiadecima Lunae die Sabbato occurrente jejunia non solvamus, cum id minime Legi consentaneum sit, istud non praecipienti, quando luminare Lunae circa circulum suum adhuc imperfectum est. Deinde ut si Dominica cum quartadecima Lunae concurrat, jejunare, ac rem agere indecoram non cogamur, cum id proprium sit Manichaeorum. Quandoquidem igitur, neque quartadecima Lunae in diem Dominicam incidente, non est jejunandum, ut nec perinde tertiadecima Sabbato occurrente, jejunia solvenda, necesse est ut differatur in sequentem Dominicam, prout paulo ante dictum est, non soluto jejunio Paschatis die propterea quod dilatum sit, sed quemadmodum decimus numerus novem complectitur, sic quarta decima Lunae in diem Dominicam incidente, quia in illa non est jejunandum, in sequentem hebdomadem necessario differri debet, nulla exinde quoad Pascha facta imminutione, sex dilatis diebus alios comprehendentibus. Caeterum cum Salvator noster

ταίᾳ παρεδόθη, τουτέστι τῇ πέμπτῃ τοῦ σαββάτου, τῇ δὲ τεσ-
σαρισκαιδεκαταίᾳ ἐσταυρώθη, ἐν τριημέρῳ ἀναστάς, τουτέστι
τῇ ἑξκαιδεκάτῃ κατὰ σελήνην, ἥτις ηὑρέθη τότε ἐν κυριακῇ, ὡς
ἡ τῶν εὐαγγελίων ἔχει παρατήρησις, ἔχωμεν παραμύθιον τοῦ κα-
λῶς ποιεῖν τὸ πάσχα, κἂν ὑπέρθεσις γένηται διὰ τὴν καταλαβοῦ-
σαν ἀνάγκην. ἂν μὲν οὖν ἡ τεσσαρισκαιδεκάτη τοῦ ἁγίου πάσχα
ἔρχηται ἐν σαββάτῳ ἢ πρὸ τοῦ σαββάτου, ἐν ταῖς ἄλλαις τῆς ἑβ-
δομάδος ἡμέραις ἀραρότως τοῦτο ποιεῖν προσήκει· ἐὰν δὲ ἐν
κυριακῇ ἀπαντήσῃ ἡ τεσσαρισκαιδεκαταία τῆς σελήνης τοῦ πρώ-
του μηνός, ὑπερθετέον πάντως εἰς τὴν ἑξῆς ἑβδομάδα· ἡ γὰρ D
κυριακὴ πρώτη ἡμέρα τῆς ἑβδομάδος ἐστίν, ὡς προείρηται.

Ἐντεῦθεν λοιπὸν τῶν χρόνων τῶν ἀπὸ Ἀδὰμ τοῦ πρωτοπλά- R 38
στου ἀνθρώπου, ἤγουν ἀπ' ἀρχῆς κτίσεως κόσμου, ἐπιτομὴν
ἀναγκαῖον ποιήσασθαι τῶν συνᾳδόντων τῇ θεοπνεύστῳ γραφῇ
καὶ ταῖς ὑπὸ τῶν θεοφόρων πατέρων ἀνεπιλήπτως παραδοθεί- P 18
σαις καὶ τελουμέναις ὀρθῶς ἑορταῖς ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ
καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

3. ἐκκαιδ. P. *ib.* εὑρέθη P. 9. ἀπαντήσει P. 12. *Πέτρος Ἀλεξανδρείας* superscribit editio Raderi (R), cuius cum Parisina consensum semper omisi, dissensum plerumque notavi. *ib.* *ἀπὸ τοῦ Ἀδὰμ* P. 13. *ἀνθρώπου* om. R. 17. *καὶ ἀποστολικῇ* om. R.

tertiadecima traditus, hoc est quinta Sabbati, quartadecima crucifixus sit, ac post tres dies resurrexerit, hoc est sextadecima Lunae, quae inventa est in Dominica, ut praefert Evangeliorum observatio, in recte peragendo Paschate, et si necessario differatur, liceat nosmetipsos solari. Sed et si quartadecima sancti Paschatis incurrat in Sabbatum, vel pridie Sabbati, caeterisque Hebdomadis diebus, firme id observare convenit. Si vero die Dominica occurrat decima quarta Lunae primi mensis, differendum omnino in sequentem hebdomadem; Dominica quippe dies est primus hebdomadis, ut supra dictum est.

Hinc deinceps annorum ab Adam primo hominum a Deo formato, seu a mundi conditi exordio, brevem historiam necesse est fieri, qui quam Deus inspiravit Scripturae, atque adeo inculpate traditis a Sanctis ac Deiferis Patribus, et rite celebratis festis in sancta Dei Catholica et Apostolica Ecclesia concinunt.

P 19
R 40
V 17

ΕΠΙΤΟΜΗ

ΧΡΟΝΩΝ

ΤΩΝ ΑΠΟ ΑΔΑΜ

ΤΟΥ ΠΡΩΤΟΠΛΑΣΤΟΥ ΑΝΘΡΩΠΟΥ ΕΩΣ Κʹ ΕΤΟΥΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΗΡΑΚΛΕΙΟΥ ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΜΕΤΑ ΥΠΑΤΕΙΑΝ ΕΤΟΥΣ ΙΘʹ ΚΑΙ ΙΗʹ ΕΤΟΥΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΗΡΑΚΛΕΙΟΥ ΝΕΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΑΥΤΟΥ ΥΙΟΥ ΙΝΔΙΚΤΙΩΝΟΣ Γʹ.

Ἀδὰμ πρῶτος ἀνθρώπων πλασθεὶς ἀπὸ τοῦ θεοῦ ἐγέννησεν δύο υἱούς, τὸν Ἄβελ καὶ τὸν Καΐν. εἶτα μετὰ τούτους ἐγέννησε καὶ τὸν Σήθ, ζήσας ἕως οὗ τοῦτον ἐγέννησεν ἔτη σλʹ.

Ἀδὰμ ἐπέζησεν ψʹ, ὁμοῦ ϡλʹ.

Inscr. υἱοῦ αὐτοῦ P. 3. Ἀδὰμ post ἐγέννησεν addit P sola. 4. Ἀδὰμ] Ἀδὰμ σλʹ R, om. P.

BREVIARIUM

ANNORUM AB ADAM

PRIMO HOMINUM A DEO FORMATO, AD XX. ANNUM IMPERII HERACLII PIISSIMI, AC POST CONSULATUM ANNUM XIX. ET IMPERII HERACLII, NOVI CONSTANTINI, ILLIUS FILII, ANNUM XVIII. INDICT. III.

Anni a mundo condito.

230. Adam primus hominum a Deo formatus duos procreavit filios, Abel et Cain. Deinde genuit Seth, cum annorum esset ccxxx. quando ille in lucem est editus.

Vixit praeterea Adam alios annos dcc. qui quidem anni simul collecti conficiunt annos dccccxxx.

Εἰς τὸν Ἀδάμ.

Οὗτος ὁ πρωτόπλαστος Ἀδάμ, ὃς ἠξιώθη εἰπεῖν περί τε ἑαυτοῦ καὶ τῆς ἰδίας γυναικὸς ὡς ἐξ εὐλογίας θεοῦ διὰ τῆς συναφείας εἰς σάρκα μίαν ἀμφότεροι συνάπτονται. ὅπερ καὶ ὁ κύριος μαρτυρεῖ ἐν εὐαγγελίοις λέγων τὸν θεὸν αὐτὰ εἰρηκέναι διὰ P 20 *στόματος τοῦ Ἀδάμ, ὃς καὶ νυμφαγωγὸς αὐτοῦ ἐγένετο. ὁ δὲ ἀπόστολος Παῦλος κατεχρήσατο τούτῳ τῷ παραδείγματι μυστικώτερον ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ἐκλαβὼν αὐτῷ, καὶ τῆς ἐκκλησίας, λέγων, „τὸ μυστήριον τοῦτο μεγά ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. καὶ γὰρ ὥσπερ ἡ κεφαλή ἐστιν ὁ Ἀδὰμ πάντων τῶν ἀνθρώπων ἐν τούτῳ τῷ κόσμῳ, ὡς αἴτιος αὐτῶν ὢν καὶ πατήρ, οὕτω καὶ ὁ δεσπότης Χριστὸς κατὰ σάρκα τῆς ἐκκλησίας κεφαλή ἐστι καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος. οὗτος πάλιν ἠξιώθη εἰκὼν θεοῦ κληθῆναι. ἐπὶ δὲ τοῦ δεσπότου Χριστοῦ κυριώτερον ἐκβέβηκεν, καθὼς καὶ ὁ ἀπόστολος λέγει, „ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου.“ οὗτος μόνος ἀνθρώπων καὶ πρῶτος ἐκ πλευρᾶς διὰ τοῦ θεοῦ προήνεγκε τὸ* B *θῆλυ ἀσπόρως. ὁ δὲ δεσπότης Χριστὸς κατὰ σάρκα μόνος* R 42 *ἀσπόρως ἄῤῥεν ἐκ τοῦ θήλεος παρήχθη, τὴν ἰσοτιμίαν καὶ τὸ χρέος τῆς φύσεως ἀναπληρώσας.*

Οὗτος πρῶτος ἀνθρώπων ἀπατηθεὶς ὑπὸ τοῦ διαβόλου ἡμαρ- V 18

3. ἑαυτοῦ RV, αὐτοῦ P. 5. *ἐν εὐαγγελίοις*] Matth. XIX. 5. Marc. X. 8. Cor. I. 6. 16. 7. *Παῦλος* om. P. 9. *λέγων*] Eph. V. 32. 12. *αὐτῶν* om. P. 15. *ὁ* om. P. 17. *καὶ* om. P. 19. *ἀσπόρως ὡς ἄῤῥεν* PV. *ibid.* *θήλεως* P.

De Adam.

Iste est primus a Deo formatus Adam, qui de se et uxore sua dicere meruit, ambos Dei benedictione per conjunctionem in unam carnem esse conjunctos. Quod et ipse testatur Dominus in Evangelio, dum ait, idipsum dixisse Deum per os Adam, qui et illius Paranymphus fuit. Paulus vero Apostolus hoc exemplo usus est mystico quodam sensu ad Dominum Christum et Ecclesiam accommodato, cum dicit: *sacramentum hoc magnum est: ego autem dico in Christo et Ecclesia.* Quemadmodum enim Adam omnium hominum est caput, cum horum ipse auctor et pater sit, ita et Dominus Christus secundum carnem Ecclesiae caput est, et pater futuri saeculi. Ille rursum meruit imago Dei appellari. Id vero in Dominum Christum verius convenit, sicut Apostolus ait, *Qui est imago Dei invisibilis.* Iste solus hominum primus ex latere suo, Dei virtute, feminam absque semine protulit. Dominus autem Christus solus absque semine, ut vir ex femina, procreatus, naturae aequalitatem ac debitum adimplevit.

Hic primus hominum a diabolo deceptus peccavit. Dominus Chri-

τεν. ὁ δεσπότης Χριστὸς ὑπὲρ τούτου τὸ χρέος ἀπέτισεν, σχίσας εὐλόγως τὸ χειρόγραφον καὶ καταπαλαίσας τὸν ἐχθρόν.

Εἰς τὸν Ἄβελ.

Οὗτος Ἄβελ ὁ δίκαιος, ὃς ἀδίκως ἀποθανὼν πρῶτος πάντων ἀνθρώπων ἔδειξεν σαθρὰ εἶναι τοῦ θανάτου τὰ θεμέλια. C διὰ τοῦτο καὶ ἀποθανὼν ἔτι λαλεῖ, προμηνύων τὴν τῶν νεκρῶν ἀνάστασιν, ἣν ὁ δεσπότης Χριστὸς πρῶτος πάντων ἐν ἑαυτῷ δείξας κατέλυσεν τοῦ θανάτου τὸ δοκοῦν κράτος. οὗτός ἐστιν Ἄβελ ὁ ὡς ἐν αἰνίγματι μιμητὴς τοῦ πάθους τοῦ Χριστοῦ ὑπάρχων, ὃς διὰ φθόνον ἀγαθῶν ἔργων ὑπὸ τοῦ ἀδελφοῦ ἀδίκως ἀπεκτάνθη· περὶ οὗ καὶ ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ φησιν, „ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ, καὶ κριτῇ θεῷ πάντων καὶ πνεύμασι δικαίων τετελειωμένων καὶ διαθήκης D νέας μεσίτῃ Ἰησοῦ καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ.“

Σὴθ σε', ὁμοῦ υλε'.
ἐπέζησεν ψζ', ὁμοῦ ϡιβ'.

5. ἔδειξεν] ἔδειξε τὰ P. 11. Ἑβραίους] XIII. 22. 14. ἐν οὐρανοῖς ἀπογ. P. 16. Ἰησοῦ] θεοῦ PV.

Anni a m. c. stus pro hoc debitum exsolvit, discisso sapienter chirographo, hosteque devicto.

De Abel.

Hic Abel justus, qui primus ex hominibus injusta morte sublatus, infirma esse mortis fundamenta ostendit. Quamobrem licet mortuus adhuc loquitur, praenuntians mortuorum resurrectionem, quam Dominus Christus primus omnium in seipso demonstravit, quando mortis, quam habere videbatur, potestatem destruxit. Hic est Abel, qui in aenigmate Christi passionis imitator extitit, qui ex bonorum operum invidia a fratre injuste interfectus est: de quo et Apostolus Paulus in Epistola ad Hebraeos ait: *Sed accessistis ad Sion montem, et civitatem Dei viventis Hierusalem coelestem, et multorum millium Angelorum frequentiam, et Ecclesiam primitivorum, qui conscripti sunt in caelis, et judicem omnium Deum, et spiritum justorum perfectorum, et testamenti novi mediatorem Jesum, et sanguinem aspersionis melius loquentem quam Abel.*

231. Seth 205. Colliguntur anni 435.
Supervixit 707. coll. an. 912.

Ἐνὼς ρϟ', ὁμοῦ χκε'.
ἐπέζησεν ψιε', ὁμοῦ ϡε'.
Καϊνὰν ρο', ὁμοῦ φϟε'.
ἐπέζησεν ψμ', ὁμοῦ ϡι'.
Μαλελεὴλ ρξε', ὁμοῦ ϡξ'.
ἐπέζησεν ψλ', ὁμοῦ ωϟε'.
Ἰαρὲδ ρξβ', ὁμοῦ ͵αρκβ'. P 21
ἐπέζησεν ω', ὁμοῦ ϡξβ'.
Ἐνὼχ ρξε', ὁμοῦ ͵ασπζ'.
ἐπέζησεν σ', ὁμοῦ τξε'.

Περὶ τῆς προφητείας Ἐνώχ. R 44

Οὗτος προεφήτευσεν, λέγων, Ἰδοὺ κύριος ἔρχεται ἐν ἁγίαις μυριάσιν αὐτοῦ ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι τοὺς ἀσεβεῖς περὶ πάντων τῶν πονηρῶν ὧν ἐλάλησαν πρὸς αὐτοὺς ἁμαρτωλοὶ ἀσεβεῖς.

Οὗτός ἐστιν Ἐνὼχ πρὸς ὃν οὔτε ἡ ἀπόφασις τοῦ θανάτου ἐκράτησεν· μετετέθη γὰρ ὑπὸ τοῦ θεοῦ τοῦ μὴ ἰδεῖν θάνατον, καθὰ τῇ θείᾳ γραφῇ δοκεῖ, ὅπως καὶ διὰ τούτου προμηνυθῇ B *ἡμῖν ὡς οὐ κρατήσει ἐπὶ τῶν ἀνθρώπων ὁ θάνατος, ἀλλὰ λύσιν δέξεται τὰ κατ' αὐτῶν, ὥσπερ καὶ γέγονεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ, καταλυθέντος αὐτοῦ τοῦ κράτους.*

5. *Μαλαλεὴλ* P, *Μελελεὴλ* m. R. 7. *Ἰερὰδ* P. 12. *λέγων*] Iud. Epist. 14. 20. *δέξηται* R.

		Anni a m. c.
Enos 190.	coll. an. 625.	436.
Supervixit 715.	coll. an. 905.	
Cainan 170.	coll. an. 795.	626.
Supervixit 740.	coll. an. 910.	
Malaleel 165.	coll. an. 960.	796.
Supervixit 730.	coll. an. 895.	
Ierad 162.	coll. an. 1122.	961.
Supervixit 800.	coll. an. 962.	
Enoch 165.	coll. an. 1287.	1123.
Supervixit 200.	coll. an. 365.	

De Prophetia Enoch.

Hic prophetavit, dicens, *Ecce Dominus venit in sanctis millibus suis facere judicium contra omnes, et arguere impios de omnibus malis, quae locuti sunt ad eos peccatores impii.*

Iste est Enoch, in quem mortis sententia non praevaluit: translatus est enim a Deo, ne videret mortem, ut sacrae literae testantur, quomodo et nobis per illum significatum est: *Mors in homines non praevalebit, sed exceptionem habebunt quae in illos decreta sunt, quemadmodum in Domino Christo accidit, destructo illius imperio.*

Οὗτός ἐστιν Ἐνὼχ ὁ μετατεθεὶς εἰς ζωὴν εἰς δεῖγμα τῆς τοῦ θεοῦ δυνάμεως ταῖς μετὰ ταῦτα γενεαῖς τῆς δυναμένης διατηρῆσαι τοὺς θνητοὺς μὴ ἀποθανεῖν, ἀλλὰ ζῶντας τὴν ἐπὶ τὸ κρεῖττον ἀλλαγὴν ὑπομένειν.

Οὗτός ἐστιν ὁ ἅμα τῷ Ἡλίᾳ ἐν ἐσχάταις ἡμέραις ἀντικαθιστάμενος τῷ Ἀντιχρίστῳ καὶ ἐλέγχων τὴν πλάνην αὐτοῦ κατὰ τὴν τῆς ἐκκλησίας παράδοσιν.

C Οὗτός ἐστιν ὁ διὰ πίστεως καὶ εὐαρεστήσεως ἐκφυγὼν τὴν ὁδὸν τοῦ θανάτου.

Μαθουσάλα ρπζ', ὁμοῦ ͵αυοδ'.
ἐπέζησεν ψξβ', ὁμοῦ Ϡμθ'.
Λάμεχ ρπη', ὁμοῦ ͵αχξβ'.
ἐπέζησεν φξε', ὁμοῦ ψνγ'.
Νῶε φ', ὁμοῦ ͵βρξβ'.
Νῶε ἔσχεν τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ.
Σήμ ρ', ὁμοῦ ͵βσξβ'.

V 19 Ἐν τῷ ἑκατοστῷ ἔτει τοῦ Σήμ, ἑξακοσιοστῷ δὲ τοῦ Νῶε
D καὶ ͵βσξβ' ἔτει γενέσεως κόσμου ἐγένετο ὁ κατακλυσμὸς ἐπὶ τῆς γῆς· τοσαῦτα δὲ μέχρι τὸν ἐνταῦθα καὶ ὁ Ἀφρικανὸς συνήγαγεν, ἐπειδὴ καὶ τὰ ἀκριβῆ τῆς Γενέσεως βιβλία ρπζ' φαίνει τοῦ Μαθουσάλα ἔτη, καὶ οὕτως αὐτὸν γεννῆσαι τὸν Λάμεχ. ἐγέ-
R 46 νετο δὲ ὁ κατακλυσμὸς ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ δευτέ-

11. ὁμοῦ in m. supplet R. 15. καὶ τὸν Ἰ. P. 19. ἐπήγαγεν P.

Anni a m. c. Hic est Enoch ad vitam translatus, in Dei virtutis specimen venturis generationibus, quae prohibere potest ne homines moriantur, ut dum superstites sunt, mutationem in melius expectent.

Hic est qui una cum Helia ultimis temporibus Antichristo obsistet, illiusque redarguet imposturas, secundum Ecclesiae traditionem.

Hic est qui per fidem et placabilitatem mortis semitam devitavit.

1288. Mathusala 187. Colliguntur anni 1474.
Supervixit 762. coll. an. 949.
1475. Lamech 188. coll. an. 1662.
Supervixit 565. coll. an. 753.
2163. Noe 500. coll. an. 2162.
Habuit Noe tres filios, Sem, Cham, et Japhet.
Sem 100. coll. an. 2262.

Anno Sem centesimo, Noe sexcentesimo, et a mundo condito IIM. CCLXII. diluvium in terra extitit: tot annos ad illud usque numeravit Africanus, siquidem accurati Geneseos libri CLXXXVII. annum Mathusala attigisse ostendunt, cum Lamech generavit: *Factum vero est diluvium septimo et vicesimo die mensis secundi in terra, quod quadraginta duravit*

ρου ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας,
καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας,
καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ ἑβδόμῃ καὶ εἰκάδι
τοῦ μηνὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. καὶ ἠλαττονοῦτο τὸ ὕδωρ
ἕως τοῦ δεκάτου μηνός. ἐν δὲ τῷ ἑνδεκάτῳ μηνὶ τῇ πρώτῃ τοῦ
μηνὸς ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων. καὶ μετὰ τεσσαράκοντα P 22
ἡμέρας ἠνέῳξεν Νῶε τὴν θύραν τῆς κιβωτοῦ, καὶ ἀπέστειλεν τὸν
κόρακα τοῦ ἰδεῖν εἰ κεκόπακεν τὸ ὕδωρ. καὶ ἐν τῷ πρώτῳ καὶ
ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε τοῦ πρώτου μηνὸς μιᾷ τοῦ
μηνὸς ἐξέλιπεν τὸ ὕδωρ ἀπὸ τῆς γῆς. ἐν δὲ τῷ μηνὶ τῷ δευτέ-
ρῳ ἑβδόμῃ καὶ εἰκάδι μηνὸς ἐξηράνθη ἡ γῆ.

Εἰσὶν ἀπὸ Ἀδὰμ ἕως Νῶε γενεαὶ ι΄.

Τὰ προκείμενα εἰπόντες διδάξομεν καὶ διὰ ποίαν αἰτίαν ὁ κα-
τακλυσμὸς ἐγενήθη καὶ διὰ τίνας, ἵνα μή τινες τὸν θεὸν τῆς
φθορᾶς αἴτιον εἰσηγήσωνται, εἰ καὶ ἐν ἄλλοις χρονογράφοις οὐ
δηλοῦται οὔτε περὶ τούτου οὔτε περὶ τῆς πυργοποιίας· ἴσως γὰρ B
πολλοὶ διαποροῦσι· δείξομεν οὖν ἐκ τῆς θείας γραφῆς. φησὶν ἡ
Γένεσις, „καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γενέ-
σθαι ἐπὶ τῆς γῆς καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἰδόντες δὲ
οἱ ἄγγελοι τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰ-
σιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο. καὶ

5. ἑνδεκάτῳ] δεκάτῳ Raderus et P. 8. κεκοπίακε P sola. 10. ἐξέλειπεν V. 15. αἴτιον] αἴτιος R, m. αἴτιον. *ibid.* ἡγήσονται P. 18. Γένεσις] VI. 1. 21. πασῶν] πάντων PV.

dies, et noctes: et minuebatur aqua post centum et quinquaginta dies, et sedit Arca, in mense septimo, septima et vicesima die mensis, super montes Ararat. Et decrescebat aqua usque ad decimum mensem. In decimo vero mense, primo die mensis, apparuerunt vertices montium; et post quadraginta dies, aperuit Noe fenestram Arcae, et emisit corvum, ut videret an defecissent aquae. Et in primo et sexcentesimo anno vitae Noe primi mensis, prima die mensis, defecit aqua de terra. Altero vero mense, septimo et vicesimo mensis siccata est terra.

Ab Adam usque ad Noe X. sunt generationes.

Proposito insistentes argumento doceamus qua de causa, et propter quos factum est diluvium, ne quidam extent qui corruptionis auctorem Deum existiment. Tametsi porro apud alios chronographos, nec de eo, nec de turris aedificatione quidquam dicatur, cum de iis subdubitent complures, idipsum ex sacra Scriptura demonstrabimus. Sic igitur liber Geneseos. *Et factum est, cum coepissent homines multiplicari super terram, et filias procreassent, videntes Angeli Dei filias hominum, quod essent pulchrae, acceperunt sibi uxores ex omnibus quas elegerant, dixit-*

εἶπεν ὁ θεός, Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη.“

Οὓς ἀγγέλους ὠνόμασεν θεοῦ, οὐχὶ ἐκ τῶν οὐρανῶν, ἄπα- C γε· ἐκεῖνοι γὰρ νοεροὶ καὶ ἀσώματοι ἄγγελοι· τούτους δὲ ἀνθρώπους καλεῖ ὀνομαστοὺς καὶ σαρκικοὺς καὶ θνητούς· φησὶ γάρ, „διὰ τὸ εἶναι αὐτοὺς σάρκας.“ τινὲς δὲ τῶν ἑρμηνέων ἐπ' ἀληθείας διδάσκοντες ἐξέδωκαν ὅτι τὸ ἐκλεκτὸν γένος τοῦ Σὴθ ἄγγελοι τοῦ θεοῦ παρὰ τοῦ Μωϋσέως ὠνομάσθησαν. αὐτὴ ἡ Γένεσις διδάξει, ἐπειδὴ φθονοκτονίας καὶ μισαδελφίας καὶ ἀρνησοθείας ἐκ τῆς φυλῆς τοῦ Καῒν ἐπικρατούσης πρῶτοι οἱ τοῦ Σὴθ R 48 ἤρξαντο ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου, ὅπερ ἐστὶν ἀγγελικὸς ὕμνος. φησὶ γὰρ ἡ Γένεσις, „τῷ δὲ Σὴθ ἐγεννήθη υἱός· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς. οὗτος ἤρξατο ἐπικαλεῖσθαι D τὸ ὄνομα κυρίου τοῦ θεοῦ.“ ταῦτα ἡ Γένεσις.

Οὗτοι οὖν οἱ τοῦ Σὴθ ἀγγέλοις ὁμοιωθέντες καὶ ἀγγελικὸν ὕμνον ἐπικαλεσάμενοι ἐκείνοις τοῖς ἀποβλήτοις τοῦ Καῒν συνήφθησαν, καὶ τὸ θεῖον ὠργίσθη. φησὶ γὰρ ἡ Γένεσις, „οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας.“

Συναφθέντες οὖν οὗτοι ἐκείνοις καὶ τέκνα ποιήσαντες τὴν ἡλικίαν μεγίστους, γίγαντας αὐτοὺς ἐκάλεσεν ἡ θεία γραφή. ἄκου-

4. ὠνόμασεν ἀγγέλους P. 7. τῶν om. P. 9. Γένεσις] IV. 26. 16. τοῦ Σὴθ om. V. 21. ἐκείναις P sola. *ibid.* καὶ ante τέκνα om., ponit ante γίγαντας P sola. *ibid.* ἐποίησαν P sola. 22. θεία om. P.

que Deus: non permanebit spiritus meus in hominibus istis in aeternum, quia caro sunt. Erunt autem dies annorum ipsorum centum viginti anni.

Quos vocavit Angelos Dei, non ii intelliguntur qui e coelis sunt: absit, sed intellectuales et incorporei Angeli: hos quippe famosos homines, et carnales mortales, vocat, dum ait, *Quia caro sunt.* Atque id nonnulli interpretes recte docuerunt ac tradiderunt. Selectam vero Seth progeniem Angelos Dei a Moyse esse appellatam, ipsa docebit Genesis. Cum enim caedis ex invidia factae, et fraterni odii ac Dei abdicationis rei essent qui erant ex Cain Tribu, primi ex Tribu Seth coeperunt Domini nomen invocare, quod est Angelicus hymnus. Scribitur enim in Genesi: *Seth vero natus est filius; vocavit autem nomen ejus Enos. Hic coepit invocare nomen Domini Dei.* Haec Genesis.

Hi ergo filii Seth Angelis similes facti, et Angelicum hymnum invocantes, damnatis illis ex Cain prognatis adhaeserunt, Deusque in iram conversus est. Ait enim Genesis: *Non permanebit spiritus meus in hominibus istis in aeternum, eo quod caro sunt.*

Isti igitur illis copulati, procreatis ingentis staturae liberis, hos gi-

σον τῆς Γενέσεως λεγούσης „οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν
ταῖς ἡμέραις ἐκείναις. ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ V 20
πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννῶσαν ἑαυτοῖς,
ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομα- P 23
στοί," οὓς ἄνω ἀγγέλους θεοῦ ὠνόμασεν, τοὺς ἐπικαλουμένους τὸ
ὄνομα κυρίου τοῦ θεοῦ, τούτους καὶ υἱοὺς θεοῦ ἐνταῦθα προσ-
ηγόρευσεν. ταῦτα μὲν ἡ γραφή. ἐπεὶ δὲ οὗτοι οἱ ἄγγελοι παρά
τισι θεοὶ ὠνομάσθησαν καὶ προσεκυνήθησαν, παρὰ μὲν Χαλ-
δαίοις πρῶτος ὁ ἄρξας αὐτῶν Ἄλωρος καὶ μετ' αὐτὸν Ἄλαπρος
καὶ οἱ λοιποὶ οἱ ἄρξαντες αὐτῶν. τούτους ᾐνίξατο ἡ γραφὴ λέ-
γουσα, „οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί."
καὶ ταῦτα μέν, ὡς ἐδίδαξαν οἱ τὰ αὐτῶν ἀναγράψαντες Βή-
ρωσος καὶ οἱ μετ' αὐτόν· ἐξ ὧν Ἰώσηπος ἀφορμὰς ἔλαβεν
περὶ τούτων ἀναγράψασθαι. μαρτυρῶν γὰρ αὐτῷ ἐν τῷ πρώ-
τῳ λόγῳ τῶν περὶ ἀρχαιολογίας αὐτοῦ ἔφη λέγων, „Βηρώσος, B
ἀνὴρ Χαλδαῖος μὲν τῷ γένει, γνώριμος δὲ τοῖς περὶ παιδείαν
ἀναστρεφομένοις, ἐπειδὴ περὶ ἀστρονομίας καὶ περὶ τῶν παρὰ
Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε
τὰς συγγραφάς." καὶ ταῦτα μὲν Ἰώσηπος. καὶ τί με δεῖ λέγειν
εὐθέως ἐκ τῶν ἔξωθεν μαρτυρίας λαβόντα, ὁπότε καὶ ὁ τῆς κα-
θολικῆς ἡμῶν ἐκκλησίας Ἐπιφάνιος ὁ Κύπρου ἐν τοῖς Παναρίοις

1. *Γενέσεως*] VI. 4. 2. *ἐκείναις*] *καὶ μετ' ἐκεῖνο* addit Genesis. 3. *αὐτοῖς* P. 8. *καὶ προσεκυνήθησαν* om. P. 10. *λοιποὶ ἄρξαντες* P. 13. *αὐτῶν* PV. *ibid.* *Ἰώσηππος* P sola. 14. *ἐν τῷ πρώτῳ τῶν περὶ ἀρχαιολογίας*] Immo c. Apion. I. 19. 16. *τὸ γένος* P. *ibid.* *παιδείας* R. 17. *ἐπειδὴ* Iosephus, *ἐν τῇ* RV. *ibid.* *περὶ*] *περί τε* P sola. *ibid.* *παρὰ* om. P sola. 21. *Ἐπιφάνιος*] I. 4. p. 4. C. ed. Petav.

gantas appellavit Scriptura. Audi Genesin dicentem: *Gigantes autem erant super terram in diebus illis. Postquam enim ingressi sunt filii Dei ad filias hominum, illaeque genuerunt, isti sunt potentes a saeculo, viri famosi.* Quos supra Angelos Dei, nomen Domini Dei invocantes, hos et filios Dei hic appellat. Atque haec quidem Scriptura. Hi praeterea Angeli a quibusdam Dii vocati sunt. Apud Chaldaeos primus iis imperavit Alorus, et post illum Alaprus, et qui iis successere. Hos indicavit Scriptura, dicens: *Gigantes a saeculo homines nominati.*

Et haec quidem scriptis mandarunt, qui res eorum sunt prosecuti, Berosus scilicet, et qui post illum scripsere: ex quibus occasionem arripuit Josephus quidpiam de iis conscribendi. Hunc enim testem laudans in primo Antiquitatum libro, haec ait: *Berosus vir genere quidem Chaldaeus, iis notus qui eruditioni student: ut qui de Astronomia et Chaldaeorum Philosophia libros Graece ediderit.* Et ista quidem Josephus. Enimvero quid mihi opus est in testes advocare Scriptores Gentiles et Prophanos, cum ex Catholica nostra Ecclesia Epiphanius Cypri Episcopus

αὐτοῦ γράφει, „ἡ δὲ παράδοσις ἡ εἰς ἡμᾶς ἐλθοῦσα, ἤρξατο ἡ κακομηχανία ἐν κόσμῳ γίνεσθαι, καὶ ἀπ᾽ ἀρχῆς μὲν διὰ τῆς R 50 τοῦ Ἀδὰμ παρακοῆς, ἔπειτα δὲ διὰ τῆς τοῦ Καῒν ἀδελφοκτονίας. εἶτα δὲ ἐν χρόνοις τοῦ Ἰάρεδ καὶ ἐπέκεινα φαρμακεῖαι καὶ μαγεῖαι C καὶ ἀσέλγειαι καὶ ἀδικία ἐχρημάτισεν.“ ἀλλὰ καί τινες τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ καὶ τὸν ὄφιν γενέσθαι προηγόρευσαν, ἀλλὰ μὴν καὶ τὸν Καῒν καὶ τὸν Σήθ.

Ἐπεὶ οὖν τοιαῦτα εἶχον οἱ ἄνθρωποι θεοὺς ὀνομάσαι καὶ προσκυνῆσαι ὁμοίους αὐτῶν ἀνθρώπους, τὸν δὲ ἀληθινὸν θεὸν ἐπιλαθέσθαι, πάλιν ἡ Γένεσις, „ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, διενοήθη ὁ θεὸς ἀπαλεῖψαι τὸν ἄνθρωπον. καὶ μεθ᾽ ἕτερα, „καὶ εἶπεν ὁ θεὸς πρὸς Νῶε, Ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν· ποίησον σεαυτῷ κιβωτόν.“ καὶ ταῦτα μὲν ἡ Γενεαλογία. ὅθεν καὶ Πέτρος ὁ ἀπόστολος ἀφηγεῖται Κλημίῳ λέγων, „ἑνί τινι δικαίῳ D μετὰ τῶν ἐξ αὐτοῦ Νῶε σὺν τοῖς ἐξ αὐτοῦ ἐν λάρνακι διασώζεσθαι προαγγείλας ὕδωρ εἰς κατακλυσμὸν ἐπήγαγεν, ἵνα πάντων τῶν ἀκαθάρτων ὀλοθρευθέντων ὁ κόσμος καθαρισθῇ, ἐν αὐτῇ τῇ λάρνακι διασωθεὶς εἰς δευτέραν περιουσίαν καθαρὸς ἀποδοθῇ.“ ὅμως καὶ τούτων γενομένων οἱ ἄνθρωποι ἤρξαντο ἀσεβεῖν.

1. *ἡ εἰς*] *εἰς* P sola. 4. *καὶ μαγεῖαι* om. P. 5. *ἀδικίαι ἐχρημάτισαν* P sola. 6. *γενέσθαι*] (*θεοὺς*) add. P. *ibid.* *προσηγόρευσαν* P sola. 10. *Γένεσις*] VI. 5. 14. *σεαυτῷ*] *δὲ αὐτῷ* P. 15. *ἑνί* Ducangius, *ἕν* RV. 16. *Νῶε σὺν τοῖς ἐξ αὐτοῦ* delet Holstenius, *τριῶν σὺν ταῖς αὐτῶν γυναιξίν* Clemens Homil. VIII. 17. p. 678. ed. Cotel. 17. *προαγγείλας* restitui ex Clemente. *προανηγγέλη* V, *προανήγγελεν* R, *προανήγγειλεν* P. *ibid.* *ὕδωρ — ἐπήγαγεν* om. P. 18. *ἀκαθάρτων* Ducangius, *ἀκαίρων* RV. 19. *καθαρὸς* Ducangius, *καθαρῶς* RV.

in Panariis suis scribat: *Traditio ejusmodi est quae ad nos pervenit: Hinc in mundo coepit esse improbitas: et ab initio quidem per Adami inobedientiam, deinde per Caini parricidium, et fratris interfectionem: Exinde temporibus Jared, et deinceps, veneficia, lasciviae, et injustitia regnavere.* Quinetiam nonnulli Adam, Evam et serpentem Deos appellarunt, atque adeo Cain et Seth.

Cum igitur ita se gererent mortales, ut Deos appellarent colerentque sibi similes homines, veri autem Dei obliviscerentur, rursum liber Geneseos haec ait: *Videns autem Deus quod multa malitia esset hominum super terram, cogitavit Deus delere hominem.* Et post alia: *Dixit Deus ad Noe: Ecce ego disperdam eos cum terra. Facias tibi Arcam.* Et haec quidem liber Geneseos. Unde et Petrus Apostolus Clementi exponit, dicens: *Uni cuidam viro justo Noe, cum liberis, eorumque uxoribus, in Arca salvari praenuntiavit, ita ut impiis peremptis, purificationem mundus acciperet, et in ipsa Arca reservatus ad posteritatem generis, purus redderetur: sed his omnibus gestis rursus homines impie agere coeperunt.*

Εἰς τὸν Νῶε. P 24

B
Νῶε δίκαιος τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, ὁ ἀκούσιον μέ- V 21
θην ὑπομείνας καὶ θεωρήσας ἐν αὐτῇ μυστήρια. φησὶ γὰρ ἡ
γραφή, „ἐξένηψεν δὲ Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίη-
σεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.“ καὶ μετὰ τὸ αὐτῷ προει-
πεῖν ὡς ἐν τάξει κατάρας τὰ μέλλοντα λέγει καὶ τοῖς ἄλλοις ὡς
ἐν τάξει εὐλογίας τὰ ἐσόμενα, καί φησιν, Εὐλογητὸς κύριος ὁ θεὸς
τοῦ Σήμ· τρόπον γάρ τινα οὔτε τῷ πρώτῳ κατηράσατο οὔτε
τούτους ηὐλόγησεν, ἀλλὰ πρόῤῥησιν ἐξεῖπε μυστηρίων διὰ τοῦ
δεσπότου Χριστοῦ ἐκτελουμένων· οὔτε γάρ ποτε ἐδούλευσαν τοῖς
ἀδελφοῖς αὐτῶν οἱ τοῦ Χαναάν, ἀλλὰ μᾶλλον ἐκεῖνοι τούτοις
ἐδούλευσαν ἐν Αἰγύπτῳ, ἀλλ' οὔτε οἱ Γαβαωνῖται, ὥς τινες
ὑπενόησαν, ἐδούλευσαν αὐτοῖς, ἀλλὰ τῷ θεῷ ἐδούλευον· ξυλο- C
φόρους γὰρ καὶ ὑδροφόρους τῷ ναῷ τοῦ θεοῦ αὐτοὺς κατεστή-
σαντο· οὐ γὰρ ἑαυτοῖς. τί οὖν ἐστιν ἢ πάντως πρόῤῥησίς ἐστιν,
ὡς τῷ κυρίῳ δουλεύσουσι καὶ αὐτοὶ τῷ ἐκ τοῦ Σὴμ ὑπάρχοντι R 52
κατὰ σάρκα; τὸ δὲ „εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ“ τὶ τὰ
πρὸς τὸν Σήμ, εἰ ὁ θεὸς εὐλογητός ἐστιν; ἀλλ' ἐπιφέρει, „πλα-
τύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ὡσανεὶ ὁ θεὸς ἐν τοῖς
σκηνώμασι τοῦ Σήμ. λοιπὸν „πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ.“ καὶ
γὰρ καὶ τῷ Ἰάφεθ καὶ τῷ Χαναὰμ ἐπλάτυνεν· καὶ πάλιν ἀμφό-
τεροι τῷ Χριστῷ δουλεύουσιν τῷ ἐκ τοῦ Σὴμ ὑπάρχοντι. πά- D

4. *γραφή*] Genes. IX. 24. *ib. Νῶε* om. R. 5. *ὁ* alterum om. P. 12. *οἱ* om. P. 17. *κύριος* om. P. 18. *πλάτυνεν* R, *πλατύναι* m. 21. *τῷ Χαναὰμ*] *τῷ* om. P. *ibid. Χαναὰν* R.

De Noe.

cies ea coram Pharaone. Ego vero indurabo illius cor, et non dimittet populum. Tu autem dices Pharaoni: Haec dicit Dominus, Filius primogenitus meus Israel. Dixit autem tibi, Dimitte populum meum, ut mihi serviat. Tu vero non volebas dimittere ipsos, vide igitur, ego interficiam filium tuum primogenitum. Factum est autem in via, in diversorio, occurrit illi Angelus Domini, et quaerebat interficere illum. Et accipiens Sephora petram, circumcidit praeputium filii sui, et procidit ad pedes suos: et dixit: *Stetit sanguis circumcisionis filii mei.* Et abiit ab eo Angelus: quoniam dixit: *Stetit sanguis circumcisionis filii mei.* Dixit autem Dominus ad Aaron: *Abi in occursum Moysi in desertum.* Et abiit, et obviavit illi in monte Dei, et osculati sunt invicem. Et narravit Moyses Aaron omnes sermones Domini, quos misit ad eum, et omnia signa quae mandavit ei. Abiit autem Moyses et Aaron, et congregaverunt seniores filiorum Israel. Et locutus est Aaron omnia verba, quae locutus est Deus ad Moysen, et fecit signa coram populo. Et credidit populus, et laetatus est; quod visitavit Dominus filios Israel, et quod

υἱοὺς Ἰσραὴλ καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν. κύψας δὲ ὁ λαὸς προσεκύνησεν. καὶ μετὰ ταῦτα εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν πρὸς Φαραώ, καὶ εἶπαν αὐτῷ, Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ. Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα ἑορτάσῃ μοι ἐν τῇ ἐρήμῳ. καὶ εἶπε Φαραώ, Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ; οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ. καὶ λέγουσιν αὐτῷ, Ὁ θεὸς τῶν Ἑβραίων προσκέκληται ἡμᾶς. πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ὅπως θύσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν, μήποτε
V 56 συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς
D Αἰγύπτου, Ἱνατί, Μωϋσῆ καὶ Ἀαρών, διαστρέφετε τὸν λαὸν ἀπὸ τῶν ἔργων; ἀπέλθατε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ.

Καὶ μετὰ βραχέα. Ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς, λέγοντες, Οὐκ ἀπολείψετε ἀπὸ τῆς πλινθείας τὸ καθῆκον τῇ ἡμέρᾳ. συνήντησαν δὲ Μωϋσεῖ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συνάντησιν αὐτοῖς, ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραώ. καὶ εἶπαν αὐτοῖς, Ἐφίδοι ὁ θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ

2. προσεκύνησαν P. ibid. καὶ Ἀαρὼν om. V. 3. εἶπεν V. 4. ἑορτάσωσιν P, ἑορτάσει μοι V. 5. οὗ εἰσακούσομαι] οὐκ ἀκούσωμαι V. 9. κυρίῳ om. P. 10. ὁ om. P. 11. ἱνατί om. V. ibid. διαστρέφετε] Ἀ. ἀποπετάζετε. Σ. ἀποστρέφετε. Θ. διασκεδάζετε m. P. 12. ἐπέλθατε V, ἀπέλθετε P. 13. Ἀρχὴ εἰσόδου Μωϋσέως καὶ Ἀαρὼν πρὸς Φαραώ. ἀθέατα (ἀθεάτης V) δὲ Φαραὼ καὶ ἐπιτίμια πρὸς αὐτοὺς καὶ προσθήκας κακῶσαι (προςθήκη κακώσεως V) τοῦ Ἰσραὴλ καὶ βαρυλογεῖ (βαρυλογία V) τοῦ Ἰσραὴλ πρὸς Μωϋσῆν καὶ Ἀαρών. m. PV. 14. ὑπολείψετε V. ib. πληνθίας P. 15. Μωυσῇ P. 17. εἶπον P. ib. ἐπίδοι P, ἐφείδοι V. 18. ἐβδέξατε V. 19. αὐτοῦ, τοῦ ἀποκτεῖναι P.

vidit eorum tribulationem. Inclinatus autem populus adoraverunt. Et post haec ingressus est Moyses et Aaron ad Pharaonem, et dixerunt ei: *Haec dicit Dominus Deus Israel: Dimitte populum meum, ut festum agant in deserto.* Et dixit Pharao: *Quis est, cujus audiam vocem ejus, ut dimittam filios Israel? non novi Dominum; et Israel non dimittam.* Et dicunt ei: *Deus Hebraeorum vocavit nos. Ibimus igitur viam trium dierum in desertum, ut sacrificemus Deo nostro; ne forte occurrat nobis mors, vel caedes.* Et dixit eis Rex Aegypti: *Cur Moyses et Aaron avertitis populum ab operibus: recedite unusquisque vestrum ad opera sua.*

Et post pauca. Videbant autem Scribae filiorum Israel seipsos in malis dicentes: *Non relinquetis a lateritio quod facitis, quod pertinet ad diem.* Occurrerunt autem Moysi et Aaron venientibus in occursum eis, exeuntibus illis a Pharaone, et dixerunt eis: *Videat Deus vos, et judicet, quod * abominati estis odorem nostrum coram Pharaone, et coram*

* putere fecistis. foetere *vulg.*

ἀποκτεῖναι ἡμᾶς. ἐπέστρεψε δὲ Μωϋσῆς πρὸς κύριον, καὶ εἶπε,
Κύριε, διὰ τί ἐκάκωσας τὸν λαόν σου τοῦτον, καὶ ἵνα τί ἀπέσταλκάς P 69
με, καὶ ἀφ' οὗ εἰσπεπόρευμαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ
ὀνόματι, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ ἐῤῥύσω τὸν λαόν σου. R 162
καὶ εἶπε κύριος πρὸς Μωϋσῆν, Ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραώ.
ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαποστελεῖ αὐτοὺς καὶ ἐν βραχίονι ὑψηλῷ
ἐκβαλεῖ αὐτοὺς ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησε δὲ ὁ θεὸς πρὸς
Μωϋσῆν καὶ εἶπε πρὸς αὐτόν, Ἐγὼ κύριος, καὶ ὤφθην πρὸς
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν. καὶ τὸ ὄνομά
μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς. καὶ ἔστησα τὴν διαθήκην μου
πρὸς αὐτούς, ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν Χαναναίων, τὴν
γῆν ἣν παρῳκήκασιν καὶ παρῴκησαν ἐπ' αὐτῆς. καὶ ἐγὼ εἰσή- B
κουσα τὸν στεναγμὸν τῶν υἱῶν Ἰσραήλ, ὃν οἱ Αἰγύπτιοι κατα-
δουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς διαθήκης ὑμῶν. Βάδιζε, εἶ-
πον τοῖς υἱοῖς Ἰσραὴλ λέγων, Ἐγὼ κύριος, καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς
δυναστείας τῶν Αἰγυπτίων, καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας
αὐτῶν, καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ καὶ κρίσει με-
γάλῃ, καὶ λήψομαι ὑμᾶς εἰς λαὸν ἐμαυτῷ καὶ ἔσομαι ὑμῶν
θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς
ἐκ γῆς Αἰγύπτου καὶ ἐκ τῆς δυναστείας τῶν Αἰγυπτίων. καὶ εἰσ-

1. ὑμᾶς P. *ib.* κύριον] τὸν θεὸν P. 4. ἐρύσω P. 5. πρὸς τὸν Μ. P. 12. καὶ π.] ἐν ᾗ π. P. 13. τῶν στεναγμῶν V et codex Augustanus: correxit R. *ib.* κατεδουλοῦντο m. P. 14. ὑμῶν] μου P. 15. λέγων om. V. *ib.* τῆς δυναστείας] δουλείας P. 16. δουλείας], δυναστείας P. 18. ἐμαυτῷ εἰς λαὸν P. 20. ἐκ γῆς Αἰγύπτου καὶ om. P.

servis ejus, ut det gladium in manus ejus, ut occidat nos. Conversus est autem Moyses ad Deum, et dixit: *Domine, quare afflixisti populum hunc? et cur misisti me? Et ex quo ingressus sum ad Pharaonem, ut loquerer in nomine tuo, afflixit populum hunc, et non liberasti populum tuum.* Et dixit Dominus ad Moysen: *Jam videbis quae faciam Pharaoni. In manu enim valida, et in brachio excelso ejiciet eos de terra sua.* Locutus est autem Dominus ad Moysen, et dixit ad eum: *Ego Dominus. Et apparui ad Abraham, et Isaac, et Jacob, Deus existens eorum. Et nomen meum Dominus non manifestavi eis. Et constitui foedus meum cum eis, ut darem eis terram Chananaeorum, terram quam habitaverunt in qua habitaverunt in ea. Et ego audivi gemitum filiorum Israel, quae Aegyptii in servitutem redegerunt eos, et recordatus sum foederis mei. Vade, loquere filiis Israel, dicens: Ego Dominus, et educam vos a servitute Aegyptiorum: et liberabo vos de potentia eorum, et redimam vos in brachio excelso et judicio magno. Et accipiam vos mihi in populum, et ero vester Deus: et cognoscetis, quod ego Dominus Deus vester, educens vos de potentia Aegyptiorum. Et adducam vos in terram, in quam ex-*

ἄξω ὑμᾶς εἰς τὴν γῆν εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι αὐ-
C *τὴν τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ. καὶ δώσω αὐτὴν*
ὑμῖν ἐν κλήρῳ ἐγὼ κύριος.

Ἐλάλησε δὲ Μωϋσῆς οὕτω τοῖς υἱοῖς Ἰσραήλ, καὶ οὐκ εἰσή-
κουσαν Μωϋσῇ ἀπὸ τῆς ὀλιγοψυχίας καὶ ἀπὸ τῶν ἔργων τῶν
σκληρῶν. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν λέγων, *Εἴσελθε, λά-*
λησον πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς
υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησε δὲ Μωϋσῆς ἐναντίον
κυρίου λέγων, *Ἰδοὺ οἱ υἱοὶ Ἰσραὴλ οὐκ εἰσήκουσάν μου· πῶς*
εἰσακούσεταί μου Φαραώ; ἐγὼ δὲ ἄλογός εἰμι. εἶπε δὲ κύριος
πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ συνέταξεν αὐτοῖς πρὸς Φαραὼ
βασιλέα Αἰγύπτου, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς
Αἰγύπτου.

D Καὶ μετ' ὀλίγα. Μωϋσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν
δὲ ὁ ἀδελφὸς αὐτοῦ ὀγδοήκοντα τριῶν ἦν ἐτῶν, ἡνίκα ἐλάλησαν
πρὸς Φαραώ. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέγων, *Καὶ*
ἐὰν λαλήσῃ πρὸς ὑμᾶς Φαραὼ λέγων, Δότε ἡμῖν σημεῖον ἢ τέρας.
καὶ ἐρεῖς Ἀαρὼν τῷ ἀδελφῷ σου, Λάβε τὴν ῥάβδον, καὶ ῥῖψον
R 164 *αὐτὴν ἐπὶ τὴν γῆν ἐναντίον Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ,*
καὶ ἔσται δράκων. εἰσῆλθεν δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἐναντίον

1. εἰς ἣν] ἐφ' ἣν P. 2. καὶ δώσω — κλήρῳ om. V. 4. οὕτως P. 8. ἔναντι P. 9. λέγων et οἱ om. P. ib. πῶς] καὶ πῶς P. 10. Φαραώ ante εἰσακούσεται ponit P. Φαραῶ saepius V. ib. ἄλογος. Ἀ. ἄλογος χείλεσιν. Σ. οὐκ εἰμὶ καθαρὸς τῷ φθέγματι. Θ. ἀπερίτμητος τοῖς χείλεσιν. LXX. m. P. 12. ἵνα ἐξαγάγῃ ὥστε P. 15. ὁ ἀδελφὸς αὐτοῦ om. P. ib. ἦν om. P. 17. λαλήσει PV. 19. ἐπὶ τὴν γῆν om. P. ib. καὶ ἐναντίον τῶν P. 20. εἰσῆλθε Μωϋσῆς P.

tendi manum meam, ut darem eam Abraham, Isaac et Jacob. Et dabo eam vobis in sorte: ego Dominus.

Locutus est autem Moyses sic filiis Israel: et non audiverunt Moysen prae pusillanimitate, et prae operibus duris. Ait autem Dominus ad Moysen, dicens: *Ingredere, loquere ad Pharaonem Regem Aegypti, ut dimittat filios Israel de terra sua.* Locutus est autem Moyses coram Domino dicens: *Ecce filii Israel non audiverunt me, et quomodo Pharao audiet me? ego enim balbus sum.* Dixit autem Dominus ad Moysen et Aaron: et mandavit eis ad Pharaonem Regem Aegypti: ut educat filios Israel de terra Aegypti. Et post pauca.

Moyses autem erat annorum octoginta, Aaron autem octoginta trium annorum, quando locuti sunt ad Pharaonem. Et ait Dominus ad Moysen et Aaron, dicens: *Et si loquitur ad vos Pharao dicens: Date nobis signum aut portentum. Et dices Aaron fratri tuo: Accipe virgam, et projice eam coram Pharaone, et coram servis ejus, et erit draco.* Ingres-

Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ ἐποίησαν οὕτως, καθάπερ ἐνετείλατο αὐτοῖς κύριος, καὶ ἔῤῥιψεν Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐγένετο δράκων. συνεκάλεσε δὲ Φαραὼ τοὺς σοφιστὰς καὶ τοὺς φαρμακούς, καὶ ἐποίησαν καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως, καὶ ἔῤῥιψεν ἕκαστος τὴν P 70 V 57 ῥάβδον αὐτοῦ, καὶ ἐγένοντο δράκοντες. καὶ κατέπιεν ἡ ῥάβδος Ἀαρὼν τὰς ἐκείνων ῥάβδους. καὶ κατίσχυσεν ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν αὐτοῖς κύριος. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Βεβάρυνται ἡ καρδία Φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν. βάδισον πρὸς Φαραὼ τὸ πρωί, ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ. καὶ σὺ ἔσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου, καὶ ἐρεῖς πρὸς αὐτόν, Κύριος ὁ θεὸς τῶν Ἑβραίων ἀπέσταλκέ με πρὸς σὲ λέγων, Ἀπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι ἐν τῇ ἐρήμῳ, καὶ ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου. τάδε λέγει κύριος, Ἐν τούτῳ γνώσει B ὅτι ἐγὼ κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα, καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ τελευτήσουσι, καὶ ἐποζέσει ὁ ποταμός, καὶ οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, Λάβε τὴν

1. καὶ τῶν θ. αὐτοῦ om. V. 3. αὐτοῦ prius om. P. 6. ἔῤῥιψαν P. 10. βεβάρυται P. 11. τὸν Φαραὼ P. ib. τὸ] τῷ P. 12. σὺ ἔσῃ] στήσῃ P. 13. ταύτην om. P. 14. λήψει V. 15. ἐξαπόστειλον P. 20. τελευτήσωσι V. ibid. ὑποζέσει P.

sus est autem Moyses et Aaron coram Pharaone et servis ejus, et fecerunt sic, sicut praecepit eis Dominus, et projecit Aaron virgam coram Pharaone, et coram servis ejus, et facta est draco. Convocavit autem Pharao sapientes et veneficos, et fecerunt, et incantatores Aegyptiorum incantationibus suis similiter. Et projecerunt unusquisque virgam suam, et factae sunt dracones: et devoravit virga Aaron illorum virgas. Et induratum est cor Pharaonis, et non audivit illos, sicut locutus est eis Dominus. Dixit autem Dominus ad Moysen: *Aggravatum est cor Pharaonis, ut non dimittat populum. Vade ad Pharaonem mane, ecce ipse egredietur ad aquam, et stabis obvians ei super labium fluminis; et virgam conversam in colubrum accipies in manu tua, et dices ad eum: Dominus Deus Hebraeorum misit me ad te dicens: Dimitte populum meum, et serviant mihi in deserto, et ecce non audivisti usque huc. Haec dicit Dominus: Ecce ego percutiam virga, quae in manu mea, in aquam quae in fluvio, et vertetur in sanguinem. Et pisces qui in flumine, morientur: et fervebit fluvius: et non poterunt Aegyptii bibere aquam a flumine.* Dixit autem Dominus ad Moysen: *Dic Aaron fratri tuo; accipe virgam*

ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν καὶ ἐπὶ τὰς διώρυγας αὐτῶν καὶ ἐπὶ τὰ ἕλη αὐτῶν καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐτῶν, καὶ ἔσται αἷμα. καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτῳ, ἔν τε τοῖς ξύλοις C καὶ ἐν τοῖς λίθοις. καὶ ἐποίησαν οὕτως Μωϋσῆς καὶ Ἀαρών, καθάπερ ἐνετείλατο κύριος αὐτοῖς. καὶ ἐπάρας Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ μετέβαλε πᾶν τὸ ὕδωρ τὸ ἐν ποταμῷ εἰς αἷμα. καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύ- R 166 πτῳ. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπεν κύριος. ἐπιστραφεὶς δὲ Φαραὼ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ οὐκ ἐπέστησε τὸν νοῦν D αὐτοῦ οὐδὲ ἐπὶ τοῦτο. ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι κύριον τὸν ποταμόν.

Εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, *Εἴσελθε πρὸς Φαραώ, καὶ ἐρεῖς πρὸς αὐτόν, Τάδε λέγει κύριος, Ἐξαπόστειλον τὸν λαόν*

2. *διορυχὰς* V. 4. *τῇ γῇ Αἰγύπτου* P. 5. *ἐν* om. P. 6. *αὐτοῖς κύριος* P. 11. *ἐκ*] *ἀπὸ* P. *ibid.* *πάσῃ τῇ γῇ Αἰγυπτίων* P, *πάσῃ τῇ γῇ Αἰγύπτου* R. 15. *εἰσῆλθεν — αὐτοῦ* cum lacuna om. V.

tuam, et extende manum tuam super aquas Aegypti, et super fluvios eorum, et super rivos eorum, et super paludes eorum, et super omnem aquam congregatam: et erit sanguis. Et fuit sanguis in omni terra Aegypti, inque lignis et lapidibus. Et fecerunt sic Moyses et Aaron, sicut praeceperat eis Dominus. Et elevans Aaron virgam suam, percussit aquam in flumine coram Pharaone, et coram servis ejus, et conversa est tota aqua, quae in flumine, in sanguinem. Et pisces, qui in flumine, mortui sunt: et computruit flumen, et non potuerunt Aegyptii bibere aquam a flumine, et erat sanguis in omni terra Aegypti. Fecerunt autem similiter, et incantatores Aegyptiorum incantationibus suis. Et induratum est cor Pharaonis, et non audivit eos, sicut dixit Dominus. Conversus autem Pharao ingressus est in domum suam: et non apposuit mentem suam neque in hoc. Foderunt autem omnes Aegyptii per circuitum fluminis, ut biberent aquam; et non poterant bibere aquam a flumine. Et impleti sunt septem dies postquam percussit Dominus flumen.

Dixit autem Dominus ad Moysen: *Ingredere ad Pharaonem, et dices ad eum: Haec dicit Dominus, Dimitte populum meum, ut mihi ser-*

μου, ἵνα μοι λατρεύσωσιν. εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου βατράχοις, καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους, καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου καὶ εἰς τὰ ταμεῖα τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου P 71 καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου καὶ ἐν τοῖς φυράμασί σου καὶ ἐν τοῖς κλιβάνοις σου, καὶ ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς θεράποντάς σου ἀναβήσονται οἱ βάτραχοι. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, Ἔκτεινον τῇ χειρί σου τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς καὶ ἐπὶ τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη καὶ ἀνάγαγε τοὺς βατράχους. καὶ ἐξέτεινεν Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἀνήγαγε τοὺς βατράχους, καὶ ἀνεβιβάσθη ὁ βάτραχος καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ τὴν γῆν Αἰγύπτου. καὶ ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρών, καὶ εἶπεν, Εὔξασθε περὶ V 58 B ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ' ἐμοῦ καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ τὸν λαόν, καὶ θύσουσι κυρίῳ. εἶπε δὲ Μωϋσῆς πρὸς Φαραώ, Τάξαι πρός με πότε εὔξομαι περί σου καὶ περὶ τῶν θεραπόντων σου καὶ περὶ τοῦ λαοῦ σου ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν ποταμῷ ὑπολειφθήσονται. ὁ δὲ εἶπεν, Εἰς αὔριον. εἶπεν οὖν, Ὡς εἴρηκας, ἵνα εἰδῇς ὅτι οὐκ

1. *βούλει* m. PR, *βούλη* PV. 2. *ἐγὼ* om. P. 3. *τοὺς βατράχους* P. 9. *σου* om. Exod. VIII. 5. 10. *σου* om. P. *ibid.* *διορυχὰς* V. 13. *πᾶσαν τὴν* P. 15. *καὶ ἐκάλεσε δὲ* V. 16. *εὔξασθε πρὸς τὸν κύριον* P. 18. *τοῦ λαοῦ μου* P. *ib.* *θύσωσι* V. 22. *ἐκ*] *ἀπὸ* P.

viant. Si autem non volueris tu dimittere, ecce ego percutio omnes terminos tuos ranis. Et eructabit fluvius ranas, et ascendentes ingredientur in domos tuas, et in penetralia cubiculorum tuorum, et in lectos tuos, et in massis tuis, et in furnis tuis, et in te, et in populum tuum, et in servos tuos ascendent ranae. Dixit autem Dominus ad Moysen: *Dic Aaron fratri tuo: et extende manu tua virgam super fluvios, et super rivos, et super paludes, et educ ranas.* Et extendit Aaron manum super aquas Aegypti, et eduxit ranas: et ascendit rana, et operuit totam terram Aegypti. Fecerunt autem similiter, et incantatores Aegyptiorum incantationibus suis, et eduxerunt ranas super terram Aegypti. Et vocavit Pharao Moysen et Aaron, et dixit: *Orate ad Dominum, et auferat ranas a me, et a populo meo, et dimittam populum, et sacrificabunt Domino.* Dixit autem Moyses ad Pharaonem: *Constitue ad me, quando orabo pro te, et pro servis tuis, et pro populo tuo, et ad delendum ranas a te, et a populo tuo, et a domibus vestris: veruntamen in fluvio remanebunt.* Ille autem dixit: *Cras.* Dixit igitur: *Ut dixisti, ut scias quia non est*

ἔστιν ἄλλος πλὴν κυρίου. καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ καὶ ἀπὸ τῶν οἰκιῶν ὑμῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.

C R 168 Ἐξῆλθε δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἀπὸ Φαραώ. καὶ ἀνεβόησε Μωϋσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο Φαραώ. ἐποίησε δὲ κύριος, καθάπερ εἶπε Μωϋσῆς, καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν, καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας, καὶ ἐπώζεσεν ἡ γῆ. ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.

Εἶτα ἐπῆλθον τοῖς Αἰγυπτίοις καὶ ἄλλαι πληγαί.

γʹ. Σκνίψ, ὡς ἀπροβλέπτοις καὶ ἀνηκόοις καὶ ἀδιακρίτοις καὶ ἀνομολόγοις.

D δʹ. Κυνόμυια, ὡς ἀχρώμοις καὶ ἀναισθήτοις.

εʹ. Θάνατος πάντων τῶν τετραπόδων διὰ τὴν πρὸς αὐτὰ πεποίθησιν.

ϛʹ. Ἕλκη, διὰ τὸ αὐχεῖν ἐν εὐρωστίᾳ.

ζʹ. Χάλαζα καὶ πῦρ, διὰ τὸ αὐχεῖν ὡς ἐν εὐθηνίᾳ ἀγαθῇ.

ηʹ. Ἀκρίς. ἀβασίλευτόν ἐστιν ἀκρίς, ὡς οὐ κυριεῦον. τὰ

2. καὶ ἐκ τῶν ἐπαύλεων quae om. P, supra v. 22. post ὑμῶν addit V, annectens καὶ ἀπὸ τῶν θ. — λαοῦ σου. Ego posui ubi Exod. VIII. 11. 9. θημωνίας] Al. θειμωνίας. Ἀ. Σ. κόρους m. P. 10. ἀνάψυξις] Θ. ἄνεσις m. P. 19. εὐρωστείᾳ P. 21. κυριεύοι PV.

alius praeter Dominum. Et auferentur ranae a te, et a domibus vestris, et a servis tuis, et a populo tuo: verumtamen in fluvio relinquentur.

Egressus est autem Moyses et Aaron a Pharaone: et exclamavit Moyses ad Dominum pro finitione ranarum, sicut constituit Pharaoni. Fecit autem Dominus sicut dixit Moyses, et mortuae sunt ranae ex domibus, et ex habitationibus, et ex agris: et congregaverunt illas cumulos, cumulos, et computruit terra. Videns autem Pharao, quod facta est requies, aggravatum est cor ejus: et non audivit illos, sicut locutus est Dominus.

Aegyptios invasere deinde Plagae aliae.

III. Scinips, velut inconsultos, inobedientes, qui verum et falsum non discernerent, et impia meditarentur.

IV. Musca canina, velut impudentes ac stupidos.

V. Mors omnium quadrupedum, quod in iis spem ponerent.

VI. Ulcera, quod dum essent sani, gloriarentur.

VII. Grando, et ignis, quod ex prospera fortuna superbirent.

VIII. Locusta: a Rege non gubernatur locusta, uti nec dominatur.

γὰρ ἄλλα κυριεύουσιν ἐκστρατεύματι, ἀφ᾽ ἑνὸς κελεύσματος εὐ-
τάκτως πρὸς κάκωσιν ἐχθρῶν ἀποστελλόμενα.
θ'. Σκότος.
ι'. Θάνατος πρωτοτόκων, διὰ τὸ αὐχεῖν ἐν παραμονῇ ζωῆς P 72
καὶ ἰσχύι καὶ δόξῃ.

Πληγαὶ δέκα.

Γ' διὰ τοῦ Ἀαρὼν ἐν τῇ ῥάβδῳ, αἷμα, βάτραχος, σκνίψ.
καὶ β' διὰ ἑαυτοῦ ὁ θεός, κυνόμυιαν, θάνατον, ἕλκη. καὶ μίαν
διὰ χειρὸς Μωϋσέως, συνυπουργοῦντος αὐτῷ τοῦ Ἀαρών.
Καὶ ἄλλαι τρεῖς διὰ Μωϋσέως μόνου· μία διὰ τῆς ῥάβδου,
καὶ μία διὰ τῆς χειρὸς αὐτοῦ, χάλαζα, ἀκρίς, σκότος.
Καὶ μίαν, τὴν τῶν πρωτοτόκων, δι᾽ ἑαυτοῦ ὁ θεός. B
Τούτῳ τῷ ,γωλη' ἔτει γενέσεως κόσμου ἀρχὴν εἰληφότι ἀπὸ
κα' τοῦ μαρτίου μηνὸς καὶ δευτέρῳ τῆς ἐξόδου εἶπεν ὁ κύριος
πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτῳ λέγων, Οὗτος ὁ μὴν
ἀρχὴ μηνῶν πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ· λά- R 170
λησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων, Τῇ δεκάτῃ
τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ᾽ οἴκους πα-
τριῶν, πρόβατον κατ᾽ οἰκίαν. ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν οἱ ἐν τῇ
οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, συλλήψεται μεθ᾽

1. κελεύματος P. 10. τῆς om. P. 13. αβ' ἐξόδου. αα' τῆς ἐξόδου m. P. 15. Αἰγύπτου P. 16. ὑμῖν] ἐν ὑμῖν P. 18. ἕκαστος om. P.

Caetera enim animalia velut in castris aliis imperant, cum unius mandato composite ad hostium exitium mittuntur.
IX. Tenebrae.
X. Mors primogenitorum, quod diuturnioris vitae spe, potentia pariter et gloria insolescerent.

Decem Plagae.

Tres per Aaronis virgam: Sanguis, rana, scinips.
Tres Deus per seipsum: Cynomyiam, [mortem] ulcera.
Et una per manum Moysi, adjuvante illum Aaron.
Et aliae tres per solum Moysen: una per virgam, una per manum ipsius: grando, locusta, tenebrae.
Una Deus per se: primogenitorum caedem.
Hoc anno a mundi conditione III. MDCCCXXXVII. qui a XXI. Martii mensis initium sumit, et secundus est Exodi, dixit Dominus ad Moysen et Aaron in terra Aegypti: *Mensis hic principium mensium, primus est vobis in mensibus anni. Loquere ad omnem congregationem filiorum Israel, dicens: Decima mensis hujus, accipiant unusquisque agnum per domos familiarum, agnum per domum. Si autem pauci fuerint, qui in domo, ut non sufficientes sint ad agnum, assumet secum vicinum proxi-*

ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ, κατὰ ἀριθμὸν ψυχῶν
ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμηθήσεται εἰς πρόβατον. πρό-
C V 59 βατον τέλειον ἄρσεν ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀμνῶν καὶ
τῶν ἐρίφων λήψεσθε. καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως ιδ'
τοῦ μηνὸς τούτου, καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγω-
γῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν. καὶ λήψονται ἀπὸ τοῦ αἵματος,
καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν καὶ ἐπὶ τὴν φλιὰν ἐν τοῖς οἴ-
κοις ἐν οἷς ἂν φάγωσιν αὐτὰ ἐν αὐτοῖς. καὶ φάγονται τὰ κρέα
τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται. καὶ
οὐκ ἔδεσθε ἀπ' αὐτῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ
ὀπτὰ πυρί, κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις. οὐκ ἀπο-
D λείψεται ἀπ' αὐτοῦ εἰς τὸ πρωί, καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ'
αὐτοῦ. τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωὶ ἐν πυρὶ κατα-
καύσετε, οὕτω δὲ φάγεσθε αὐτό. αἱ ὀσφύες ὑμῶν περιεζωσμέ-
ναι καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτη-
ρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς.
πάσχα ἐστὶν κυρίῳ. καὶ ἐλεύσομαι ἐν γῇ Αἰγύπτῳ ἐν τῇ νυκτὶ
ταύτῃ, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀν-
θρώπου ἕως κτήνους, καὶ ἐν πᾶσι θεοῖς Αἰγυπτίων ποιήσω τὴν
ἐκδίκησιν ἐγὼ κύριος. καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ
τῶν οἰκιῶν ἐν αἷς ὑμεῖς ἐστε ἐκεῖ. καὶ ὄψομαι τὸ αἷμα, καὶ σκε-
P 73 πάσω ὑμᾶς· καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτριβῆναι, ὅταν

2. τὸ] τῷ P. ibid. συναριθμήσασθαι R, συναριθμήσεται P. 3. ἄμωμον post ἄρσεν contra codicem addidit R. 5. αὐτὸ] αὐτῷ V. 8. αὐτὸ P. 10. ἢ] ῃ V, om. P sola. 11. ὑπολείψεται V, ἀπολείψετε R. 13. ἀπὸ τοῦ R. ib. ἕως] εἰς τὸ P. 21. ἔσται RV.

mum suum: juxta numerum animarum unusquisque quod sufficit sibi connumerabitur in agnum. Agnus perfectus, masculus, anniculus erit vobis: ab agnis et haedis accipietis. Et erit vobis servatum usque ad quartam et decimam mensis hujus. Et immolabunt eum omnis multitudo congregationis filiorum Israel ad vesperam. Et accipient de sanguine, et ponent in duobus postibus, et super limen, in domibus in quibus comederint illos in ipsis. Et comedent carnes hac nocte assas igne, et azyma cum herbis amaris comedent. Non comedetis ab eis crudum, neque coctum in aqua, sed assa igne, caput cum pedibus, et intestinis. Non relinquetur ex ipsis usque ad mane: et os non confringetis ab eo. At relicta ex eo usque ad mane, in igne comburetis. Sic autem comedetis illum. Lumbi vestri accincti, et calceamenta in pedibus vestris, et baculi vestri in manibus vestris, et comedetis eum cum festinatione: Pascha est Domini. Et transibo in terra Aegypti in hac nocte et percutiam omne primogenitum in terra Aegypti ab homine usque ad pecus: et in omnibus diis Aegyptiorum faciam ultionem, ego Dominus. Et erit sanguis vobis in signo domibus, in quibus vos eritis illic: et videbo sanguinem, et protegam vos: et non erit in vobis plaga ut deleamini, quando percussero in terra Ae-

παίῳ ἐν γῇ Αἰγύπτῳ. καὶ ἔσται ἡ ἡμέρα αὕτη ὑμῖν μνημόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν κυρίῳ εἰς τὰς γενεὰς ὑμῶν. νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, ἀπὸ δὲ τῆς πρώτης ἡμέρας ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς ἑβδόμης. καὶ ἡ ἡμέρα ἡ πρώτη κεκλήσεται ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐ- R 172 *ταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ· τοῦτο μόνον ποιηθήσεται ὑμῖν, καὶ φυλάξεσθε τὴν ἐντολὴν ταύτην· ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν ὑμῶν ἐκ γῆς Αἰγύπτου. καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον. ἐναρχο-* B *μένου τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας. ἑπτὰ ἡμέρας ζυμὴ οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζυμωτόν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς υἱῶν Ἰσραὴλ ἔν τε τοῖς γειώραις καὶ αὐτόχθοσι τῆς γῆς. πᾶν ζυμωτὸν οὐκ ἔδεσθε, ἐν παντὶ κατοικητηρίῳ ὑμῶν ἔδεσθε ἄζυμα. καὶ μετὰ βραχέα.*

Ἐὰν δὲ εἰσέλθητε εἰς τὴν γῆν ἣν ἂν δῷ κύριος ὑμῖν, καθότι ἐλάλησεν, φυλάξεσθε τὴν λατρείαν ταύτην. καὶ ἔσται

2. ἑορτάσατε V. 3. *ἄζυμα φάγεσθε, ἀπὸ δὲ τῆς ἡμέρας τῆς πρώτης* in margine ponit P, omissis quae eorum loco ex V recepi. 8. *ποιήσατε* P. 12. *ἐναρχομένῃ* P. 13. *τεσσαρεσκ.* P. *ibid.* *ἀφ'*] *ἀπ'* V. 15. *οὐχ*] *οὐκ* V.

gypti. Et erit dies haec vobis in memoriale, et celebrabitis eam festum Domino in generationes vestras. Legitimum sempiternum celebrate eam septem dies. Azyma comedetis: ab autem die prima expelletis fermentum ex domibus vestris. Omnis qui comederit fermentum, peribit anima illa ex Israel: a die prima, usque ad diem septimam. Et dies prima vocabitur sancta, et dies septima vocata sancta erit vobis. Omne opus servile non facietis in eis, praeter quae fient omni animae, hoc solum fiet vobis. Et custodietis mandatum hoc. In enim hac die educam exercitum vestrum ex terra Aegypti, et facietis diem hanc in generationes vestras legitimum sempiternum. Incipiente quarta decima die mensis primi, a vespera comedetis azyma, usque ad diem unam et vigesimam mensis, usque ad vesperam. Septem dies fermentum non invenietur in domibus vestris: omnis qui comederit fermentatum, peribit anima illa ex congregatione Israel, inque advenis, et in indigenis terrae. Omne fermentatum non comedetis: in omni habitaculo vestro comedetis azyma. Et post pauca.

Si autem ingressi fueritis in terram, quam Dominus dederit vobis, sicut locutus est, servabitis cultum hunc. Et erit. Si dixerint ad vos

C ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν, Τίς ἡ λατρεία αὕτη; καὶ
ἐρεῖτε αὐτοῖς, Θυσία τὸ πάσχα τοῦτο κυρίῳ, ὃς ἐσκέπασεν τοὺς
οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ, ἡνίκα ἐπάταξε τοὺς Αἰγυ-
πτίους, τοὺς δὲ οἴκους ἡμῶν ἐῤῥύσατο. καὶ μεθ᾽ ἕτερα.
Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων, Εἶπον τοῖς υἱοῖς
Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς, Ὅταν εἰσέλθητε εἰς τὴν γῆν ἣν
ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε
δράγμα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα. καὶ ἀνοίσει τὸ
δράγμα ἐναντίον κυρίου δεκτὸν ὑμῖν, τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει
D αὐτὸ ὁ ἱερεύς. καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν φέρητε τὸ δράγμα
πρόβατον ἄμωμον ἐνιαύσιον εἰς ὁλοκαύτωμα τῷ κυρίῳ. καὶ τὴν
θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ,
V 60 θυσία τῷ κυρίῳ, εἰς ὀσμὴν εὐωδίας κυρίῳ καὶ σπονδὴν αὐτοῦ
τὸ τέταρτον τοῦ οἴνου καὶ ἄρτον καὶ πεφρυγμένα χίδρα νέα οὐ
φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε
ὑμεῖς τὰ δῶρα τοῦ θεοῦ ὑμῶν, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς
ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν. καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύ-
ριον τῶν σαββάτων ἀπὸ τῆς ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δρά-
R 174 γμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἀριθμήσεις
P 74 ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος, ἀριθμήσετε πεντήκον-
τα ἡμέρας, καὶ προσοίσετε θυσίαν νέαν τῷ κυρίῳ· ἀπὸ τῆς κα-

2. τοῦτο τῷ P, τοῦτω V. 4. μεθ᾽ ἕτερα] Levit. XXIII. 10. 7. θερίσητε P. 8. δράγμα erasis τα V, δράγματα P. 9. ἔναντι P. 10. ἐν alterum om. P. 12. δέκατα] δεκατάς V. 13. θυσίαν P. 14. τὸ om. P. 15. ταύτην om. V. 16. ὑμεῖς om. P. 19. ἀριθμήσεις om. Levit.

filii vestri: Quis cultus hic? Et dicetis eis: Victima Pascha hoc Domino, qui protexit domos filiorum Israel in Aegypto, quando percussit Aegyptios: at domos nostras liberavit. Rursum post alia.

Et locutus est Dominus ad Moysen, dicens: *Loquere filiis Israel, et dices ad eos: Quando ingressi fueritis in terram, quam ego do vobis, et messueritis messem ipsius, et feretis manipulos primitias messis vestrae ad sacerdotem. Et offeret manipulum coram Domino acceptabile vobis, crastina die a primo offeret illum sacerdos. Et facietis in die qua tuleritis manipulum, ovem immaculatam anniculam in holocaustum Domino. Et sacrificium ejus duae decimae similae confectae in oleo, sacrificium Domino; in odorem suavitatis Domino, et libationem ejus quartam partem hin vini. Et panem et tosta farra nova non comedetis usque ad ipsam diem hanc; quoad obtuleritis dona Dei vestri: legitimum sempiternum in generationes vestras in omni habitatione vestra. Et numerabitis vobis a postero die sabbatorum, a die qua obtuleritis manipulum impositionis, septem hebdomadas integras numerabis usque ad crastinum ultimae hebdomadis, numerabis quinquaginta dies, et offeretis sacrificium novum Domino. Ab*

τοικίας ὑμῶν προσοίσετε ἄρτους ἐπίθεμα, δύο ἄρτους, ἐκ δύο δεκάτων σεμιδάλεως ἔσονται, ἐζυμωμένοι πεφθήσονται πρωτογεννημάτων τῷ κυρίῳ. καὶ προσάξετε μετὰ τῶν ἄρτων ἑπτὰ ἀμνοὺς ἀμώμους ἐνιαυσίους καὶ μόσχον ἕνα ἐκ βουκολίου καὶ κριοὺς δύο ἀμώμους, καὶ ἔσονται εἰς ὁλοκαύτωμα τῷ κυρίῳ, καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν θυσία ὀσμὴ εὐωδίας τῷ κυρίῳ. καὶ μεθ' ἕτερα.

Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις, καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσα- B ράκοντα ἔτη. καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός, τῇ ἡμέρᾳ τοῦ ἐξιλασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν, καὶ ἁγιάσετε τὸ ἔτος τὸ πεντηκοστόν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. ἐνιαυτὸς ἀφέσεως σημασία αὕτη ἔσται ὑμῖν. καὶ ἀπελεύσεται ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύσεσθε. ἀφέσεως σημασία αὕτη ἔσται ὑμῖν.

Καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἐρήμῳ Σινὰ ἐν τῷ ἔτει τῷ δευτέρῳ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου ἐν τῷ μηνὶ τῷ πρώτῳ λέγων, Εἶπον καὶ ποιείτωσαν υἱοὶ Ἰσραὴλ τὸ πάσχα καθ' ὥραν αὐτοῦ C τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν

1. προσοίσετε] οἴσετε V. *ib.* δεκατῶν V. 2. ἔσονται] ἔσται ὁ ἄρτος ὁ εἷς V. 5. εἰς om. P. 7. μεθ' ἕτερα] XXV. 8. 10. διαγγελήσονται V hic et 12. *ib.* φωνὴν P. 15. ἀπελεύσεσθε P. 18. καὶ ἐλάλησε] Numer. IX. 1. 19. ἐκ γῆς] ἐξ V. 20. ποιήτωσαν V, ποιησάτωσαν P. *ibid.* οἱ υἱοὶ P. 21. τεσσαρισκ.] ιδ' P.

habitatione vestra offeretis panes impositionem, duos panes: ex duabus decimis similae erunt, fermentati coquentur primitiarum domino. Et offeretis cum panibus, septem agnos immaculatos anniculos, et vitulum unum ex bobus et arietes duos immaculatos, et erunt holocaustum Domino, et sacrificia eorum, et libationes eorum sacrificium odor suavitatis Domino. Et post alia.

Et numerabis tibi ipsi septem requies annorum septem annos septies: et erunt tibi septem hebdomades, annorum novem, et quadraginta anni. Et annunciabitis tubae vocem in omni terra vestra, mense septimo, decima mensis. Die propitiationis annunciabitis tuba in omni terra vestra: Et sanctificabitis annum quinquagesimum, et clamabitis remissionem in terra, in omnibus habitantibus eam. Annus remissionis significatio haec erit vobis. Et redibitis unusquisque in possessionem suam, et quilibet in familiam suam redibitis. Remissionis significatio haec erit vobis.

Et locutus est Dominus ad Moysen in deserto Sinai, in anno secundo egressorum eorum de terra Aegypti, in mense primo, dicens: *Dic, et faciant filii Israel Pascha juxta tempus suum. Quarta et decima die*

ποιήσετε αὐτὸ κατὰ καιρούς. κατὰ τὸν νόμον αὐτοῦ καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσετε αὐτό.

Καὶ ἐλάλησε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ ποιῆσαι τὸ πάσχα. ἐναρχομένου τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἐν τῇ ἐρήμῳ Σινά, καθὰ συνέταξε κύριος τῷ Μωϋσεῖ, οὕτως ἐποίησαν υἱοὶ Ἰσραήλ. καὶ παρεγένοντο οἱ ἄνδρες οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ προσῆλθον ἔναντι Μωϋσεῖ καὶ Ἀαρὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ εἶπον οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐ-
D *τούς, Ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, μὴ οὖν ὑστερήσωμεν ὥστε προσενεγκεῖν τὸ δῶρον κυρίου κατὰ καιρὸν αὐτοῦ ἐν*
R 176 *μέσῳ υἱῶν Ἰσραήλ. καὶ εἶπε Μωϋσῆς πρὸς αὐτούς, Στῆτε αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται κύριος περὶ ὑμῶν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων, Ἄνθρωπος ἄνθρωπος, ὃς ἐὰν γένηται ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου ἢ ἐν ὁδῷ μακρὰν ὑμῖν ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ πάσχα τῷ κυρίῳ τῷ μηνὶ τῷ β′ ἐν τῇ ιδ′ ἡμέρᾳ, πρὸς ἑσπέραν ποιήσουσιν αὐτό, ἐπ' ἀζύμων καὶ πικρίδων φάγονται αὐτό. οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωί, καὶ ὀστοῦν οὐ*
P 75 *συντρίψουσιν ἀπ' αὐτοῦ, κατὰ τὸν νόμον τοῦ πάσχα ποιήσουσιν αὐτό. καὶ ἄνθρωπος ὃς ἐὰν καθαρὸς ᾖ καὶ ἐν ὁδῷ μακρὰν οὐκ*

1. *καιρούς*] *καιρὸν αὐτοῦ* P. 2. *τὴν* om. P. *ibid.* *ποιήσεις* P. 4. *τεσσαρεσκ.* P. *ibid.* *τοῦ πρώτου* om. P. 5. *τοῦ Σινὰ* P. *ib.* 8. *Μωϋσῇ* PV. 6. *οἱ υἱοὶ* P. 8. *ἐναντίον* P. 10. *ὑστερήσομεν* P. 12. *καὶ* om. P et V (?). 13. *ἀκούσομεν* P. *ib.* *κύριος περὶ ὑμῶν*] *περὶ ὑμῶν κύριος* P. 15. *ἂν* P. 16. *ὑμῖν*] *ἐν ὑμῖν* V. 17. *τῷ*] *ἐν τῷ* P. 18. *ποιήσουσιν*] *ποιήσετε* V. 21. *ἂν* P.

mensis primi ad vesperam facietis illud, juxta tempus suum, secundum legem ejus, et juxta comparationem ejus facies illud.

Et locutus est Moyses filiis Israel facere Pascha, incipiente quarta decima die mensis in deserto Sinai, sicut praecepit Dominus Moysi, sic fecerunt filii Israel. Et venerunt viri, qui erant immundi super anima hominis, et non potuerunt facere Pascha in die illa. Et accesserunt coram Moyse, et Aaron in illa die. Et dixerunt viri ad eos: *Nos immundi sumus super anima hominis: non igitur fraudemur ad offerendum donum Domino juxta tempus suum, in medio filiorum Israel?* Et dixit ad eos Moyses: *State ibi, et audiemus quid praecipiet de vobis Dominus.* Et locutus est Dominus ad Moysen, dicens: *Homo, homo, qui fuerit immundus super anima hominis, aut in via longe a vobis, aut in generationibus vestris, et faciet Pascha Domino, in mense secundo in quarta et decima die ad vesperam facient illud: in azymis et herbis amaris comedent illud. Non relinquent ex eo in mane, et os non confringent ex eo: juxta legem Paschae facient illud. Et homo qui mundus fuerit, et in via longe*

ἔστιν, καὶ ὑστερήσει τοῦ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ δῶρον κυρίῳ οὐ προσήνεγκεν κατὰ τὸν καιρὸν αὐτοῦ, ἁμαρτίαν αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖνος. ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ V 61 *γῇ ὑμῶν, καὶ ποιήσει τὸ πάσχα κυρίῳ κατὰ τὸν νόμον τοῦ πάσχα καὶ κατὰ τὴν σύνταξιν αὐτοῦ, οὕτω ποιήσει αὐτό. νόμος εἷς ἔστω ὑμῖν καὶ τῷ προσηλύτῳ καὶ τῷ αὐτόχθονι τῆς γῆς.*

Αὗται αἱ ἑορταὶ τῷ κυρίῳ καὶ αὗται ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν τῷ πρώτῳ μηνὶ ἐν τῇ τεσσαρισκαιδε- B *κάτῃ τοῦ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ, καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων· ἑπτὰ ἡμέρας ἄζυμα φάγεσθε. καὶ ἡ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.*

Εἶτα βουλόμενοι γνῶναι πότε ἔφθασεν ἡ δεκάτη τοῦ πρώτου μηνός, τίθεμεν τὰ ͵γωλη´ ἔτη, καὶ μερίζομεν παρὰ τὸν ιθ´. ιθ´ σ´ γίνονται ͵γω´, ιθ´ α´ γίνονται ιθ´. λοιπὸν ιθ´. ἔχει δὲ τὸ κατὰ φύσιν ιθ´ ἔτος ἐπακτὰς λ´. ταύταις συνάπτομεν τὰς ιγ´ τὰς πρὸ τῶν φωστήρων καὶ προσελήνους ζ´ καὶ ἀπὸ κα´ καὶ αὐ- C *τῆς τοῦ μαρτίου μηνός, καθ᾽ ἣν ἡ ἰσημερία γνωρίζεται, ια´ καὶ*

1. *τοῦ* om. P. 3. *αὐτοῦ* alterum om. P. 6. *οὕτως ποιήσουσιν* P. 7. *ἔσται* P. 8. *αὗται*] Levit. XXIII. 4. 9. *τεσσαρεσκ.* P. 11. *πρώτῃ καὶ δεκάτῃ* P. 16. *πόθεν* P, *πότεν* R. 19. *συνάπτωμεν* PV.

non est, et fraudabitur facere Pascha, exterminabitur anima illa de populo suo: quia donum Domino non obtulit juxta tempus suum: peccatum accipiet homo ille. Si vero accesserit ad vos advena in terra vestra, et faciet Pascha Domino juxta legem Paschae, et juxta ordinem ejus, sic facient illud. Lex una erit vobis et advenae, et indigenae terrae.

Haec festa Domini vocata sancta, quae vocabitis ipsa in temporibus suis. In primo mense, in quarta decima die mensis, inter vespertina Phase Domino. Et in quinta decima die mensis hujus, festum azymorum Domino, septem dies comedetis azyma. Et dies prima vocata sancta erit vobis. Omne opus servile non facietis. Et dies septima vocata sancta erit vobis: omne opus servile non facietis.

Deinde si velimus nosse, quando decima Luna primi mensis inciderit, ponimus annos 3838. quos per 19. dividimus. 19. ducimus in 200. et fiunt 3800. Novendecim duc in monadem, fiunt 19. relinquentur 19. Annus porro naturalis decimus nonus, habet epactas 30. His addamus illas 13. ante luminaria et septem antelunares: praeterea (undecim illas) a 21. Martii mensis, quo die aequinoctium designatur, et novem insuper ex Aprili, fiunt septuaginta. Abjice deinceps bis 30. fiunt 60. remane-

ἀπριλίου θ', γίνονται ο'. ἔκβα βλ', γίνονται ξ'. λοιπὸν ι'. καὶ R 178 *δῆλον ὡς ι' τοῦ πρώτου μηνός, καθ' ὃ τὸ πρῶτον ἐν Αἰγύπτῳ πάσχα ἐπετελεῖτο, καὶ προσετάχθησαν οἱ υἱοὶ Ἰσραὴλ λαβεῖν τὸ πρόβατον καὶ διατηρῆσαι, τῇ θ' ἔφθασεν τοῦ ἀπριλίου μηνός. διὰ τί δὲ ͵γωλη' ἐμερίσαμεν, καὶ οὐχὶ τὸ ἓν ἐξελόντες τὰ ͵γωλζ' ἐμερίσαμεν; ἐπειδὴ ͵γωλη' ἔτει γενέσεως κόσμου εἰσῆλθον πρὸς Φαραὼ Μωϋσῆς καὶ Ἀαρών, καὶ ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνὸς ἐπελάβετο τὸ γωλθ' ἔτος τοῦ κόσμου. καὶ εἰκότως* D *τὰ ͵γωλη' μερίζομεν παρὰ τὸν ιθ'.*

Εἶτα θέλοντες γνῶναι καὶ πότε γέγονεν ἡ ιδ', καθ' ἣν ἐπετελέσθη τὸ πάσχα, τίθεμεν τὰς τοῦ φύσει ιθ' ἔτους ἐπακτὰς λ' καὶ πρὸ τῶν φωστήρων ιγ' προσελήνους ζ' καὶ ια' τὰς ἀπὸ κα' μαρτίου καὶ ιγ' ἀπριλίου· γίνονται οδ'. ἔξελε βλ', γίνονται ξ'. λοιπὸν ιδ'. καὶ ἔγνωμεν ὡς ἡ ιδ' τῆς σελήνης κατὰ τὸ παρὸν ἔτος ἔφθασεν τῇ ιγ' τοῦ ἀπριλίου μηνός.

Εἶτα θέλοντες γνῶναι καὶ ποία ἡμέρα τῆς ἑβδομάδος ἦν, ὅτε τὸ πρῶτον ἐν Αἰγύπτῳ γέγονε πάσχα, τίθεμεν τὰ ͵γωλη' ἔτη. P 76 *τούτοις προσάπτομεν τὸ τέταρτον, γίνονται ͵δψϞζ'. μέρισον ἑβδόμου ζ', χ' γίνονται. ͵δσζ' π', γίνονται φξ'. ζ' ε', γίνονται λε'. λοιπὸν β'. ταύταις πρόσβαλε πρὸ τῶν φωστήρων γ', γίνονται ε, καὶ ια' τὰς ἀπὸ κα' μαρτίου, γίνονται ιϛ'. πρόσβαλε καὶ ἀπριλίου ιγ', γίνονται κθ'. ταύτας εἰς ζ', ζ' δ' γίνονται κη'. λοι-*

1. *ἀπριλλίου* P hic et infra. 2. *πάσχον* V. 13. *βλ'*] *λβ'* V. 16. *ποία ἡ ἡμέρα* P.

bunt 10. Planum ergo fit decimam Lunam primi mensis, (qua primum in Aegypto Pascha celebrabatur, et jussi sunt filii Israel agnum accipere et servare) in nonum Aprilis mensis incidisse. Sed cur partiti sumus annum mundi 3838. et non potius abjecto uno divisimus 3837? Quia Moyses cum Aarone anno mundi, 3838. ingressus est ad Pharaonem; e a 21. Mensis Martii inchoabat jam annus mundi 3839. Merito ergo 3838. dividimus per 19.

Porro si lubet scire quando 14. Luna extiterit, qua Pascha celebratum est: ponimus illas 30. epactas, quas annus decemnovennalis natura sua habet; et 13. praeterea illas ante luminaria, ac 7. antelunares, illasque 11. a 21. Martii: et 13. Aprilis; fiuntque 74. Abjice bis 30. et erunt 60. relinquenturque 14. Ita discimus, quo pacto 14. Luna praesentis anni in diem 13. mensis Aprilis inciderit.

Insuper si velimus etiam scire, quis ille dies hebdomadis fuerit, quo die primum in Aegypto Pascha institutum est: numeramus annos 3838. His quartam adjicimus partem, existuntque 4797. Duc 7. in 600. prodibunt 4200. Duc 7. in 80. exstabunt 560. Duc 5. in 7. nascentur 35. superant duo: his adjice tres ante luminaria, et erunt 5. undecimque a 21. Martii, erunt 16. Adde ex Aprili 13. erunt 29. Duc 4. in 7. erunt

πὸν α'. καὶ ἔγνωμεν ὡς ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, καθ' ἣν πρῶτον τὸ ἐν Αἰγύπτῳ πάσχα ἐπετελέσθη, ἔφθασεν τῇ ιγ' τοῦ ἀπριλίου μηνὸς καὶ ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος.

Μετὰ τὰς ι' πληγὰς ἡ κάλυψις τῆς θαλάσσης ἐπὶ Φαραὼ καὶ B
ἐπὶ τοὺς Αἰγυπτίους ια'.

Τὸν Μωϋσῆν μετὰ τὸ ἐπαγαγεῖν αὐτὸν τὰς πληγὰς οἱ Αἰγύπτιοι Ψομ-Θομ-Φαν-Χθὴ προσηγόρευσαν, ὃ ἑρμηνεύεται, ᾧ ἀπεκαλύφθη τὸ μέλλον.

Μωϋσῆς προεφήτευσεν λέγων, Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεός, ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα.

Ἀαρὼν προεφήτευσεν λέγων, Μή μοι ὀργίζου, κύριε· σὺ V 62
γὰρ οἶδας τὸ ὅρμημα τοῦ λαοῦ τούτου· λέγουσι γάρ μοι, Ποίησον ἡμῖν θεούς.

γ', δ', ε', ϛ'.

ϛ' ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ καὶ πϛ' Μωϋσέως R 180
Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ πθ' ἔτος κατάγων πρῶτος Ἑβραίων C
ἀρχιερεὺς κατέστη.

ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη'.

Ἑβραίων τὴν ἀρχιερωσύνην δεύτερος διεδέξατο Ἐλεάζαρος υἱὸς Ἀαρών.

2. πρῶτος V, qui voluit fortasse πρώτως. ib. πάσχον V. 8. τὸ om. P. 10. κύριος om. P. 11. σὺ] οὐ RV. Exod. XXXII. 22. 15. τῷ ϛ' P.

28. relinquitur unum. Intelligitur ergo quemadmodum 14. Luna mensis primi, qua primum in Aegypto Pascha celebratum est, in 13. diem Aprilis inciderit, primaque hebdomadis die peractum sit. Anni a m. c.

Post x. plagas secuta est alia, qua Pharao et Aegyptii mari obruti, eoque contecti perierunt.

Moysen, post inductas ab eo plagas, Aegyptii appellavere Psom-Thom-Phan-Chti, hoc est, cui futura revelata sunt.

Moyses prophetavit, dicens: *Prophetam vobis suscitabit Deus sicuti me: ipsum in omnibus audietis.*

Aaron quoque prophetavit dicens: *Ne irascaris, Domine, mihi: non enim nosti impetum populi hujus. Dicunt enim mihi: fac nobis Deos.*

III. IV. V. VI. 3840.

Hoc anno VI. migrationis filiorum Israel, et anno LXXXVI. Aaron, frater ejus, cum ageret annum LXXXIX. primus Hebraeorum summus pontifex est creatus.

VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII.

Summum Pontificatum Hebraeorum excepit Eleasarus, filius Aaron.

ιθʹ, κʹ, καʹ, κβʹ, κγʹ, κδʹ, κεʹ, κϛʹ, κζʹ, κηʹ, κθʹ, λʹ, λαʹ, λβʹ, λγʹ, λδʹ, λεʹ, λϛʹ, λζʹ, ληʹ, λθʹ, μʹ.

Εἰς τὸν Μωϋσῆν.

D *Οὗτός ἐστιν ὁ μέγας Μωϋσῆς ὁ τῶν παραδόξων σημείων καὶ τεράτων ποιητής, ὁ τῆς κτίσεως κοσμογράφος, ὁ σκιαῖς τοῦ ἀληθινοῦ ἡμῶν ποιμένος Χριστοῦ τετιμημένος καὶ προσώπῳ ὑπὸ θεοῦ δεδοξασμένος, ὁ λόγοις καὶ ἔργοις προμηνύων τὰ τῆς οἰκονομίας τοῦ δεσπότου Χριστοῦ, ἔργοις μὲν ὡς τὸν Ἰσραὴλ ἐκ δουλείας Αἰγυπτίων λυτρώσασθαι, τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος ποιησάμενος, τὴν διάβασιν τῆς θαλάσσης ὡς ἐπὶ βαπτίσματος διὰ τῆς νεφέλης προμηνύων τὴν δόσιν τοῦ νόμου καὶ τῆς ἐρήμου τὴν διαγωγήν, ὡς ἐπὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς ἐκ-*
P 77 *κλησίας προτυπούμενος, τὸν ὄφιν τὸν χαλκοῦν ἐφ' ὑψηλοῦ στήσας, τὸ πάθος τὸ διὰ τοῦ σταυροῦ τοῦ δεσπότου Χριστοῦ προκατήγγελλεν τὴν εἴσοδον τῆς γῆς τῆς ἐπαγγελίας διὰ Ἰησοῦ παραπέμψας τὸ κατοικητήριον τὸ ἐν οὐρανοῖς προεγράφετο, ᾧ τάξις μεσίτου ὑπερφυὴς διὰ πλειόνων θαυμάτων ἱστορουμένη. τί δὲ δεῖ λέγειν καὶ περὶ τῆς σκηνῆς τῆς οὔσης ἐκμαγεῖον παντὸς τοῦ κόσμου, ἐν ᾗ καὶ τὸ ἱλαστήριον ἔθετο, τάξιν ἐπέχον τοῦ δεσπότου Χριστοῦ; ἀλλ' ἵνα μὴ μηκύνωμεν τὸν λόγον, πολλάκις αὐτὰ προειρηκότες, ἐπὶ τὴν προ-*

14. *προκατήγγελεν* P. 15. *τῆς* alterum om. P. 18. *τοῦ* om. P. *ibid.* *τὸ* om. P. 19. *μηκύνωμεν*] *μείνομεν* P.

XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII. XXXIX. XL. XLI. XLII. XLIII. XLIV. XLV. XLVI. XLVII. XLVIII. XLIX. L. LI. LII. LIII. LIV. LV. LVI. LVII. LVIII. LIX.

De Moyse.

Hic est magnus ille Moyses, mirandorum signorum et prodigiorum patrator, qui mundi creationem descripsit: qui Christum verum nostrum Pastorem adumbrare, et Deum videre meruit: qui verbis et factis Christi dispensationem praenuntiavit: ac factis quidem, ut qui Israelitas ab Aegyptiorum servitute liberaverit, Pascha et effusionem sanguinis instituerit: qui per maris factum transitum baptismum expressit: qui per nubem praenuntians legis promulgationem, et vitam in eremo, Spiritus sancti et Ecclesiae formam designavit: qui per serpentem aereum in sublime erectum, Christi Domini per crucem passionem praedixit: qui ingressum in terram Repromissionis, per Jesum filium Nave praemittens, coeleste domicilium descripsit: cui supernaturalis Mediatoris status per plura miracula descriptus est. Quid porro de Tabernaculo dicere attinet, quod mundi totius extitit figura, in quo et propitiatorium collocavit, quod Christi Domini vicem obtinuit? Verum ne diutius sermonem

φητείαν αὐτοῦ τὴν διὰ τῶν λόγων ἔλθωμεν. λέγει τοίνυν οὕτως. Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν εἴπῃ πρὸς ὑμᾶς. B
ἔσται δέ, πᾶσα ψυχή, ἥτις οὐκ ἀκούει τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. καὶ πάλιν αὐτὸς συγγράφει, ὡς ἀπὸ τοῦ Βαλαὰμ εἰρημένον, Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ R 182
ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει τοὺς ἄρχοντας Μωὰβ καὶ ὑποτάξει πάντας τοὺς υἱοὺς Σήθ. υἱοὶ δὲ Σὴθ ὅλος ὁ κόσμος ἐστί· καὶ οὐχ ἁρμόζει τοῦτο, εἰ μὴ ἐπὶ τοῦ δεσπότου Χριστοῦ. ὁ γὰρ Σὴθ θεμέλιος ἑρμηνεύεται. ἐπειδὴ οὖν ὁ Κάϊν καὶ τὸ τούτου σπέρμα ἐν τῷ κατακλυσμῷ ὅλον ἀπώλετο, Ἀβὲλ δὲ ἄπαις νεώτερος ἐτελεύτησεν, τούτων ὁ Σὴθ μεταγενέστερος C
ἐγένετο, ἐξ οὗ καὶ ὁ Νῶε καὶ πᾶς ὁ κόσμος κατάγεται, ὥσπερ τις θεμέλιος τῶν ἀνθρώπων· διὰ τοῦτο ἐκ τῆς αἰτίας ἐνθουσιασθεὶς αὐτὸν ὁ Ἀδὰμ ἐπωνόμασε Σήθ, ἵνα εἴπῃ ὅλον τὸν κόσμον. τοῦτο δὲ ἐπὶ τοῦ Χριστοῦ καὶ μόνου ἁρμόζει, πρὸς ὃν πᾶσα ἡ θεία γραφὴ ἀφορᾷ.

Ἰησοῦς Ναυῆ κζ', ὁμοῦ ,γωδ'. V 63

α', β', γ', δ' ε'.

Ἦν ἀρχιερεὺς Ἐλεάζαρος, υἱὸς Ἀαρών.

1. *τῶν* om. P. *ibid. λέγει*] Deut. XVIII. 15. 2. *ὑμῶν* om. P. 6. *Ἀβραὰμ* P. Conf. Numer. XXIV. 17. 9. *οὐκ* V. 10. *ὅτι Σὴθ θεμέλιος ἑρμηνεύεται* m. P. 13. *ὁ* alterum om. P.

protrahamus, eadem saepius iterantes, ad illius Prophetiam quam verbis prodidit, deveniamus. Sic igitur ait: *Prophetam suscitabit vobis Dominus Deus ex fratribus vestris, sicuti me. Illum juxta omnia audietis quaecumque dixerit vobis. Erit autem omnis anima, quae non audierit Prophetam illum, exterminabitur de populo suo.* Rursum ipse scribit, velut ab Abraham dictum: *Orietur stella ex Jacob, et consurget homo de Israel, et percutiet Duces Moab, et subjiciet sibi omnes filios Seth.* Nomine porro filiorum Seth, totus mundus intelligitur: neque tamen in Seth id quadrat, sed in Christum Dominum. Seth enim idem valet quod fundamentum. Nam cum Cain et omnis illius posteritas in diluvio perierit, Abel autem absque liberis natu minor vitam finierit, his posterior Seth erat, ex quo et ex Noe et mundus universus propagatus est, factus veluti hominum fundamentum: propterea divino afflatus spiritu Adam eum Seth appellavit, ut isto nomine totum mundum designaret. Illud autem in unicum Christum quadrat, in quem omnis sacra spectat Scriptura.

Jesus Nave, 27. Colliguntur anni 3804.

I. II. III. IV. V.

Eleazarus, Aaronis filius, summus erat Pontifex.

D ϛ', ζ'.

Τούτῳ τῷ ἔτει τῆς ἑαυτοῦ ἡγεμονίας διαγαγὼν Ἰησοῦ υἱὸς Ναυῆ τοὺς υἱοὺς Ἰσραὴλ εἰς γῆν Χαναὰν δεκάτῃ τοῦ πρώτου μηνὸς διὰ μέσου τοῦ Ἰορδάνου στήσας τοὺς δύο φωστῆρας θεοῦ βουλήσει, πρώτην τε πόλιν τὴν Ἱεριχώ, τῶν τειχέων αὐτῆς πεπτωκότων αὐτομάτως ἄνευ ἀνθρωπίνης καυχήσεως, τὴν Παλαιστινῶν γῆν τῷ Ἰουδαίων ἔθνει διανέμει πρὸς κλῆρον κατὰ φυλήν, κατασκάψας ἐπαρχίας ἑπτὰ καὶ ἐρημώσας βασιλείας κθ' ἐν ἓξ ἔτεσιν· ἐν οἷς καὶ τῆς τῶν Φοινίκων γῆς περιεκράτησεν.

P 78 *Προεφήτευσεν Ἰησοῦς καὶ εἶπεν, Κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστιν ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω.*

η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κϛ', κζ'.

Μετὰ τελευτὴν Ἰησοῦ ἐξήμαρτεν ὁ λαὸς τῶν υἱῶν Ἰσραὴλ πρὸς τὸν θεόν· καὶ παρέδωκεν αὐτοὺς κύριος ὁ θεὸς τῷ Χουσαρσαθὲμ βασιλεῖ τῆς Μεσοποταμίας, καὶ ἐδούλευσαν αὐτῷ ἔτη η'.

R 184 *Χουσαρσαθὲμ η', ὁμοῦ ,γϡιβ'.*

α', β', γ', δ', ε', ϛ', ζ', η'.

B *Ἑβραίων τὴν ἀρχιερωσύνην τρίτος διεδέξατο Φινεές.*

Μετὰ τελευτὴν τοῦ Χουσαρσαθὲμ κρατοῦσιν Ἑβραίων ἀλ-

5. *τε τὴν πόλιν* P. 11. *τῆς* om. P. 15. *δουλεία πρώτη* m. R.
21. *δευτέρα δουλεία* m. P.

Anni a m. c. VI. VII.

Hoc anno Principatus sui Jesus filius Nave cum in Chananaeorum terram decima mensis per medium Jordanem filios Israel deduceret, ac duo coeli luminaria Dei nutu stitisset, primamque urbem Jericho, moenibus illius sponte ac sine vi humana cadentibus, cepisset, Palaestinorum terram Judaeorum genti tributim sorte partitur: provinciis VII. destructis, ac XXIX. regnis intra sexennium desolatis: qua etiam tempestate terram Phoenices obtinuit.

Prophetavit quoque Jesus, et dixit: *Dominus Deus noster Dominus unus est in coelo sursum, et in terra deorsum.*

VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII.

Defuncto Jesu, populus filiorum Israel peccavit in Deum: eosque tradidit Dominus Chusarsathem Regi Mesopotamiae, cui annos VIII servierunt.

3921. Chusarsathem, 8. Colliguntur anni 3912.

I. II. III. IV. V. VI. VII. VIII.

Hebraeorum summum Pontificatum tertius obtinuit Phinees.

Post mortem Chusarsathem, Hebraeis, iis subactis, imperarunt alie-

λόφυλοι ἔτη η΄, ἃ καὶ συνάπτεται τοῖς τοῦ Γοθονιὴλ κατὰ τὰς Ἰουδαίων παραδόσεις. καὶ κεκραξάντων τῶν λαῶν πρὸς τὸν θεὸν ἀνέστησεν αὐτοῖς κύριος ὁ θεὸς ἡγεμόνα τὸν Γοθονιὴλ, ἀδελφὸν Χαλὲβ τὸν νεώτερον, ἐκ φυλῆς Ἰούδα. οὗτος παρετάξατο τῷ Χουσαρσαθὲμ βασιλεῖ τῆς Μεσοποταμίας εἰς πόλεμον, καὶ ἔκρινεν αὐτὸν, καὶ τὸν λαὸν αὐτοῦ προενόμευσεν, καὶ ἦρξεν Γοθονιὴλ κρίνων τὸν λαὸν ἔτη λβ΄. ὁμοῦ ͵γϠμδ΄.

α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄, θ΄, ι΄, ια΄, ιβ΄, ιγ΄, ιδ΄, ιε΄, ιϛ΄, C
ιζ΄, ιη΄, ιθ΄, κ΄, κα΄, κβ΄, κγ΄, κδ΄, κε΄, κϛ΄, κζ΄, κη΄, κθ΄,
λ΄, λα΄, λβ΄.

Post Jehu, decimus Hebraeorum regnavit in Israel Joachaz annis XVII. Colliguntur anni CXLIII.

I. II.

Ἀζαὴλ βασιλεὺς Συρίας ἠβουλήθη ἐπιστρατεῦσαι τῷ Ἰωὰς βασιλεῖ Ἰούδα. καὶ ἐπιστρατεύσας τῷ Ἰωάχαζ βασιλεῖ Ἰσραήλ, ἐν πρώτοις ἐξέθλιψεν αὐτὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

γʹ, δʹ, εʹ.

Ἐλισσαῖος ὁ προφήτης μετήλλαξε τὸν βίον προφητεύσας ἔτη μʹ.

ϛʹ, ζʹ, ηʹ, θʹ, ιʹ, ιαʹ, ιβʹ, ιγʹ, ιδʹ, ιεʹ, ιϛʹ, ιζʹ. B

Ἐν τῷ τάφῳ Ἐλισσαίου τοῦ προφήτου ῥιφεὶς ἐν τοῖς ὀστέοις αὐτοῦ νεκρός τις ἀπὸ τῶν μονοζώνων τῶν Μωαβιτῶν ἀνέζησε θεοῦ βουλήσει.

Μετὰ Ἀμεσσίαν βασιλεὺς ιβʹ τῶν δύο φυλῶν Ἰούδα καὶ Βενιαμὴν Ὀζίας ὁ καὶ Ἀζαρίας υἱὸς αὐτοῦ ἔτη νβʹ. ὁμοῦ δψλγʹ. Ἑβραίων τοῦ Ἰούδα.

αʹ.

Ὀζίας ὁ καὶ Ἀζαρίας υἱὸς Ἀμεσσίου καὶ Τελεχίας ὢν ἐτῶν ιϛʹ ἐβασίλευσεν. C

βʹ, γʹ, δʹ, εʹ, ϛʹ, ζʹ, ηʹ, θʹ, ιʹ, ιαʹ, ιβʹ, ιγʹ. R 244

Προεφήτευον Ὡσηὲ υἱὸς Βεηρεί, Ἀμὼς καὶ Ἰωνᾶς ὁ τοῦ Ἀμαθεὶ ἐκ Γοφέρ.

ιδʹ.

Ὀζίας βασιλεὺς Ἰούδα πολέμῳ καθεῖλεν τὰ τείχη Γὲθ καὶ

Azael Rex Syriae bellum inferre Joas Regi Juda constituit. Deinde moto in Joachaz Regem Israel exercitu, illum afflixit totis vitae suae diebus. Anni am. c.

III. IV. V.

Elissaeus Propheta vitam cum morte commutavit, cum prophetasset annos XL.

VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII.

Quidam ex latrunculis Moabitis mortuus in tumulum Elissaei Prophetae inter illius ossa projectus, Deo ita volente, revixit.

Post Amessiam, duodecimus regnat super duas tribus Juda et Benjamin Ozias, qui et Azarias dictus, filius ejus, an. LII. Colliguntur anni IV. MDCCXXXIII.

I.

Ozias, qui et Azarias, Amessiae et Telechiae filius, cum annorum esset XVI. regnavit.

II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. 4683.

Prophetarunt Osee filius Beeri, Amos, et Jonas Amathi filius ex Gofer.

XIV.

Ozias Rex Juda moto bello prostravit muros Geth, et Azoti, et Jamniae. Bellum etiam gessit cum Arabibus qui Petram incolebant.

Ἀζώτου καὶ Ἰαμνίας. ἐπολέμησε δὲ καὶ τοὺς Ἄραβας τοὺς κατοικοῦντας Πέτραν.

ιε΄, ις΄.

Ὀζίας ὁ καὶ Ἀζαρίας εἰσῆλθεν εἰς τὸ ἱερὸν τοῦ θεοῦ θυμιά-
D σαι· κωλυθεὶς δὲ ὑπὸ Ἀζαρίου τοῦ ἱερέως, καὶ μὴ βουλόμενος
ἀναχωρῆσαι, ἐλεπρώθη ὅλος παραχρῆμα, ὄντος ἀρχιερέως Ἀζαρίου.

ιζ΄, ιη΄, ιθ΄, κ΄, κα΄, κβ΄, κγ΄, κδ΄, κε΄.

Πρῶτος Ἀμὼς ὁ προφήτης τὰ περὶ τῆς τοῦ Ἰσραὴλ αἰχμαλωσίας θεσπίζει πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.

κς΄, κζ΄.

Σεισμὸς μέγας γέγονεν ἐν Ἱερουσαλὴμ καὶ ὅλῃ τῇ Ἰουδαίᾳ
Ὀζίου τοῦ καὶ Ἀζαρίου βασιλέως Ἰούδα εἰσελθόντος εἰς τὸ ἁγία-
P 104 σμα τοῦ θυσιαστηρίου, καὶ λεπρωθέντος αὐτοῦ, ἐξεχύθη ἡ πιότης
τοῦ θυσιαστηρίου, τοῦ σεισμοῦ γενομένου.

κη΄, κθ΄, λ΄, λα΄, λβ΄, λγ΄, λδ΄, λε΄, λς΄, λζ΄, λη΄, λθ΄, μ΄, μα΄, μβ΄, μγ΄, μδ΄, με΄.

Τούτῳ τῷ ἔτει Ἡσαΐας υἱὸς Ἀμὼς ἤρξατο προφητεύειν, καὶ Ὡσηὲ υἱὸς Βεηρεὶ καὶ Ναούμ.

V 84 Ἡσαΐας προφητεύων εἶπεν, Ἰδοὺ κύριος ἔρχεται ἐπὶ νεφέλης
κούφης. Ὡσηὲ εἶπεν προφητεύων, Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται
φῶς, καὶ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν. καὶ ἡ ἡμέρα

2. Πέτρας P. 11. περὶ σεισμοῦ m. P. 16. μβ΄ om. V. 19. εἶπεν om. P. Esai. XIX. 1. 21. ἡ om. P.

XV. XVI.

Ozias qui et Azarias ingressus est templum Dei, ut incensum offerret Deo: prohibitus vero ab Azaria Pontifice, cum nollet recedere, statim totus lepra corripitur, Azaria sacerdotium tum obtinente.

XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV.

Primus Amos Propheta quae in captivitate Israel eventura erant biennio ante terrae motum praedicit.

XXVI. XXVII.

Ingens terrae motus Hierosolymis et in tota Judaea factus est. Ozia seu Azaria Rege Juda Sanctuarium altaris ingresso, eoque lepra correpto, adeps altaris effusa est, terrae motu facto.

XXVIII XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII. XXXIX. XL. XLI. XLII. XLIII. XLIV. XLV.

Hoc anno Esaias, filius Amos, coepit prophetare, ut et Osee Beeri filius, et Naum.

Esaias prophetans dixit: *Ecce Dominus venit super nube levi.* Osee vero dixit: *In illa die non erit lux, nec frigus, nec glacies unum diem.*

ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.

Ναοὺμ προεφήτευσε λέγων, Ἀνέβη ὁ ἐμφυσῶν εἰς πρόσωπόν B σου, ἐξαιρούμενός σε ἐκ θλίψεως, σκόπευσον ὁδόν, κράτησον ὀσφύος, ἀνδρίζου τῇ ἰσχύϊ σφόδρα, διότι ἀπέστρεψε τὴν ὕβριν Ἰακώβ, καθὼς ὕβριν τοῦ Ἰσραήλ.

μϛ′, μζ′, μη′, μθ′, ν′. R 246

Τὴν α′ Ὀλυμπιάδα ὁ Ἀφρικανὸς κατὰ Ἰωαθὰμ Ἑβραίων τοῦ Ἰούδα βασιλέα συνάγει. καὶ ὁ ἡμέτερος δὲ κανὼν κατὰ τὸν αὐτὸν παρίστησιν. γράφει δὲ ὁ Ἀφρικανὸς ὧδε πρὸς λέξιν.

Αἰσχύλος ὁ Ἀγαμήστορος ἦρξεν Ἀθηναίων διὰ βίου ἔτη κγ′, ἐφ᾽ οὗ Ἰωαθὰμ ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.

Καὶ ὁ ἡμέτερος δὲ κανὼν λέγει, ἐπὶ τῆς πρώτης Ὀλυμπιάδος C τὸν Ἰωαθὰμ βασιλέα Ἰούδα συνείληφεν.

να′ ἔτει Ὀζίου τοῦ καὶ Ἀζαρίου βασιλέως Ἰούδα πρώτη Ὀλυμπιὰς ἐτέθη ὑπὸ Ἰφίτου, καθ᾽ ἣν προεφήτευον Ἠσαΐας υἱὸς Ἀμώς, Ὠσηὲ ὁ τοῦ Βεηρεί, Ἰωὴλ ὁ τοῦ Βαθουήλ, Ὠδήδ, καὶ Μιχαίας ὁ Μορασθίτης.

Ἡ πρώτη Ὀλυμπιὰς ἤχθη παρὰ τοῖς Ἕλλησιν, ἥτις ἐστὶν τετραετηρίς.

3. Περὶ τῆς ἀναστάσεως τοῦ κυρίου m. P. ibid. εἰς τὸ π. P. 11. ἦρξεν τῶν Ἀ. ἔτη P. 13. δὲ om. P. 15. πρώτη ἡ Ὀ. P. 17 Βεηρή P. ibid. Βατουήλ P. ibid. Ὠδήβ R. 18. Μιχήας P. 19. Ὀλυμπιάδων ἀρχή m. P.

Et dies haec nota Domino: non dies, neque nox, et lux ad vesperam durabit. Anni a m. c.

Naum prophetavit, dicens: *Ascendit inflans in faciem tuam, eripiet te ex afflictione, considera viam, stringe lumbos, firma animum valde, quia Dominus avertit ignominiam Jacob, velut contumeliam Israel..*

XLVI. XLVII. XLVIII. XLIX. L. 4727.

Primam Olympiadem Africanus ad tempora Joatham Hebraeorum tribus Juda Regis colligit. Noster etiam canon ad eandem tempestatem refert. Africanus porro haec ad verbum scribit.

Aeschylus Agamestoris filius Atheniensibus imperavit annis XXIV. quo regnante, regnavit pariter Hierosolymis Joatham.

Noster vero canon, inquit, I. Olymp. Joatham Regem Juda comprehendit.

Anno LI. Osiae, qui et Azarias dictus est, prima Olympias est instituta ab Iphito, qua Prophetarunt Esaias filius Amos, Osee Beeri filius, Joel filius Batouel, Oded, et Michaeas Morathites.

Prima Olympias acta est apud Graecos, quae quadriennium complectitur.

α΄ Ὀλυμπιάς.

να΄, νβ΄.

D Καὶ οὗτος Ὀζίας ὁ καὶ Ἀζαρίας ποιήσας τὸ εὐθὲς ἐνώπιον κυρίου ἐτελεύτησεν.

Ἑβραίων τοῦ Ἰσραήλ. Μετὰ Ἰωάχαζ ια΄ ἐβασίλευσεν τοῦ Ἰσραὴλ Ἰωὰς υἱὸς αὐτοῦ ἔτη ις΄. ὁμοῦ ρνθ΄.

α΄, β΄, γ΄, δ΄, ε΄.

Ἰωὰς βασιλεὺς Ἰσραὴλ ἐτροπώσατο τὸν Ἰούδαν, καὶ συνελάβετο τον Ἀμεσσίαν βασιλέα Ἰούδα, καὶ καθεῖλεν τοῦ τείχους Ἱερουσαλὴμ τρεῖς πήχεις, καὶ σκυλεύσας τὴν Ἱερουσαλὴμ ἀνεχώρησεν εἰς Σαμάρειαν.

ς΄, ζ΄, η΄, θ΄, ι΄, ια΄, ιβ΄, ιγ΄, ιδ΄, ιε΄, ις΄.

P 105 Ἑβραίων τοῦ Ἰούδα. Μετὰ Ὀζίαν τὸν καὶ Ἀζαρίαν ἐβασίλευσεν τῶν δύο φυλῶν Ἰούδα καὶ Βενιαμὶν Ἰωάθαμ υἱὸς αὐτοῦ ἔτη ις΄.

ὁμοῦ ͵δψμθ΄.

α΄.

Ἡσαΐας θείας ὁράσεως ἠξιώθη.

β΄.

Ἦν ἀρχιερεὺς Οὐρίας.

Προεφήτευον Ἡσαΐας, Ὡσηέ, Ἰωνᾶς, καὶ Μιχαίας ὁ Μορασθίτης, Ἰωὴλ ὁ τοῦ Βαθουήλ, καὶ Ὠδήδ.

8. **συνεβάλετο** P. 9. Ἱεροσολύμων P. 14. Βενιαμὴν PV. *ib.* Ἰωαδάμ P. 21. Βατουὴλ P.

Prima Olympias.

Et hic Ozias, qui et Azarias, rectum faciens coram Deo moritur.

Post Joachaz, XI. regnavit in Israel Joas illius filius ann. XVI. Colliguntur anni CLIX.

I. II. III. IV. V.

Joas Rex Israel Judam debellavit, et cum Amessia Rege Juda congressus est, dejecitque muri Hierosolymorum tres cubitos, ac eadem urbe direpta, Samariam reversus est.

VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI.

Post Oziam seu Azariam, regnavit super duas tribus Juda et Benjamin Joadam, illius filius, annos XVI. Colliguntur anni IV. MDCCXLIX.

I.

Esaias divina dignatur visione.

II.

Urias erat summus Pontifex.

Prophetabant Esaias, Osee, Jonas, et Michaeas Morathites, Joel filius Batouel, et Oded.

Μιχαίας προεφήτευσεν λέγων, Ἐξελεύσεται νόμος καὶ λό- R 248 *γος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν, καὶ ἐλέγξει ἔθνη ἰσχυρά. καὶ μεθ' ἕτερα. Καὶ σὺ Βηθλεέμ,* B *οἶκος τοῦ Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.*

Ἰωὴλ προεφήτευσε λέγων, Ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ καὶ σημεῖα ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ, ὁ ἥλιος μετα- V 85 *στραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.*

β' Ὀλυμπιάς. C

γ'.

Τούτῳ τῷ ἔτει ἐγεννήθησαν Ῥῶμος καὶ Ῥῆμος οἱ κτίσαντες τὴν Ῥώμην.

δ', ε', ς'.

γ' Ὀλυμπιάς.

ζ'.

1. *λέγων*] Mich. IV. 2. 3. *μεθ' ἕτερα*] V. 2. 7. *λέγων*] Ioel II. 29. 9. *ὁ*] *καὶ* P. 11. *καὶ ἔσται*] *ἔσται* P. 15. *Περὶ Ῥωμύλου καὶ Ῥήμου* m. P.

Michaeas prophetavit, dicens: *Exibit lex et verbum Domini ex Hierusalem, et judicabit inter multos populos, et arguet gentes fortes.* Et post alia.

Et tu Bethleem domus Ephrata, minima es, ut sis in millibus Juda. Ex te mihi egredietur, ut sit in principem Israel, et egressus ejus ab initio ex diebus saeculi.

Joel prophetavit, dicens: *In diebus illis effundam de Spiritu meo, et dabo prodigia in coelo, et signa in terra, sanguis et ignis, et spiritum fumi, et sol vertetur in tenebras, et luna in sanguinem, antequam veniat dies Domini magnus et manifestus. Et erit, omnis qui invocaverit nomen Domini, salvus erit.*

II. Olympias.

Hoc anno nati Romulus et Remus urbis Romae conditores.

IV. V. VI.

III. Olympias.

VII.

Ἰωαθὰμ τὰς ἐν τῷ ναῷ στοὰς ἵδρυσεν· ἡ ἀνατολικὴ γὰρ μόνη στοὰ ὑπὸ Σολομῶντος ἱδρύθη.

η', θ'.

D Προεφήτευεν Ναούμ. τὰ δὲ ὑπ' αὐτοῦ προφητευθέντα περὶ τῆς Νινευὴ συνέβη μετὰ ἔτη ρμδ'.

ι'.

δ' Ὀλυμπιάς.

ια'.

Ἰωαθὰμ πλεῖστα ᾠκοδόμησεν ἐν Ἱερουσαλήμ.

ιβ', ιγ', ιδ'.

ε' Ὀλυμπιάς.

ιε', ις'.

Ἑβραίων τοῦ Ἰσραήλ. Μετὰ Ἰωὰς ιβ' ἐβασίλευσεν τοῦ Ἰσραὴλ Ἱεροβαὰλ υἱὸς αὐτοῦ ἔτη μα'. ὁμοῦ σ'.

P 106 α', β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κς', κζ', κη', κθ', λ', λα', λβ', λγ', λδ', λε', λς', λζ', λη', λθ'.

R 250 Ἐν ἡμέραις Ὀζίου τοῦ καὶ Ἀζαρίου βασιλέως Ἰούδα καὶ Μανασσῆ καὶ ἐν ἡμέραις Ἱεροβαὰλ βασιλέως Ἰσραὴλ ἐξαπέ-

3. θ'] θ', ι' P. 4. προεφήτευσεν P. 6. ι' om. P, post Ὀλυμπιάς ponit V. 13. Ἱεροβοάμ P. 15. Conf. Amos VII. 9.

Anni a m. c. 4736. Joatham porticus in templo excitavit: sola enim Orientalis a Solomone erecta fuerat.

VIII. IX. X.

Naum prophetat. Quae autem ab illo praedicta sunt de Ninivitis post annum CXLIV. evenere.

IV. Olympias.

XI.

Joatham plurima Hierosolymis aedificia extruxit.

XII. XIII. XIV.

V. Olympias.

XV. XVI.

Post Joas, duodecimus regnavit in Israel Hieroboam, filius ejus, annos XLI. Colliguntur anni CC.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII. XXXIX.

In diebus Oziae seu Azariae Regis Juda et Manasse, et in diebus Hierobaal Regis Israel, misit Amessias Sacerdos Bethel ad Hierobaal

στειλεν Ἀμεσσίας ὁ ἱερεὺς Βεθὴλ πρὸς Ἱεροβαὰλ βασιλέα Ἰσραὴλ λέγων, Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ οἴκου Ἰσραήλ, καὶ οὐ μὴ δυνήσεται ἡ γῆ ὑπενεγκεῖν ἅπαντας τοὺς λόγους αὐτοῦ. διότι τάδε λέγει Ἀμώς, Ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβαάλ, ὁ δὲ [B] *Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. καὶ εἶπεν Ἀμεσσίας πρὸς Ἀμώς, Ὁ ὁρῶν βάδιζε, ἐκχώρησον εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβιοῦ, καὶ ἐκεῖ προφητεύσεις· εἰς δὲ Βεθὴλ οὐκέτι οὐ μὴ προσθῇς τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστίν, ὅτι οἶκος βασιλείας ἐστίν. καὶ ἀπεκρίθη Ἀμὼς καὶ εἶπεν πρὸς Ἀμεσσίαν, Οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην καὶ κνίζων συκάμινα, καὶ ἀνέλαβέν με κύριος ἐκ τῶν προβάτων, καὶ εἶπε κύριος πρός με, Βάδιζε, προφήτευσον ἐπὶ τὸν λαόν μου Ἰσραήλ. καὶ νῦν ἄκουε λόγον κυρίου, Σὺ λέγεις, μὴ προφήτευε ἐπὶ Ἰσραήλ, καὶ οὐ μὴ ὀχλαγωγήσετε ἐπὶ τὸν οἶκον Ἰακώβ. διὰ τοῦτο τάδε λέγει κύριος, Ἡ γυνή σου ἐν τῇ* [C] *πόλει πορνεύσει καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται, καὶ ἡ γῆ σου ἐν σχοινίῳ συμμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις. ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ, οὕτως ἔδειξέ μοι κύριος. ἰδοὺ ἄγγος ἰξευτοῦ, καὶ εἶπεν, Τί σὺ βλέπεις, Ἀμώς; καὶ εἶπα, Ἄγγος ἰξευτοῦ. καὶ εἶπε κύριος πρός με, Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραήλ,* [V 86] *οὐκέτι οὐ μὴ προσθῶ τοῦ παρελθεῖν αὐτόν, καὶ ὀλολύξει τὰ φατνώ-*

7. **καταβηθι** m. P. 8. **προσθεὶς** P. *ibid.* **ἔτασμα** m. P. 9. **καὶ** prius om. P. 10. **ἀλλ' ἢ]** **ἀλλὰ** P. 11. **καὶ** prius om. P. 14. **ὀχλαγωγήσεις** P. 19. **καὶ ἰδοὺ** P. 20. **εἶπεν κύριος** P. 21. **τὸν Ἰσραὴλ** P.

Regem Israel, dicens: ***Rebellavit contra te Amos in medio domus Israel, non poterit terra sustinere universos sermones ejus*** **Haec enim dicit Amos:** ***In gladio morietur Hieroboam, et Israel captivus migrabit de terra sua.*** **Et dixit Amessias ad Amos:** ***Qui vides, gradere, fuge in terram Juda, et comede ibi panem, et prophetabis ibi, et in Bethel non adjicies ultra ut prophetes, quia sanctificatio Regis est, et domus regni est.*** **Responditque Amos, et dixit ad Amessiam:** ***Non sum propheta et filius prophetae, sed armentarius ego sum, vellicans sycomoros. Et tulit me Dominus Deus cum sequerer gregem, et dixit dominus ad me, Vade, propheta ad populum meum Israel, et nunc audi verbum Domini: Tu dicis, non prophetabis super Israel, et non turbabis super domum Jacob. Propter hoc haec dixit Dominus: Uxor tua in civitate fornicabitur, et filii tui et filiae tuae in gladio cadent, et humus tua funiculo metietur, et tu in terra polluta morieris, et Israel captivus migrabit de terra sua. Haec ostendit mihi Dominus Deus meus. Et ecce uncinus pomorum, et dixit: Quid tu vides, Amos. Et dixi: uncinum pomorum. Et dixit Dominus ad me, venit finis super populum meum Israel, non adjiciam ultra ut pertranseam eum, et stridebunt cardines templi in die illa, dicit Dominus Deus.*** **Et**

ματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος. καὶ μετὰ βρα-
D χέα, Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς καὶ τὰ ἀνεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτήν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπὶ αὐτούς, λέγει κύριος ὁ ποιῶν ταῦτα.

μ', μα'.

Ἑβραίων τοῦ Ἰσραήλ. Μετὰ Ἱεροβαὰλ ιγ' ἐβασίλευσεν τοῦ Ἰσραὴλ Μαναὴμ ἔτη ιβ'. ὁμοῦ σιβ'.

α', β', γ', δ', ε'.

R 252 Φοὺλ βασιλεὺς Ἀσσυρίων ἐπιβὰς τῇ Σαμαρείᾳ, λαβὼν παρὰ
P 107 Μαναὴμ τοῦ βασιλέως Ἰσραὴλ ͵α τάλαντα ἀργυρίου, ἀνεχώρησεν.

ς', ζ', η', θ', ι', ια', ιβ'.

Ἐν ταῖς ἡμέραις Μαναὴμ βασιλέως Ἰσραήλ, ἤγουν τῶν δέκα φυλῶν, ἀνέβη Φοὺλ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὴν γῆν, καὶ ἔδωκεν αὐτῷ Μαναὴμ ͵α τάλαντα ἀργυρίου τοῦ εἶναι χεῖρα αὐτοῦ μετ' αὐτοῦ, διαγράψας τὸν λαὸν καὶ πάντα δυνατόν, καὶ λαβὼν τὸ ἀργύριον ὁ Ἀσσύριος ὑπέστρεψεν εἰς τὴν χώραν αὐτοῦ.

Ἑβραίων τοῦ Ἰσραήλ. Μετὰ Μαναὴμ ιδ' ἐβασίλευσεν τοῦ Ἰσραὴλ ὁ υἱὸς αὐτοῦ Φακεείας ἔτη ιβ'. ὁμοῦ σκδ'.

12. Φουᾶ PV. 16. Φουᾶ PV. Φοὺλ m. P.

post pauca. *In die illa suscitabo tabernaculum David, quod cecidit, et reaedificabo aperturas murorum ejus, et ea quae corruerant instaurabo, et reaedificabo illud sicut in diebus antiquis, ut requirant me reliquiae hominum, et omnes nationes, eo quod invocatum sit nomen meum super eos, dicit Dominus faciens haec.*

XL. XLI.

Post Hierobaal, XIII. regnavit super Israel Manahem annos XII. Colliguntur anni CCXII.

I. II. III. IV. V.

Phua Rex Assyriorum Samariam aggressus, acceptis a Manahem Rege Israel mille argenti talentis, recessit.

VI. VII. VIII. IX. X. XI. XII.

In diebus Manahem Regis Israel, seu decem tribuum, venit Phua Rex Assyriorum in illius ditiones, et dedit illi Manahem multa talenta argenti, ut esset ei in auxilium, descripto populo, et quovis divite. Rex autem Assyriorum accepto argento, in regionem suam reversus est.

Post Manahem, XIV. regnavit in Israel illius filius Phaceeias annis XII. Colliguntur anni CCXXIV.

α', β', γ', δ', ε', ς', ζ', η', θ', ι'. B

Ἑβραίων τοῦ Ἰσραὴλ ιδ' Ζαχαρίας μῆνας ς'. μεθ' ὃν ιε' Σελοὺμ μῆνα α'. μεθ' ὃν Φακεείας υἱὸς Μαναὴμ ἔτη ι'.

ια', ιβ'.

Οὗτος Φακεείας ἐπιβουλευθεὶς ὑπὸ Φακεὲ υἱοῦ Ῥομελίου τοῦ τριστάτου αὐτοῦ ἀπέθανεν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ὁ εἰρημένος Φακεὲ υἱὸς Ῥομελίου ιε' τοῦ Ἰσραὴλ ἔτη λ'.

ὁμοῦ σνδ'.

α', β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κς', κζ', κη', κθ', λ'. C

Ἐν ταῖς ἡμέραις Φακεὲ ἀνέβη Θεγλὰθ Φανασσὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἔλαβε τὴν Ἀῒν καὶ τὴν Βεδμάλχα καὶ τὴν Ἀϊνὼν καὶ τὴν Κενὲξ καὶ τὴν Ἀσὼρ καὶ τὴν Γαλαὰδ καὶ τὴν Γαδδὶ καὶ τὴν Γαλιλαίαν πᾶσαν καὶ τὴν γῆν Νεφθαλείμ, καὶ ἀπῴκισεν αὐτοὺς εἰς Ἀσσυρίους. εἶτα μετὰ ταῦτα πολεμήσας Φακεὲ υἱὸς Ῥομελίου ἅμα τῷ Ῥαασσὼν βασιλεῖ Ἀσσυρίας κατὰ τῆς Ἱερουσαλήμ, ἔλαβεν αὐτήν.

Τὸν Φακεὲ ἐπάταξεν Ὡσηὲ υἱὸς Δαλή, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ἐν Σαμαρείᾳ ἔτη θ'. ὁμοῦ σξγ'. D

α'.

3. ιβ' P. 6. ὁ εἰρημένος om. P. 7. 16. Ῥωμελίου P et infra. 12. Post ἔλαβε quae addit P πόλεις θ', in margine ponit V. πόλεις repetit etiam m. R. *ib.* τὴν om. P. *ib.* Ἀεὶν P. *ib.* Βεθμαλχά m. P. 14. Νεφθαλήμ P. 17. καὶ ἔλαβεν P.

I. II. III. IV. V. VI. VII. VIII. IX. X.

Hebraeorum Israelis (Rex) XIV. Zacharias, mensibus VI. Post quem Phaceeias filius Manahem an. XII. regnarunt.

XI. XII.

Hic Phaceeias insidiis Phacee filii Romeliae, ipsius Magistri militum circumventus occubuit: et loco illius regnavit Phacee filius Romeliae XV. super Israel an. XXX. Colliguntur anni CCLIV.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX.

In diebus Phacee, ascendit Theglath Phanassar Rex Assyriorum, et cepit urbes IX. Ain, et Bedmalcha, et Aïnon, et Chenex, et Asor, et Galaad, et Gaddi, et universam Galilaeam, et terram Nephtalim, et transtulit eorum incolas in Assyriam. Post haec deinde Phacee filius Romeliae una cum Raasson Rege Assyriae bellum movit adversus Hierusalem, eamque expugnavit.

Hosee, filius Dale, interfecit Phacee, et illius loco regnavit in Samaria an. IX. Colliguntur anni CCLXIII.

I.

R 254 Ὡσηὲ τὸ πονηρὸν ἐνώπιον κυρίου ποιήσας παρὰ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ εἰδώλοις ἐδούλευσεν, οἰκοδομῶν αὐτοῖς οἴκους, καὶ τὰ τέκνα αὐτοῦ διῆγεν ἐν πυρί, καὶ τὸ βδέλυγμα τῶν ἐθνῶν, καὶ ἔθυεν καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς καὶ ἐν τοῖς βουνοῖς καὶ ὑποκάτω παντὸς ξύλου πυκάζοντος.

V 87 β', γ', δ', ε'.

Καὶ ἐπὶ Ὡσηὲ ἀνέβη Σαλμανάσαρ βασιλεὺς Ἀσσυρίων· καὶ ἐγένετο αὐτοῦ Ὡσηὲ δοῦλος, τουτέστιν συντελεστής.

ϛ', ζ'.

P 108 Ὡσηὲ βασιλεὺς Ἰσραὴλ ἀπέστειλεν πρὸς Ἀδραμελὲχ τὸν Αἰθίοπα εἰς βοήθειαν ἑαυτοῦ.

η', θ'.

Τούτῳ τῷ θ' ἔτει τῆς βασιλείας Ὡσηὲ υἱοῦ Δαλὴ πρώτη αἰχμαλωσία γέγονε τοῦ Ἰσραὴλ τῶν δέκα φυλῶν, βασιλευομένων μὲν ἐν Σαμαρείᾳ, νῦν δὲ μετοικισθεισῶν εἰς ὄρη Μήδων καὶ Χαλδαίων, ἐπιστρατεύσαντος τῇ Σαμαρείᾳ καὶ πολιορκήσαντος αὐτὴν Σαλμανάσαρ τοῦ τῶν Χαλδαίων βασιλέως, ὃς καὶ αὐτὸν τὸν Ὡσηὲ υἱὸν Δαλὴ βασιλέα τοῦ Ἰσραὴλ δέσμιον λαβὼν ἀπῆλθεν: ἐβασιλεύθησαν δὲ ἐν Σαμαρείᾳ ἔτεσιν διακοσίοις ἑξήκοντα τρισί.
B μετῳκίσθησαν δὲ αἱ δέκα φυλαὶ τοῦ Ἰσραὴλ ἐκ τῆς Ἰουδαίας ἀφ' οὗ μὲν οἱ πρόγονοι αὐτῶν ἐξῆλθον ἐξ Αἰγύπτου μετὰ ἔτη ϡλβ',

3. **τῶν** om. P. 4. **θυμία** P. 13. ἔτει θ' P. 15. **μετῳκισθεισῶν** P. 16. **τῇ — πολ.** om. P. 17. **αὐτὸς** P.

Hosee, malum in conspectu Dei faciens, contra quam illius decessores, idola coluit, et fana illis aedificavit, filiosque suos per ignem traduxit, et gentium abominationem, ac sacrificavit sacrificia in excelsis, et in collibus, et subter omne lignum frondosum.

II. III. IV. V.

Et Hosee aggressus est Salmanazar Rex Assyriorum, et factus est Hosee illius servus, id est Tributarius.

VI. VII.

Hosee Rex Israel misit ad Adramelech Aethiopem, quo sibi auxilio esset.

VIII. IX.

Hoc anno IX. regni Hosee filii Dale, prima contigit servitus seu captivitas decem tribuum Israel, quae in Samaria Regibus parebant. Nunc autem eae traductae sunt in Medorum et Chaldaeorum montes, Salmanasar Chaldaeorum Rege bellum iis inferente, qui Hosee filio Dale Rege Israel captivo facto, recessit. In Samaria porro CCLXIII. annis Regibus paruere. Ex Judaea vero translatae sunt X. tribus post an. DCCCCXXXII. ex quo majores earum ex Aegypto profecti erant. Ex quo autem Sa-

ἀφ' οὗ δὲ τὴν χώραν Σαμαρείας κατέσχον στρατηγήσαντος αὐτῶν Ἰησοῦ υἱοῦ Ναυῆ, εἰσὶν ἔτη ωϟβ', ἀφ' οὗ δὲ ἀποστάντες Ῥοβοὰμ τοῦ ἐκγόνου Δαβὶδ ἐβασιλεύθησαν ὑπὸ Ἱεροβοὰμ δούλου γενομένου Σολομῶνος, εἰσὶν ἔτη σξβ' καὶ μῆνες ζ', ἅτινα συντρέχει ἤγουν καταλήγει εἰς τὸ τέταρτον ἔτος Ἐζεκίου βασιλέως Ἰούδα, καθ' ὃ καὶ τὸ πάσχα σεσημείωται γεγενῆσθαι λαμπρῶς καὶ φιλοτίμως ἀπὸ Σολομῶνος. οἳ καὶ μετοικισθέντες εἰς Σαμάρειαν Χουθέοι ἐκλήθησαν, τὴν τῆς χώρας ἐν ᾗ κατῳκίσθη- C
σαν προσηγορίαν λαβόντες, διὰ τὸ ἐκ τῆς Χουθὰς οὕτω καλουμένης χώρας τότε μετατεθῆναι. ἔστι δὲ αὕτη ἡ Χουθὰς χώρα ἐν τῇ Περσίδι καὶ ποταμὸς τοῦτο ἔχων ὄνομα. καὶ μετοικισθέντες εἰς Σαμάρειαν ἕκαστος κατ' ἔθνος ἴδιον εἶχε θεόν. ὕστερον δὲ Σαμαρεῖς ἐκλήθησαν, τὴν τῆς χώρας ἐν ᾗ κατῳκίσθησαν προσηγορίαν λαβόντες.

Τούτῳ τῷ ἔτει Σίβυλλα ἡ Ἐρυθραία ἐν Αἰγύπτῳ ἐγνωρίζετο.

Γεγόνασι δὲ καὶ ἄλλαι ια' Σίβυλλαι.

Σίβυλλα ἡ Ἑβραία.
Σίβυλλα ἡ Περσίς. R 256
Σίβυλλα ἡ Δελφίς. D
Σίβυλλα ἡ Ἀδαὴ ἡ Κιμμερία.
Σίβυλλα ἡ Σαμία.

2. ὑποστάντες P. 4. 7. Σολομῶντος P. 5. Ἐξεχίου P sola. 6. ὃν P sola. 8. ἐν ᾗ — προσηγορίαν] ἐπίκλησιν P. 10. τῆς χώρας P. 15. Ἐρυθρία V hic et p. seq. v. 7. 21. Κιμερία PV.

mariae regionem obtinuere, Jesu filio Nave eorum duce, anni DCCCXCII. computantur. Ex quo, dum defecerunt a Roboam nepote Davidis, iis dominatus est Hieroboam Solomonis servus, anni sunt CCLXII. et menses VII. qui concurrunt, seu desinunt in IV. annum Ezechiae Regis Juda, quo Pascha splendide ac magnifice celebratum esse a Solomone annotatum est. Jam vero qui in Samariam translati sunt, Chuthei sunt appellati, ex regionis nomine, quod ex Chuta, regione sic nuncupata, tunc fuerint translati. Est autem illa Chutae regio in Perside, ubi ejusdem nomenclaturae est fluvius. Cumque in Samariam fuissent deducti, unusquisque secundum gentem suum habuit Deum. Postmodum vero Samaritani appellati sunt, tracto a regione quam incoluere nomine.

Hoc anno Sibylla Erythraea in Aegypto claruit.

Fuere et aliae XI. Sibyllae.

Sibylla Hebraea.
Sibylla Persica.
Sibylla Delphica.
Sibylla Adaena, seu Cimeria.
Sibylla Samia.

Σίβυλλα ἡ Ῥοφία.
Σίβυλλα ἡ Κυμαία.
Σίβυλλα ἡ Λιβοίη.
Σίβυλλα ἡ Τρῳάς.
Σίβυλλα ἡ Φρυγία.
Σίβυλλα ἡ Τιβουρτία.

Σίβυλλα ἡ Ἐρυθραία ἡ προγεγραμμένη ἦν ἀπὸ πολίχνης Ἐρυθρίας καλουμένης, ἀντικρὺ Χίου, ἡ καὶ ἐποποιὸς οὖσα, ἧς καὶ
P 109 στήλη ἐστὶν ἐν τῇ αὐτῇ Ἐρυθρίᾳ ἄχρι τοῦ νῦν κατὰ τὴν στερεὰν ἀντικρὺ Χίου.

Ἑβραίων τοῦ Ἰούδα. Μετὰ Ἰωαθὰμ ἐβασίλευσεν τῶν δύο φυλῶν Ἰούδα καὶ Βενιαμὶν Ἀχὰζ υἱὸς αὐτοῦ ἔτη ιϛ΄. ὁμοῦ ,δψξε΄.

α΄.

Ῥαασσὼν υἱὸς Ἀρὰμ καὶ Φακεὲ υἱὸς Ῥομελίου περιεκάθισαν τῇ Ἱερουσαλὴμ πρώτῳ ἔτει τοῦ Ἀχὰζ βασιλέως Ἰούδα, καὶ οὐκ ἴσχυσαν αὐτὴν λαβεῖν.

V 88 β΄.

Οὐρίας ἀρχιερεὺς ἐγνωρίζετο καὶ Ζαχαρίας υἱὸς Βαραχίου·
B περὶ ὧν εἶπεν ὁ θεὸς τῷ Ἡσαΐᾳ, Μάρτυράς μοι πιστοὺς ποίησον τοὺς μέλλοντας προφητεύειν τῷ Ἀχὰζ τὸ Ἰδοὺ ἡ παρθένος ἐν γα-

1. Ῥοδία P. 3. Λιβοία P, Λιβοίη V, Λιβυκή m. P. 7. ἡ alterum om. P. *ibid.* et 9. Ἐρυθρᾷ — Ἐρυθρᾶς Schurzfleisch. Not. Bibl. Vin. p. 85. 8. καὶ] δὲ P. 9. ἐστὶν om. P. *ibid.* αὐτῇ om. P. 11. Βενιαμὴν PV. 15. τῷ ἔτει P. 19. εἶπεν] VIII. 2. 20. τὸ] VII. 14.

Anni am. c.

Sibylla Rhodia.
Sibylla Cumana.
Sibylla Libyca.
Sibylla Trojana.
Sibylla Phrygia.
Sibylla Tiburtina.

Sibylla Erythraea supramemorata ex Erythria, oppidulo, e regione Chii, ita appellato, ortum duxit. Fuit porro versificatrix, ejusque statua usque hodie Erythriae e regione Chii in continenti visitur.

Post Jonatham, regnavit super duas tribus Juda et Benjamin Achaz
4750. illius filius, an. XVI. Colliguntur anni IV. MDCCLXV.

I.

6. Raasson filius Aram, et Phacee filius Romeliae, Hierusalem obsederunt anno I. Achaz Regis Juda, neque hanc potuerunt expugnare.

II.

Urias summus Pontifex agnoscebatur, ut et Zacharias filius Barachiae, de quibus dixit Deus ad Esaiam: *Testes mihi fideles facias qui*

στρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. καὶ τὸ Ταχέως σκύλευσον, ὀξέως προνόμευσον, καὶ τὰ ἑξῆς.

Προεφήτευον Ἡσαΐας, Ὡσηέ, καὶ Μιχαίας.

ϛ' Ὀλυμπιάς.

γ', δ', ε', ϛ'.

Ἀχὰζ βασιλεὺς Ἰούδα καὶ Βενιαμὶν ἀπέστειλεν ἀγγέλους πρὸς Θιλὰθ Φαλσὰρ βασιλέα Ἀσσυρίων, προτρέπων αὐτὸν καὶ R 256
λέγων, Εἰ δοῦλός σου καὶ υἱός σου ἐγώ, βοήθησόν μοι καὶ ἀνάβηθι καὶ ῥῦσαί με ἐκ χειρὸς Συρίας καὶ ἐκ χειρὸς βασιλέως Ἰσραήλ, C
ὅτι ἐπανέστησαν κατ' ἐμοῦ, πέμψας αὐτῷ χρυσίον καὶ ἀργύριον. καὶ δὴ ἐπείσθη αὐτῷ ὁ βασιλεὺς Ἀσσυρίων, καὶ ἀνῆλθεν ἐπὶ Δαμασκόν, καὶ συνέλαβεν αὐτήν. τὸν δὲ Φακεὲ ἐπάταξεν Ὡσηὲ υἱὸς Ἤλα, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ἐν Σαμαρείᾳ ἔτη θ'.

ζ' Ὀλυμπιάς.

ζ'.

Τούτῳ τῷ ζ' ἔτει τοῦ Ἀχὰζ οἱ Ἰδουμαῖοι συμβαλόντες αὐτῷ πολλοὺς αἰχμαλώτους ἔλαβον.

η', θ', ι'.

2. προνόμωσον P. 7. Βενιαμὴν PV. 8. Θιλὰθ] Θίλαδ R. 10. Συρίας — Ἰσραὴλ om. P 12. ἐπίσθη R, ἐπίστη P et V (?). 17. ζ' ἔτει] ἔτει ἑβδόμῳ P.

prophetaturi sunt Achaz: illud nempe: *Ecce virgo concipiet, et filium pariet, et vocabunt nomen ejus Emmanuel.* Et illud: *Praedare celeriter, quamprimum spolia collige, etc.* Anni a m c.

Prophetarunt Esaias, Osee, et Michaeas.

VI. Olympias.

III. IV. V. VI.

Achaz Rex Juda et Benjamin, misit nuntios ad Thilath Phalsar Regem Assyriorum, illum hisce verbis adhortatus: *Si servus tuus, et filius tuus ego sum, opitulare mihi, et accede, ac libera me, quoniam in me insurrexerunt.* Misitque illi aurum et argentum, fidemque illi adhibuit Rex Assyriorum, venitque Damascum, et urbem accepit. Osee vero filius Ela percussit Phacee, ejusque loco regnavit in Samaria annos IX.

VII. Olympias.

VII. 4756.
4.

Hoc anno Achaz VII. Idumaei praelio cum eo congressi multos captivos abduxere.

VIII. IX. X.

Τούτῳ τῷ ἔτει ἀνέβη Σαλμανάσαρ εἰς Σαμάρειαν.

D Τούτῳ τῷ δεκάτῳ ἔτει τοῦ Ἀχὰζ καὶ τετάρτῳ ἔτει ἑβδόμης Ὀλυμπιάδος εἰκοστοτέταρτον τῆς οἰκείας ἡλικίας ἄγοντες ἐνιαυτὸν Ῥῶμος καὶ Ῥῆμος κτίζουσι τὴν Ῥώμην, ὅθεν μετεκλήθησαν Ῥωμαῖοι· οἵτινες καὶ τὰ ὅπλα τοῦ Ἡρακλέους ἀπέθεντο ἐν τῇ παρ' αὐτῶν κτισθείσῃ πόλει Ῥώμῃ, ἥτις πρώην ἐκαλεῖτο κώμη Βαλέντζια ἐν τῷ Βοαρίῳ φόρῳ. οἱ δὲ αὐτοὶ δύο ἀδελφοὶ ἀνενέωσαν τὸ λεγόμενον Παλλάντιον, τὸν βασιλικὸν οἶκον τοῦ Πάλλαντος. ἔκτισαν δὲ καὶ ναὸν μέγαν τῷ Διί, ὅντινα ἐκάλεσαν Καπετώλιον ῥωμαϊστί, ὅ ἐστιν ἡ κεφαλὴ τῆς πόλεως, ἀγαγόντες καὶ
P 110 τὸ Παλλάδιον ξόανον ἀπὸ πόλεως Σίλβης ἀπέθεντο αὐτὸ ἐν τῇ Ῥώμῃ. οἵτινες ἀδελφοὶ ἐν τῷ βασιλεύειν αὐτοὺς εἰς ἔχθραν ἦλθον πρὸς ἀλλήλους, καὶ ἐφονεύθη ὑπὸ Ῥώμου Ῥῆμος ὁ ἀδελφὸς αὐτοῦ· καὶ ἐβασίλευσεν μόνος Ῥῶμος. ἔξοτε δὲ ἐφόνευσεν τὸν ἴδιον ἀδελφόν, ἐσείετο πᾶσα ἡ πόλις Ῥώμη, καὶ οἱ δῆμοι αὐτῆς ἐστασίαζον, καὶ ἐγίνοντο πόλεμοι ἐμφύλιοι ἐπὶ τῆς αὐτοῦ μόνου βασιλείας. καὶ ἀπελθὼν εἰς τὸ μαντεῖον ἐπηρώτησεν διὰ τί γίνεται ἐπὶ τῆς αὐτοῦ βασιλείας ταραχή. καὶ ἐῤῥέθη αὐτῷ ἐκ τῆς Πυθίας ὅτι Εἰ μὴ συγκαθήσει σοι ὁ ἀδελφός σου ἐν τῷ βασιλικῷ θρόνῳ, οὐ μὴ στῇ ἡ πόλις σου Ῥώμη οὔτε ἡσυχάσει ὁ
B δῆμος οὔτε ὁ πόλεμος. καὶ ποιήσας τῆς εἰκόνος τοῦ αὐτοῦ ἀδελ-

3. *εἰκοστὸν τέταρτον* P, *εἰκοστὸ τέταρτον* V. 5. *Ἡρακλέως* PV. 6. *Ῥώμης* P et eraso ς V. 8. *τὸν — Πάλλαντον* PV. Correxi auctore Malala p. 171. 7. 10. *ἡ* om. P. *ibid. καὶ*] *δὲ* P. Quod mihi fraudi fuit, quum Malalam ederem V nondum utens. 11. *τῆς πόλεως* P. 13. *ὁ* om. P. 19. *τῆς* om. P.

Hoc anno venit Salmanasar in Samariam.

Hoc anno Achaz x. et anno iv. Olympiadis vii. Romulus et Remus, cum annum agerent quartum et vigesimum, Romam condunt, unde nomen accepere Romani: qui quidem arma Herculis in urbe abs se condita deposuere, cum antea vicus Valentia in Foro Boario appellaretur. Duo porro isti fratres Pallantis Regiam, quae Palatium dicebatur, instaurarunt. Excitarunt etiam fanum ingens Jovi, cui Capitolii latinum nomen imposuere, quod est Caput urbis. Adducto autem Alba urbe Palladio, illud Romae collocarunt. Atque hi quidem fratres dum simul imperarent, mutuis se odiis sunt prosecuti, ac Remus a fratre Romulo interfectus est, isque solus deinceps regnavit. Verum ex quo fratrem occidit, ortus est Romae tumultus, urbisque civibus in seditiones prolapsis, eo regnante civilia bella exarsere. Ille autem ad oraculum profectus, sciscitatus est, quae causa esset cur se regnante tumultuarentur cives. Responsumque datum est ab Oraculo ejusmodi: *Nisi frater tuus tibi in regio solio assideat, nec stabit urbs Roma, nec quiescent cives, neque bellum cessabit.* Is vero confecta fratris sui, et quae vultum ejus

φοῦ ἐκτύπωμα τοῦ χαρακτῆρος αὐτοῦ χρυσοῦν στηθάριν στήλην ἔθηκεν ἐν τῷ θρόνῳ αὐτοῦ ἐν ᾧ ἐκάθητο, καὶ οὕτως ἐβασίλευσε τὸν ὑπόλοιπον αὐτοῦ χρόνον, συγκαθημένου αὐτῷ τοῦ R 260 ὁλοχρύσου ἐκτυπώματος τοῦ αὐτοῦ ἀδελφοῦ Ῥήμου, καὶ ἔπαυσεν ὁ σεισμὸς τῆς πόλεως καὶ ἡσύχασεν ἡ δημοτικὴ ταραχή. καὶ εἴ τι δ' ἂν ἐκέλευεν θεσπίζων, ἔλεγεν ὡς ἀφ' ἑαυτοῦ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, λέγων Ἐκελεύσαμεν, Ἐθεσπίσαμεν. ὅπερ ἔθος κατέσχεν ἐξ ἐκείνου παρὰ τοῖς βασιλεῦσιν ἕως τοῦ παρόντος, τὸ λέγειν, Ἐκελεύσαμεν, Ἐθεσπίσαμεν. καὶ ἐπέπεμψεν εἰς ἑκάστην πόλιν V 89 ὑπὸ Ῥωμαίους οὖσαν στηθάρια ὁλόχρυσα αὐτοῦ καὶ τοῦ ἀδελ- C φοῦ αὐτοῦ ἐπὶ τῷ τίθεσθαι αὐτὰ πλησίον τῶν ἀρχόντων. ὁ δὲ αὐτὸς βασιλεὺς Ῥῶμος μετὰ τὸ πληρῶσαι αὐτὸν τὰ τείχη καὶ κοσμῆσαι τὴν πόλιν, ἔκτισε καὶ τῷ Ἄρει ναόν, καὶ ἐν αὐτῷ τῷ μηνὶ ἐποίησεν ἑορτὴν μεγάλην, θύσας τῷ Ἄρει, καλέσας καὶ τὸν μῆνα μάρτιον, πρώην λεγόμενον πρῖμον, ὅπερ ἑρμηνεύεται Ἄρεως, ἥνπερ ἑορτὴν κατ' ἔτος οἱ Ῥωμαῖοι πάντες ἐπιτελοῦσιν ἕως νῦν, καλοῦντες τὴν ἡμέραν τῆς πανηγύρεως Μάρτις ἐν κάμπῳ. καὶ εὐθέως πάλιν ἀρξάμενος ἔκτισε Κερκέσιον ἐν τῇ Ῥώμῃ, ὅπερ Ἱππικὸν ὠνόμασεν, θέλων διασκεδάσαι τὸ πλῆθος τοῦ δήμου Ῥώμης, ὅτι ἐστασίαζον καὶ ἐπήρχοντο αὐτῷ διὰ τὸν ἀδελφὸν αὐ- D τοῦ· καὶ ἐπετέλεσεν πρῶτος ἱππικὸν ἀγῶνα ἐν τῇ πόλει Ῥώμῃ εἰς ἑορτὴν τοῦ Ἡλίου καὶ τῶν ὑπ' αὐτὸν τεσσάρων στοιχείων, του-

3. χρόνον αὐτοῦ P. ib. αὐτῷ τοῦ] αὐτῷ P. 10. τοῦ om. P. 13. τῷ om. P. 15. Ἄρεος P. 22. καὶ ὑπ' αὐτῶν P.

referret pectorali statua, hanc in eodem quo residebat solio collocavit, sicque deinceps, assidente sibi Remi fratris ex solido auro confecta figura, urbis motus conquievit, sedataque popularis seditio. Sed et si quidpiam edicto praeciperet, suo et fratris nomine id se agere aiebat, hacce utens formula, *Jussimus, Decrevimus,* qui quidem mos exinde apud Reges usque ad haecce tempora obtinuit, quibus solenne est hisce uti verbis, *Jussimus, Decrevimus.* Misit praeterea ad singulas Romanis subditas urbes ex auro solido confectas sui et fratris pectorales statuas, quo juxta magistratus collocarentur. Rex vero Romulus, confectis moenibus, ornataque urbe, Marti templum exaedificavit, ac eodem ipso mense solenne festum peregit, facto Marti sacrificio, inditoque mensi eidem Martii nomine, cum Primus antea nuncuparetur, hoc est Martis: quam quidem festivitatem universi Romani quotannis celebrant ad hanc usque tempestatem isto festi die, in campo Martis appellato. Nec multo post Circum Romae condere coepit, quem Hippodromum nuncupavit, cum Romanae plebis motus compescere in animo haberet, quae ob fratris perpetratam caedem, seditiones conflabat, ipsique insidias moliebatur. Primus ergo Circenses ludos Romae peregit in honorem Solis, et subjectorum Soli quatuor elementorum, hoc est terrae, maris, ignis, et aëris, ratus

τέστιν τῆς γῆς καὶ τῆς θαλάσσης καὶ τοῦ πυρὸς καὶ ἀέρος, λογισάμενος ὅτι διὰ τοῦτο εὐτυχῶς φέρονται οἱ τῶν Περσῶν βασιλεῖς εἰς τοὺς πολέμους, ὡς τιμῶντες τὰ τέσσαρα ταῦτα στοιχεῖα· ἐν τῇ Ῥώμῃ γὰρ οὐκ ἐτίμων αὐτὰ τὰ τέσσαρα στοιχεῖα οὐδὲ ἐν μιᾷ ἑορτῇ. ὁ δὲ τῆς Πισαίων χώρας βασιλεὺς Οἰνόμαος ἀγῶνα ἐπετέλει ἐπὶ τὰ Εὐρώπεια μέρη μηνὶ δύστρῳ τῷ καὶ μαρτίῳ κε'
P 111 *τῷ Ἡλίῳ Τιτᾶνι ὡς ὑψουμένῳ, ἀγωνιζομένης, φησίν, γῆς καὶ θαλάσσης, τουτέστιν Δημήτρας καὶ Ποσειδῶνος, καὶ τῶν ὑποκειμένων στοιχείων τῷ Ἡλίῳ. καὶ ἐβάλλετο κλῆρος μετὰ τοῦ αὐτοῦ Οἰνομάου βασιλέως καὶ τοῦ ἐρχομένου ἀπὸ οἱασδήποτε χώρας καταγωνίσασθαι αὐτοῦ· καὶ ὅτε μὲν ὁ κλῆρος ἐκάλει τὸν Οἰνόμαον ἀγωνίσασθαι ὑπὲρ τοῦ Ποσειδῶνος, ἐφόρει σχῆμα ἱμάτιον κυανόν, ὅ ἐστι τῶν ὑδάτων· καὶ ὁ ἀνταγωνιζόμενος κατ' αὐτοῦ ἐφόρει τὸ χλοῶδες σχῆμα, ὅ ἐστιν τῆς γῆς. καὶ πάλιν εἰ*
R 262 *ἤνεγκεν ὁ κλῆρος τῷ Οἰνομάῳ φορέσαι τὸ τῆς Δημήτρας σχῆμα,*
B *ἐφόρει τὸ χλοῶδες σχῆμα, καὶ ὁ ἀνταγωνιζόμενος αὐτοῦ ἐφόρει τὸ σχῆμα τοῦ Ποσειδῶνος, ὅ ἐστιν τῶν ὑδάτων, τὸ κυανόν. καὶ ὁ ἡττώμενος ἐφονεύετο. καὶ πλῆθος ἄπειρον ἤρχετο θεωρῆσαι τὸν αὐτὸν ἐτήσιον βασιλικὸν ἀγῶνα ἀπὸ ἑκάστης χώρας καὶ πόλεως. καὶ οἱ μὲν τὰς παραλίους οἰκοῦντες πόλεις καὶ τὰς νήσους πολῖται καὶ τὰς κώμας τὰς παραλίους ναῦται ηὔχοντο τὸν φοροῦντα τὸ κυανὸν σχῆμα, τουτέστιν τοῦ Ποσειδῶνος, νικῆσαι,*

5. *Πισέων* P. 6. *σύστρῳ τῷ μαρτίῳ* P. 7. *ὑψουμένῳ* Malalas p. 173. 13., *ὑψωμένῳ* PV. 8. *Δήμητρος* P. 11. *αὐτοῦ*] *αὐτὸν* Malalas. 21. *ηὐχοῦντο* P sola.

ea de causa Persarum Reges bella feliciter peragere, ut qui quatuor haec elementa colerent. Neque enim antea quatuor ista Romae colebantur elementa, neque festum ullum institutum. Pisensium vero Rex Oenomaus certamen peregit in Europae partibus mensis Systri, seu Martii, xxv. die, in Solis Titanis, velut excelsi, honorem, certantibus, ut aiunt, terra et mari, hoc est Cerere et Neptuno, subjectisque Soli elementis. Sors vero mittebatur inter ipsum Regem Oenomaum, et alterum ex quacumque ille venisset regione, qui cum eo esset decertaturus: ita ut si forte sors Oenomaum pro Neptuno decertare statueret, tum is vestem indueret caeruleam, quod is color sit aquarum: qui porro cum illo pugnaturus esset, viridi uteretur, quod terrae color sit. Rursum siquidem sors Oenomaum Cereris habitum deferre designasset, viridi cultu ornaretur, et alter adversarius caeruleo habitu indueretur, Neptuni scilicet, qui color est aquarum: ac victus quidem morte lueret. Ad regium vero istud et anniversarium certamen infinita hominum multitudo ex singulis regionibus ac civitatibus confluebat. Qui porro maritimas urbes cives vel insulas, ac vicos littorales incolebant nautae, victoriam illi adprecabantur qui cyaneam vestem ferebat, id est Neptuni, cum inde au-

οἰωνιζόμενοι, ὅτι ἐὰν ἡττηθῇ ὁ ὑπὲρ τοῦ Ποσειδῶνος ἀγωνιζόμενος, ἔκλειψις ἰχθύων γίνεται παντοίων καὶ ναυάγια θαλάσσης καὶ ἀνέμων βιαίων ταραχή. οἱ δὲ τὰς μεσογείους οἰκοῦντες πο- C *λῖται καὶ ἐπιχώριοι ἄγροικοι καὶ πάντες οἱ ἐν τῇ γεωργίᾳ κάμνοντες ηὔχοντο νικῆσαι τὸν φοροῦντα τὸ χλοῶδες σχῆμα, οἰωνιζόμενοι ὅτι ἐὰν ἡττηθῇ ὁ ὑπὲρ τῆς Δημήτρας ἀγωνιζόμενος, ὅ ἐστιν ὑπὲρ τῆς γῆς, λιμὸς σίτου καὶ σπάνις οἴνου καὶ ἐλαίου καὶ τῶν ἄλλων καρπῶν πάντων γίνεται. καὶ ἐνίκησεν πολλοὺς ὁ Οἰνόμαος ἀνταγωνιστὰς αὐτοῦ ἐπὶ πολλὰ ἔτη· εἶχεν γὰρ καὶ τὸν Ἄψυρτον διδάσκοντα αὐτὸν πικρῶς τὴν ἡνιοχικήν· ὅστις Οἰνόμαος ἡττηθεὶς ὑπὸ Πέλοπος τοῦ Λυδοῦ ἐφονεύθη.*

Τὸν δὲ ἱππικὸν ἀγῶνα πρῶτος ἐπενόησεν Ἐνυάλιός τις ὀνό- V 90 *ματι, υἱὸς Ποσειδῶνος, ἀγαγόμενος τὴν Λιβύην, θυγατέρα τῆς* D *Ἰοῦς καὶ τοῦ Πίκου Διός, ὃς κρατήσας τὰ μεσημβρινὰ μέρη ἐκάλεσεν τὴν αὐτὴν χώραν ἐν ᾗ ἐβασίλευσεν Λιβύην εἰς ὄνομα τῆς αὐτοῦ γυναικός. τὸν δὲ αὐτὸν ἱππικὸν ἀγῶνα ὁ Ἐνυάλιος ἅρμασι διπώλοις ἐφηῦρε, καθὼς συνεγράψατο Καλλίμαχος ὁ σοφώτατος ἐν τοῖς Αἰτησίοις αὐτοῦ. καὶ λοιπὸν μετ᾽ αὐτὸν ὁ Ἐριχθόνιος ἐπετέλεσεν καὶ ἄλλοι ἐν διαφόροις τόποις ἐπετέλεσαν. ὁ δὲ Οἰνόμαος πρῶτος αὐτὸς ἐπετέλεσεν τὸν αὐτὸν ἱππικὸν ἀγῶνα ἅρμασι τετραΐπποις· διὸ καὶ περιβόητος ἐγένετο, καθὰ ἐν ταῖς* P 112

3. *τὰς* om. P. 4 *ἀγροικοὶ* P. 11. *τοῦ* om. P. 12. *ἐνόησεν* P. 14. *Ἰοῦ* PV, *Ἰοῦς* m. R. 15. *ἐν — Λιβύην*] (*Λιβύην*) P. 16. *αὐτὸν* om. P. 17. *διπώλοις* Malalas, *δὴ πολλοῖς* PV. 18. *Ἐριχθόνιος* Malalas, *Ἐρεχθόνιος* PV.

gurarentur, si qui pro Neptuno dimicabat vinceretur, futuram omnis generis piscium caritatem, maris eventura naufragia, ac fore ut ingentes ventorum turbines excitarentur. Contra autem qui continentem habitabant, ac indigenae rustici, et quotquot agriculturae dabant operam, illum superiorem optabant qui herbaceum colorem deferebat, ominati, si vinceretur qui pro Cerere certabat, seu pro terra, annonae caritatem, vinique ac olei, frugumque aliarum omnium secuturam inopiam. Atque Oenomaus multos quidem ex adversariis superavit per multos annos, Absyrto magistro usus, a quo aurigationis artem apprime edoctus erat: sed tandem victus a Pelope Lydo interfectus est.

Equestrium porro certaminum primus auctor fertur Enyalius, Neptuni filius, qui ducta in uxorem Libya, Iüs et Pici Jovis filia, meridionales regiones a se subactas, de uxoris nomine Libyam appellavit. Enimvero equestres multorum curruum pugnas Enyalius adinvenit, quemadmodum doctissimus Callimachus in suis Aetesiis literis prodidit. Post Enyalium denique Erechtonius, aliique deinceps variis in locis eosdem ludos celebrarunt. Primus autem Oenomaus certamen illud equestre quo quadrijugis bigam vehentibus dimicabatur instituit, unde celebris admodum est habitus, ut in doctissimi Characis historiis habetur: in quibus

Χάρακος τοῦ σοφωτάτου ἱστορίαις ἐμφέρεται, ὃς συνεγράψατο καὶ ταῦτα, ὅτι τὸ τοῦ Ἱππικοῦ γυμνάσιον εἰς τὴν τοῦ κόσμου διοίκησιν ἐπινενόηται, τουτέστιν τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης. τοὺς γὰρ δώδεκα οἴκους ἱστόρησαν τοῦ ζωδιακοῦ κύκλου τοῦ διοικοῦντος τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τῶν ἀνθρώπων τὸν παροδικὸν βίον, τὸ δὲ πέλμα τοῦ Ἱππικοῦ τὴν γῆν πᾶσαν εἶναι, τὸν δὲ εὔριπον τὴν θάλασσαν ἀπὸ τῆς γῆς μεσαζομένην, τὸν δὲ ἐπὶ τὰς θύρας καμπτὸν τὴν ἀνατολήν, καὶ τὸν R 264 *ἐπὶ τὴν σφενδόνα τὴν δύσιν, τὰ δὲ ἑπτὰ σπατία τὸν δρόμον καὶ* B *τὴν κίνησιν τῆς ἀστρῴας τῶν ἑπτὰ ἀστέρων τῆς μεγάλης ἄρκτου. ὁ δὲ αὐτὸς Ῥῶμος βασιλεὺς πρὸς τιμὴν καὶ αὐτὸς τοῦ Ἡλίου καὶ τῶν ὑπ' αὐτὸν τεσσάρων στοιχείων τὸν ἀγῶνα ἐν τῇ Ῥώμῃ πρῶτος ἐφευρὼν ἐπετέλεσεν ἐν τῇ αὐτῇ χώρᾳ τῆς δύσεως, ἤτοι τῆς Ἰταλίας, ἅρμασι τετραπώλοις, τουτέστιν τῇ γῇ καὶ τῇ θαλάσσῃ καὶ πυρὶ καὶ ἀέρι. καὶ ἐπέθηκεν ὁ Ῥῶμος τοῖς αὐτοῖς τέτρασι στοιχείοις τὰ ὀνόματα ταῦτα, τῇ γῇ τὸ Πράσινον μέρος, ὅ ἐστιν τὸ χλοῶδες, τῇ δὲ θαλάσσῃ, τουτέστι τοῖς ὕδασι, τὸ Βένετον μέρος, ὡς κυανόν, τῷ πυρὶ τὸ Ῥουσαῖον μέρος πυρῶδες, καὶ τῷ ἀέρι τὸ λευκόν. κἀκεῖθεν ἐπενοήθη τέσσαρα μέρη ἐν Ῥώμῃ.* C *ἐκάλεσε δὲ τὸ Πράσινον μέρος Πραίσεντον, ὅ ἐστιν ῥωμαϊκὴ λέ-*

4. *τοὺς γὰρ δώδεκα οἴκους*] *τὰς δὲ δεκαδύο θύρας τοὺς δώδεκα οἴκους* Malalas. 7. *εὔριππον* V. 9. *σπαθία* PV. *σπατία* cum Cedreno Chilmeadus ad Malalam et Ducangius Gloss. v. *σπάτιον*. 10. *ἀστρῴας*] *ἀστρονομίας* Malalas, *ἀστροθεσίας* Ducangius, *τὴν ἀστρῴαν* Chilmeadus ad Malalam. Infra p. 219 D. *ἐπειδὴ μηδὲ τῇ ἀστρῴᾳ τοῦτο συμβαίνει κινήσει.* *ib.* *τῆς* Malalas, *καὶ τῆς* PV. *ib.* *μεγάλης* om. P. 12. *αὐτοῦ* P.

et hoc subditur, equestris certaminis exercitationem ad orbis gubernationem exprimendam adinventam, coeli scilicet, terrae ac maris. Duodecim quippe Zodiaci circuli domos effingere, a quo terra et mare, ac caduca hominum vita regitur. Solo enim Circi terram universam designari, Euripo mare quod in terrae medio consistit: flexum vero versus januas, orientem: eum autem qui ad metas est, occasum: septem spatia, cursum et motum septem planetarum ac ursae majoris. Quinetiam idem Romulus in ipsius Solis honorem, et quatuor elementorum a se repertum certamen primus Romae celebravit in eadem Occidentis sive Italiae regione, quadrijugo curru, quo terram, mare, ignem et aerem designaret. His porro quatuor elementis sua nomina Romulus imposuit, terrae, Prasina, id est herbacea, vel viridi: mari seu aquis, Veneta seu caerulea: aëri denique Alba Factione assignata. Prasinam autem factionem Praesentem appellavit, voce a Latino ducta, quae Permanens quidpiam sonat, quod terra cum silvis ac saltibus virens semper existat ac permaneat. Venetam vocavit a provincia, quae Venetia dicitur, Romae subdita, cu-

ξις, ἥτις ἑρμηνεύεται ἐμπαράμονον· πραισεντεύειν γὰρ λέγεται
τὸ παραμένειν, διότι ἡ χλοώδης γῆ διὰ παντὸς ἵσταται σὺν τοῖς
ἄλσεσι. τὸ δὲ Βένετον ἐκάλεσεν ἐκ τοῦ εἶναι ὑπὸ τὴν Ῥώμην
ἐπαρχίαν χώραν λεγομένην Βενετζίαν, ἧστινος μητρόπολίς ἐστιν
Ἀκυληία· κἀκεῖθεν ἐξέρχονται τὰ κυανά, τουτέστιν τὰ Βενέτζια
βάμματα τῶν ἱματίων, καὶ προσεκόλλησεν τῷ Πρασίνῳ μέρει, ὅ
ἐστιν τῇ γῇ, τὸ λευκόν, φησὶ τὸν ἀέρα, καθότι βρέχει καὶ ὑπουρ-
γεῖ καὶ ἁρμόττει τῇ γῇ. τῷ Βενέτῳ μέρει, ὅ ἐστι τοῖς ὕδασι,
προσεκόλλησε συμμίξας τὸ Ῥουσαῖον μέρος, ὅ ἐστιν τὸ πῦρ, καθό-
τι σβέννυσι τὸ πῦρ ὡς ὑποτεταγμένον αὐτῷ. καὶ λοιπὸν οἱ τὴν D
Ῥώμην οἰκοῦντες διεμερίσθησαν τὰ μέρη, καὶ οὐκέτι ὡμονόησαν
πρὸς ἀλλήλους διὰ τὸ ἐρᾶν ἕκαστον τῆς ἰδίας νίκης καὶ ἀντιποιεῖ-
σθαι τοῦ ἰδίου μέρους, ὥσπερ θρησκείας τινός· καὶ ὑπῆρξε μέγα
σχίσμα ἐν τῇ Ῥώμῃ, καὶ μεγάλην ἔχθραν εἶχον πρὸς ἀλλήλους
τὰ μέρη, ἀπότε ἐπενόησεν αὐτοῖς τὴν τοῦ ἱππικοῦ θέαν ὁ Ῥῶ-
μος. ἐν δὲ τῇ βασιλείᾳ τοῦ αὐτοῦ Ῥώμου ὁ στρατὸς αὐτοῦ ἐγέ-
νετο πολὺς ἐπείσακτος, καὶ πλῆθος ἦν ἐν τῇ Ῥώμῃ ἀγρίων ἀν-
θρώπων, καὶ οὐκ ἦσαν πρὸς τὰ πλήθη τῶν ἀνθρώπων γυναῖκες,
καὶ ἐπεθύμουν τῆς τοῦ βίου ἡδονῆς τὰ τῶν νεανιῶν στρατεύματα, P 113
καὶ ἐπήρχοντο κατὰ τὴν ἀγορὰν ταῖς γυναιξί, καὶ ἐγένετο ταραχὴ V 91
καὶ ἐμφύλιος πόλεμος. καὶ ἠθύμει ὁ Ῥῶμος, ἀμηχανῶν τί πρά- R 266

4. *Βενεττίαν* P. 5. *Βενέττια* P. 7. *φησί* post *καθότι* ponit P. 11. *τὰ*] *εἰς τὰ* P sola. 14. *ἀλλήλους*] *ἄλλους* V. 15. *ἀπότε*] *ἀφότε* Chilmeadus, *ὁπότεν δ'* m. R. V. p. 298. B. 16 *ἐν δὲ* Malalas, *ἐν* PV. 17. *ἀγρίων ἀνθρώπων* Malalas, *ἀγριανῶν* PV, quod decepit Ducangium in Gloss. 19. *τὰ τῶν*] *τούτων* PV.

jusque Metropolis est Aquileia, unde nempe colores caerulei, seu tincturae Venetae, quibus inficiuntur panni, afferuntur: quae quidem Factio Veneta Prasinae, qua designatur terra, adjungitur. Albae nomine donavit aërem, quod is terram riget, eidemque subserviat, ac commodum praestet. Venetae Factioni, quae aquam exhibet, Russatam adjunxit, qua ignis denotatur, quod illa veluti sibi subditum ignem extinguat. Qui porro tum Romam incolebant hac ratione in Factiones divisi, nusquam deinceps invicem coaluerunt, dum quisque Factionem suam superiorem esse cupit, ac victoriam adipisci, atque ex nescio qua superstitione depugnat. Hinc exorta Romae intestina dissidia, et inter factiones enatae graves ad invicem inimicitiae. Ex quo igitur Circenses ludos Romanis dedit Romulus, quamdiu is regnavit, ex militibus extraneis ut plurimum conflatus erat illius exercitus, cum haud pauci Romam ex agris confluerent, quibus pro tanto numero deerant uxores. Cumque vitae voluptatis cupiditate flagraret ejusmodi juvenum multitudo, passim ii feminas in foro adoriebantur, unde turbae enascebantur, ac civiles seditiones. Anxius igitur Romulus, quidve ageret incertus, cum nulla esset

ξει· οὐδεμία γὰρ ἠνείχετο τῶν γυναικῶν καταμῖξαι τοῖς στρατιώταις, ὡς ἀγρίοις καὶ βαρβάροις, καὶ ἐξεφώνησε νόμον ὥστε λαμβάνειν τοὺς στρατιώτας πρὸς γάμον παρθένους, ἃς ἐκάλεσαν βροΐτιδας. καὶ οὐδεὶς εἵλατο αὐτοῖς δοῦναι τὴν ἰδίαν θυγατέρα, ἀλλ' ἔλεγον ὅτι οὐκ ἔστιν αὐτοῖς καθ' ἑκάστην ἐλπὶς ζωῆς διὰ τοὺς πολέμους, ἀλλὰ πάντες τοῖς τῆς πόλεως ἐζεύγνυον τὰς ἑαυτῶν θυγατέρας. καὶ ἀθυμῶν ὁ Ῥῶμος ἀπῄει εἰς τὸ μαντεῖον· καὶ ἐδόθη αὐτῷ χρησμὸς ὥστε ἐπιτελέσαι ταῖς γυναιξὶ
B θέαν ἱππικοῦ, ἵνα ἀγάγηται ἑαυτῷ ὁ στρατὸς γυναῖκας. καὶ συνάξας τὸ πλῆθος τοῦ στρατοῦ ἐν τῷ Παλατίῳ ἐπετέλεσεν ἱππικόν, κελεύσας γυναῖκας καὶ μόνον θεωρῆσαι τὸ ἱπποδρόμιον αὐτοῦ. καὶ ὡς παραξένου τινὸς θέας μελλούσης γίνεσθαι ἀπὸ πάσης τῆς περιχώρου καὶ τῶν πόῤῥωθεν πόλεων καὶ κωμῶν ἐν τῇ πόλει Ῥώμῃ πλήθη γυναικῶν παρεγένοντο, καὶ ἀνεπλήρωσαν τὸ Ἱππικὸν γυναῖκες ὕπανδροι καὶ νεώτεραι παρθένοι. ἦλθον δὲ καὶ θυγατέρες τῶν λεγομένων Σαβινῶν, χώρας πλησίον τῆς Ῥώμης οὔσης, γυναῖκες εὐπρεπεῖς. καὶ δεδωκὼς ὁ Ῥῶμος μανδᾶτα λάθρα γυναῖκα οὖσαν ὕπανδρον Ῥωμαίαν πολίτιδα μὴ θεωρῆσαι, κελεύσας καὶ τῷ ἰδίῳ πάλιν στρατῷ ὥστε ὑπάνδρῳ γυναικὶ
C μὴ τολμῆσαι ἅψασθαι, ἀλλὰ τὰς παρθένους ἁρπάσαι καὶ τὰς μὴ ἐχούσας ἄνδρας, καὶ ἀνελθὼν ἐν τῷ Ἱππικῷ ὁ Ῥῶμος ἐθεώρει· καὶ ἐν τῷ ἐπιτελεῖσθαι τὸν ἀγῶνα ἀπολυθεὶς ἀπὸ τοῦ Παλατίου

1. *οὐδεμία* Chilmeadus, *οὐδεὶς* PVMalalas. 4. *εἵλετο* P. 10. *Παλλατίῳ* P. *ibid.* *ἐτέλεσεν* P. 13. *τῆς* om. P. 19. *καὶ πάλιν ἰδίῳ* P. 20. *τὰς μόνας παρθένους* P. 22. *Παλλατίου* P.

femina quae cum militibus misceri vellet, utpote agrestibus et barbaris, legem promulgavit, qua milites jussit sibi in uxores adsciscere virgines, quas Brutides appellabant. Sed nemo erat qui filiam suam iis vellet tradere, cum horum singulis haud superesse vitae spem propter bella dicerent, quin potius suas filias civibus collocabant. Romulus igitur consilio destitutus ad oraculum proficiscitur, a quo datum est responsum, ut feminis Circenses exhiberet, ex quibus miles sibi uxores adscisceret. Coactis ergo in Palatium copiis, Circenses peregit, quibus feminas duntaxat interesse statuit. Cumque inauditum hactenus futurum esset spectaculum, e vicinis regionibus, remotioribusque adeo urbibus ac vicis Romam advolavit mulierum multitudo, Circumque feminae conjugio illigatae et juniores virgines promiscue implerunt. Advenere etiam Sabinorum, quorum regio Romae proxima erat, filiae, feminae caeterum forma praestantes. Dederat porro Romulus clam in mandatis, ut nulla Romana matrona spectaculo interesset: rursumque militibus suis edixerat, ut nullam ex nuptis feminam contingerent, sed solas raperent virgines, et quae conjuges non haberent. Tum Romulus Circo conscenso, Circenses spectavit, qui cum peragerentur, dimissus ex Palatio miles in

ὁ στρατὸς ὥρμησεν ἐν τῷ Ἱππικῷ, καὶ ἐκ τῶν βάθρων ἀπεσπῶσαν τὰς παρθένους κόρας καὶ τὰς μὴ ἐχούσας ἄνδρας, καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας. τοῦτο πρὸς ἅπαξ ἐποίησεν ὁ Ῥῶμος γενέσθαι, καθὼς ὁ σοφώτατος Βηργίλιος ποιητής, ὡσαύτως δὲ καὶ Ἀπολλώνιος Ῥωμαίων ἱστοριογράφος συνεγράψατο, ὁμοίως δὲ καὶ Σίλβιος. ἕτεροι δὲ ἱστορικοὶ συνεγράψαντο τὸ πρῶτον ἱπποδρόμιον ἐπιτελεσθῆναι τοῖς Ῥωμαίοις εἰς βουρδῶνας. D

Τὸν δὲ Ῥῶμον καὶ τὸν Ῥῆμον ἱστοροῦσιν ἀπὸ λυκαίνης γαλακτοτροφηθῆναι, διότι ὁ βασιλεὺς ὁ Ἀμούλιος ὁ αὐτῶν πάππος ἐκέλευσεν αὐτοὺς ῥιφῆναι εἰς τὰς ὕλας, ὡς πορνογεννήτους, ἐπειδὴ ἡ Ἰλία ἡ μήτηρ αὐτῶν, ἱέρεια οὖσα τοῦ Ἄρεως, ἐφθάρη πορνευθεῖσα ὑπό τινος στρατιώτου, περὶ οὗ λέγουσι μυθολογοῦντες τὸν Ἄρεα αὐτὴν ἐγγαστρῶσαι, καὶ ἐγέννησεν αὐτοὺς διδύμους, καὶ R 268 διὰ τοῦτο ὁ πάππος αὐτῶν ἔῤῥιψεν αὐτοὺς εἰς τὰς ὕλας. καὶ ηὗρεν τοὺς αὐτοὺς παῖδας χωρική τις βόσκουσα πρόβατα, καὶ σπλαγχνισθεῖσα, ὅτι ἦσαν εὔμορφοι, λαβοῦσα ἀνεθρέψατο αὐ- P 114 τοὺς τῷ ἰδίῳ γάλακτι. εἰς δὲ τὴν χώραν ἐκείνην λυκαίνας καλοῦσιν ἕως ἄρτι τὰς χωρικὰς τὰς βοσκούσας τὰ πρόβατα, ὡς ἀεὶ τὸν βίον καὶ τὴν διαγωγὴν ἐχούσας μετὰ τῶν ἀλόγων καὶ τῶν λύκων.

Τούτου ἕνεκεν ὁ Ῥῶμος ἐπενόησεν τὰ λεγόμενα Βρουμάλια, εἰρηκώς, φησίν, ἀναγκαῖον εἶναι τρέφειν τὸν κατὰ καιρὸν βασιλέα

1. ἀπέσπασαν P. 4. Ἀπολλώνιος] Πλίνιος Malalas. 5. Ῥωμαῖος P. ibid. ἐγράψατο P. 6. Σίλβιος] Λίβιος Malalas. 9. ὁ Ἀμούλιος] Θαμούλιος PV, ὅτε βασιλεὺς ὁ Ἀμούλιος Malalas. 11. Ἠλία PV. ib. ἱερὰ P. 22. φησίν om. P sola.

Circum irruit, raptasque ex gradibus puellas virgines, ac feminas quae viris carebant, sibi in conjuges adjunxit. Hoc semel duntaxat fecit Romulus, ut doctissimus Virgilius Poeta pariter ac Apollonius Romanae historiae scriptor, et Silvius tradiderunt. Caeteri vero historici primos Circenses ludos in mulis tum primum a Romanis actos scripsere.

Romulum autem ac Remum narrant a lupa fuisse lactatos. Rex enim Amulius eorum avus in silvis veluti nothos exponi praeceperat, quod mater Silvia Martis Sacerdos a quodam milite fuisset compressa: unde hanc a Marte fuisse gravidatam finxere. Cum autem gemellos edidisset, eaquepropter ab illorum avo in silvis essent expositi, hos inventos mulier quaedam rustica, quae greges pascebat, miseratione commota, ut qui essent admodum formosi, acceptosque lacte suo enutrivit. In hacce autem regione rusticas mulieres quae greges pascunt, Lupas hodieque vocant, ut quae vitam agant cum bestiis ac lupis, continuoque cum iis versentur.

Romulus porro Brumalia, uti appellantur, ea de causa instituit. Cum enim necesse esse diceret ut statuto tempore Senatores suos omnes, vel

τὴν ἑαυτοῦ σύγκλητον πᾶσαν καὶ τοὺς ἐν ἀξίαις καὶ πάσας τὰς
ἔνδον τοῦ Παλατίου οὔσας στρατιὰς ὡς ἐντίμους ἐν τῷ καιρῷ τοῦ
χειμῶνος, ὅτε τὰ πολεμικὰ ἔνδοσιν ἔχει, καὶ ἤρξατο πρώτους κα-
λεῖν καὶ τρέφειν τοὺς ἀπὸ τοῦ α ἔχοντας τὸ ὄνομα, καὶ λοιπὸν
B ἀκολούθως ἕως τοῦ ω, κελεύσας καὶ τὴν ἑαυτοῦ σύγκλητον θρέ-
V 92 ψαι τῷ αὐτῷ σχήματι· καὶ ἔθρεψαν καὶ αὐτοὶ τὸν ὄχλον ἅπαντα,
ἕκαστος οὓς ἠβούλετο. οἱ οὖν ἑκάστου ἀριθμοῦ πάνδουροι ἀπὸ
ἑσπέρας εἰς τοὺς οἴκους ἀπιόντες τῶν καλούντων οὓς ἤθελον ἐπ'
ἀρίστῳ εἰς τὴν ἑξῆς ηὔλουν πρὸς τὸ γνῶναι ἐκεῖνον ὅτι παρ' αὐ-
τῷ τρέφονται αὔριον. καὶ κατέσχεν τὸ ἔθος τῶν Βρουμαλίων
παρὰ τῇ Ῥωμαίων πολιτείᾳ ἕως τοῦ νῦν. τοῦτο δὲ ἐποίησεν ὁ
αὐτὸς Ῥῶμος θέλων ἐξαλεῖψαι τὴν ἑαυτοῦ ὕβριν, ὅτι οἱ Ῥω-
μαῖοι ἐχθροὶ ὄντες αὐτοῦ καὶ μισοῦντες αὐτὸν λοιδοροῦντες ἔλε-
C γον ὅτι οὐκ ἐχρῆν αὐτὸν βασιλεύειν, διότι ἐξ ἀλλοτρίων ἐτράφη-
σαν οἱ δύο ἀδελφοὶ ἕως ὅτου τελείας γεγόνασιν ἡλικίας καὶ ἐβα-
σίλευσαν, σημαίνοντες ὅτι ἀπὸ τοῦ Φαυστόλου τοῦ γεωργοῦ καὶ
τῆς γυναικὸς αὐτοῦ Λυκαίνης ἐτράφησαν ἐκ τῶν ἀλλοτρίων ἐσθί-
οντες. ὄνειδος γὰρ ὑπῆρχε παρὰ Ῥωμαίοις καὶ πᾶσι τοῖς ἀρ-
χαίοις τὸ ἐκ τῶν ἀλλοτρίων τρέφεσθαί τινα· ὅθεν καὶ ἐν τοῖς
συμποσίοις τοῖς λεγομένοις φιλικοῖς ἕκαστος τῶν συνερχομένων
εἰς τὸ συμπόσιον τὸ ἴδιον βρῶμα καὶ πόμα μεθ' ἑαυτοῦ κομίζει,
καὶ εἰς τὸ κοινὸν τὰ πάντα παρατίθεται, καὶ ἐσθίουσι κρατοῦν-
τες τὸ ἀρχαῖον ἔθος.

7. οὓς] ὡς m. P solius. *ibid.* ἐβούλετο P. 8. ἑσπέραν V secunda manu. *ib.* οὓς] ὡς PV. 11. Ῥωμαίᾳ P. 16. Φαυστόλου τοῦ] Φαυστολόγου PV. Φαύστου τοῦ Malalas.

pars quidem quaedam ferrea, pars autem quaedam fictilis. Videbas donec abscissus est lapis ex monte sine manibus, et percussit imaginem super pedes ferreos, et fictiles, et comminuit eos in finem. Tunc comminuta sunt omnino testa, ferrum, argentum, aurum, et facta sunt quasi pulvis ab area aestiva, et extulit ea multitudo venti, et locus non est inventus illis. Et lapis qui percussit imaginem factus est in montem magnum, et implevit omnem terram. Hoc est somnium; et conjecturam ejus dicemus coram Rege.“

„Tu Rex, Rex Regum, cui Deus coeli regnum forte, et validum et gloriosum dedit in omni loco, in quo habitant filii hominum, bestiasque agri, et volatilia coeli dedit in manu tua, et constituit te Dominum omnium: tu es caput aureum. Et post te surget regnum aliud minus te, quod est argentum: et regnum tertium, quod est aes, quod dominabitur omni terrae. Et regnum quartum erit forte quasi ferrum: quemadmodum ferrum comminuit et domat omnia quae sunt in terra, ita omnes comminuet. Et quia vidisti pedes et digitos partem quidem quandam testeam et luteam, partem autem aliquam ferream, regnum divisum erit, et a radice ferrea erit in eo: quemadmodum vidisti ferrum mixtum testae et digiti pedum pars quidem quaedam ferrea, pars autem

καὶ τοὺς δακτύλους μέρος μέν τι ὀστράκινον καὶ κεραμεοῦν, μέρος δέ τι σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ. καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον, καὶ μέρος τι τῆς βασιλείας ἔσται ἰσχυρότερον, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον. ὅτι δὲ εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὕτως μετὰ τούτου, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστρά- B
κου. καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται, καὶ λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας, καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας, ὃν τρόπον εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας ἐγνώρισεν τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

Τότε ὁ βασιλεὺς Ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ τῷ Δανιὴλ προσεκύνησε, καὶ μαναὰ καὶ εὐωδίαν εἶπε σπεῖσαι αὐ-
τῷ. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ, Ἐπ' ἀληθείας C
ὁ θεὸς ἡμῶν αὐτός ἐστιν θεὸς θεῶν καὶ κύριος κυρίων καὶ βασιλεὺς τῶν βασιλέων καὶ ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο.

1. *κεραμέου* V, *κεράμιον* P. 4. *μέν τι*] *μέντοι* P. 6. *ἀπ'*] *ἐπ'* R, *ὑπ'* P. 10. *ἡμέραις βασιλέων* P. 12. *οὐκ* V. 15. *τὸν ἄργυρον* om. P. 16. *ὁ* alterum om. P.

quaedam testea; pars quaedam regni erit fortis, et ex ea erit contritum. Quia vidisti ferrum mixtum testae; commixti erunt in semine hominum, et non erunt adhaerentes hic cum hoc, sicut ferrum non miscetur cum testa. Et in diebus Regum illorum, suscitabit Deus coeli regnum, quod in aeternum non corrumpetur: et regnum ejus populo alteri non relinquetur, comminuet, et ventilabit omnia regna; et hoc suscitabitur in aeternum: quemadmodum vidisti, quia de monte abscissus est lapis sine manibus, et comminuit testam, ferrum, aes, argentum, aurum. Deus magnus nota fecit Regi, quae oportet fieri post haec, et verum somnium, et fidelis conjectura ejus.“

Tunc Rex Nabuchodonosor cecidit in faciem suam, et Danielem adoravit, et munera, et odores dixit libare ei. Et respondens Rex, dixit Danieli: „In veritate Deus vester Deus Deorum, et Dominus Dominorum, et Rex regum, et revelans mysteria; quia potuisti revelare mysterium hoc.“

Καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιήλ, καὶ δώματα μεγάλα
R 300 καὶ πολλὰ ἔδωκεν αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶνος, καὶ ἄρχοντα σατραπῶν καὶ ἐπὶ πάντας τοὺς σοφοὺς Βαβυλῶνος· καὶ Δανιὴλ ᾐτήσατο παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος τὸν Σεδρὰκ καὶ Μισὰκ καὶ Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

D μ' Ὀλυμπιάς.

ϛ', ζ', η', θ'.

μα' Ὀλυμπιάς.

ι'.

Τούτῳ τῷ δεκάτῳ ἔτει Ἰεχωνίου τοῦ καὶ Ἰωακεὶμ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἑβδόμῳ ἔτει τῆς αὐτοῦ βασιλείας τὴν Ἰουδαίων χειρωσάμενος καὶ ‚γκγ' τῶν Ἰουδαίων αἰχμαλώτους λαβών, καὶ τῶν ἱερῶν σκευῶν τῶν ἐν τῷ νεῷ τὰ πλεῖστα λαβών, φόρον τε Ἰεχωνίᾳ τῷ καὶ Ἰωακεὶμ ἐπιτάξας τελεῖν ἀργυρίου τάλαντα ρ' καὶ χρυσίου τάλαντα ι', ἀνεχώρησεν.

V 103
P 128 Ἀπὸ ιϛ' ἔτους Φακεὲ υἱοῦ Ῥομελίου βασιλέως Ἰσραήλ, ἤγουν δευτέρου ἔτους καὶ αὐτοῦ τῆς βασιλείας Ἰωάθαν βασιλέως τῶν δύο φυλῶν Ἰούδα καὶ Βενιαμίν, ἐπὶ τὸ παρὸν δέκατον ἔτος Ἰεχωνίου τοῦ καὶ Ἰωακεὶμ πληροῦνται ἔτη ρν', ἅπερ Ἐζε-

2. *πάσας* P. 6. *ἦν* om. R. *ib.* *τοῦ* om. P. 7. *γ' Ναβουχοδονόσορ.* m. R. *γ' Ναβουχοδονόσωρ* m. P. 18. *τῆς* om. P.

Anni a m. c. Et magnificavit Rex Daniel, et dona magna et multa dedit ei, et constituit eum super omnes regiones Babylonis, et Principem Satraparum super omnes sapientes Babylonis. Et Daniel postulavit a Rege, et constituit super opera regionis Babylonis Sidrach, et Misac, et Abdenago. Et Daniel erat in atrio Regis.

XL. Olympias.

4883. VI. VII. VIII. IX.

XLI. Olympias.

X.

Hoc anno decimo Jechoniae, seu Joacim, Nabuchodonosor Babylonis Rex, septimo regni sui anno, subjugata Judaea, et III. MXXIII. ex Judaeis captivis factis, maximaque vasorum templi parte ablata, Jechoniae, seu Joacim, argenti centum, et auri decem talentorum imposito tributo, recessit.

Ab anno XVI. Phacee, filii Romeliae Regis Israel, qui quidem secundus annus fuit Joatham Regis duarum tribuum Juda et Benjamin, usque ad praesentem decimum annum Jechoniae, seu Joacim, complentur anni

κίας διὰ τῆς τῶν ρν' ἡμερῶν ἐπὶ τὸ πλευρὸν ἀνακλίσεως καὶ κοιμήσεως ὑπὲρ τῆς τοῦ Ἰσραὴλ παρανομίας ἑωρακέναι λέγεται.

Ἔχει οὖν τὸ ἀκριβὲς τῆς ψήφου ἡ κατάληψις οὕτως.

Φακεὲ ἐν Σαμαρείᾳ	*ἔτη ιδ'.*	
Ὡσηὲ ἐν Σαμαρείᾳ	*ἔτη θ'.*	
Ἐζεκίας	*ἔτη κθ'.*	
Μανασσῆς	*ἔτη νε'.*	B
Ἀμὼν	*ἔτη β'.*	
Ἰωσίας	*ἔτη λα'.*	
Ἰωάχαζ ὁ καὶ Σελλὴμ	*μῆνας γ'.*	
Ἰεχωνίας ὁ καὶ Ἰωακεὶμ	*ἔτη ι'.*	

Ἀπὸ οὖν πεντεκαιδεκάτου ἔτους Φακεὲ υἱοῦ Ῥομελίου ἐπὶ τὸ παρὸν ι' ἔτος Ἰεχωνίου τοῦ καὶ Ἰωακεὶμ εἰσὶν ἔτη, ὡς πρόκειται, ρν'.

ια'. R 302

Ἱερεμίας προφητεύων Ἰεχωνίᾳ τῷ καὶ Ἰωακεὶμ λέγει, Ὁ οἰκοδομῶν τὸν οἶκον αὐτοῦ οὐ μετὰ δικαιοσύνης καὶ τὰ ὑπερῷα C *αὐτοῦ οὐκ ἐν κρίσει, παρ' αὐτῷ ὁ πλησίον αὐτοῦ ἐργᾶται δωρεὰν καὶ τὸν μισθὸν αὐτοῦ οὐ διδοὺς αὐτῷ. ᾠκοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα εὐρύχωρα, διεσταλμένα θυρίσι καὶ ἐξυλωμένα ἐν κέδρῳ καὶ κεχρισμένα ἐν μίλτῃ. μὴ βασιλεύων*

1. *ἀνακλήσεως* RV. 7. *νβ'* P. 16. *η' Ναβουχοδονόσορος* m. R, *η' Ναβουχοδονόσωρ* m. P. *ib. λέγει*] Ierem. XXII. 13.

cl. quos Ezechias per dierum cl. in latus inclinationem et dormitionem super Israelis impietates vidisse dicitur. Anni a m. c.

Ita vero se habet accurata calculi comprehensio.

Phacee in Samaria (regnavit)	annos xiv.
Osias in Samaria	annos ix.
Ezechias	annos xxix.
Manasses	annos lii.
Amon	annos ii.
Josias	annos xxxi.
Joachaz, qui et Sellem,	menses iii.
Jechonias, qui et Joacim	ann. x.

A decimo quinto igitur anno Phacee filii Romeliae, usque ad praesentem decimum annum Jechoniae, sive Joacim, sunt anni, ut supra dictum est, cl.

xi. 4863.

Hieremias prophetans Jechoniae, sive Joacim, ait: *Qui aedificat domum suam non cum justitia, et coenacula sua non in judicio, apud ipsum proximus ejus operatur gratis, et mercedem ejus non reddet ei. Aedificasti tibi domum proportionatam, coenacula spatiosa, distincta fenestris, et contignata in cedro, et linita sinopide. Num regnans regna-*

βασιλεύσης, ὅτι ἁμιλλᾶσαι πρὸς τὴν κέδρον. ὁ πατήρ σου ἔφαγεν καὶ ἔπιεν καὶ ἐποίησεν δίκαια, καὶ καλῶς ἦν αὐτῷ, καὶ σὲ ἔδει οὕτω ποιεῖν. διὰ τοῦτο, φησίν, οὐ μὴ κόψονται αὐτόν. οἴμοι, κύριε, οἴμοι, ἀδελφέ, οὐδὲ μὴ κλαύσονται αὐτόν, ὦ ἀδελφέ, οἴμοι, ἀδελφέ. ταφῇ ὄνου ταφήσεται. συμψησθεὶς ὡς D κοπρία ῥιφήσεται ἐπέκεινα τῆς πύλης Ἱερουσαλήμ. ὅπερ καὶ γέγονεν οὐ μετ' οὐ πολύ.

ιβ'.

Τούτῳ τῷ ἔτει Ἱερεμίας ἐκ προσώπου τοῦ θεοῦ προφητεύων λέγει Ἰεχωνίᾳ τῷ καὶ Ἰωακείμ, Παραδοθήσῃ εἰς χεῖρας Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος σὺ καὶ ἡ μήτηρ σου ἡ τεκοῦσά σε, καὶ ἐκεῖ ἀποθανεῖσθε. ὃ καὶ γέγονεν εὐθύ. Ναβουχοδονόσορ γὰρ ἀπὸ Μαρέων τῆς Αἰγύπτου ἕως τοῦ ποταμοῦ Εὐφράτου πάντα οἷα ἦν τῆς βασιλείας Αἰγύπτου ἀποσπάσας, τῇ γῇ Βαβυλωνίων προσκτησάμενος, ἐλθὼν πάλιν εἰς Ἱερουσαλὴμ Ἰεχωνίαν τὸν καὶ Ἰωακεὶμ τῷ μηνὶ τῷ τρίτῳ δωδεκάτῳ ἔτει τῆς βασιλείας P 129 αὐτοῦ, δήσας αὐτὸν Ναβουχοδονόσορ ἐν πέδαις χαλκαῖς ἐνάτῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας αἰχμάλωτον ἔλαβεν, καὶ πλεῖστον μέρος τοῦ λαοῦ ἀπῆξεν εἰς Βαβυλῶνα, καὶ ὡς ἠβούλετο ἐχρῆτο αὐτοῖς κατὰ τὴν προφητείαν Ἱερεμίου· ἐν οἷς καὶ τὸν Δανιὴλ καὶ τοὺς σὺν αὐτῷ τρεῖς παῖδας καὶ τὸν Ἐζεκιὴλ ἤγαγεν αἰχμα-

1. *βασιλεύσεις* P. *ib.* *ἁμιλλᾷ σε* P. 4. *οἴμμοι* V. 5. *συμψηφισθεὶς* V, *συμψιθεὶς* P. 7. *οὐ μετ' οὐ*] Aut prius aut posterius *οὐ* delendum videatur, ut est p. 277. A. 294. B. Sed conf. p. 258. C. 277. B. 9. *θ' ἔτος τοῦ Ναβουχοδονόσ.* m. R. *θ' Ναβουχοδονόσωρ* m. P. 17. *Ναβουχοδονόσορ* uncis includit P tacente V. *ibid.* *ἐννάτῳ* PV. 18. *τῷ ἔτει* P. 19. *ἐβούλετο* P.

***bis**, quoniam te confers cedro. Pater tuus comedit et bibit, et fecit justitiam, et bene erat ei, et te oportebat ita facere. Propterea, dicit (Dominus,) non plangent eum, vae mihi, Domine, vae mihi, frater: neque flebunt eum, o frater, heu mihi frater. Sepultura asini sepelietur: computrefactus projicietur ultra portum Hierusalem. Quod et paullo post factum est.*

XII.

Hoc anno Hieremias ex persona Dei prophetans Jechoniae, seu Joacim, ait: *Traderis in manus Nabuchodonosor Regis Babylonis, tu et mater tua quae te genuit, et ibi moriemini.* Quod et accidit: quippe Nabuchodonosor a Mareis Aegypti usque ad flumen Euphratem quaecumque erant regni Aegypti, avulsa, terrae Babylonis subjecit: ac Hierusalem rursum profectus, Jechoniam, seu Joacim, mense tertio anni XII. regni ejus, aereis vinctum catenis, captivum factum anno regni sui IX. unaque cum illo maximam populi partem, Babylonem abduxit, iisque pro suo arbitratu usus est, juxta Hieremiae Prophetiam: in quibus erant

λώτους· πλὴν βασιλεύσας ιβ' ἔτη ὁ αὐτὸς Ἰεχωνίας ὁ καὶ Ἰωα-
κεὶμ ἀπέθανεν, καὶ βασιλεύει μετ' αὐτὸν Ἰωακεὶμ υἱὸς αὐτοῦ, ἔκγο-
νος Ἰωσίου, ὅντινα ἡ βίβλος τῶν Παραλειπομένων καὶ τὸ εὐαγ-
γέλιον Ἰεχωνίαν ὀνομάζει, ὅστις τρίμηνον ἐβασίλευσεν.

Μετὰ Ἰεχωνίαν τὸν καὶ Ἰωακεὶμ ἐβασίλευσεν Ἰεχωνίας ἔκ-
γονος Ἰωσίου μῆνας γ'. ὁμοῦ ͵δωϟδ' καὶ μῆνας γ'.

Ἐπὶ τούτου πάλιν ἀνέβη Ναβουχοδονόσορ τρίτῳ μηνὶ τῆς V 104 B
βασιλείας αὐτοῦ ἐν Ἱερουσαλήμ, καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ.
καὶ ἐξῆλθεν Ἰεχωνίας αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ παῖδες αὐ- R 304
τοῦ πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἔλαβεν αὐτοὺς Ναβουχο-
δονόσορ τῷ ἐνάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας. καὶ εἰσῆλθεν εἰς
τὴν πόλιν ὁ βασιλεὺς τῶν Ἀσσυρίων, καὶ ἐξήνεγκεν τοὺς θησαυ-
ροὺς τοῦ τε ναοῦ καὶ τοῦ βασιλέως, καὶ συνέκοψεν τὰ σκεύη ἃ
ἐποίησεν Σολομῶν, καὶ ἀπῴκισεν τὴν Ἱερουσαλὴμ καὶ πάντας
τοὺς ἄρχοντας καὶ πάντας τοὺς δυνατοὺς ἰσχύϊ καὶ ὅλον τὸν λαὸν
ιζ' χιλιάδας αἰχμαλώτους καὶ πάντα τέκτονα καὶ τὸν συγκλείον- C
τα, καὶ οὐχ ὑπελείφθησαν πλὴν πενομένων τοῦ λαοῦ τῆς γῆς, ἐν
οἷς καὶ αὐτὸν τὸν Ἰεχωνίαν μετῴκισεν εἰς Βαβυλῶνα καὶ τὴν
μητέρα καὶ τὰς γυναῖκας αὐτοῦ καὶ τοὺς εὐνούχους. ἔλαβεν ἑτέ-
ραν κεφαλίδα βιβλίου Ἱερεμίας, καὶ ἔδωκεν αὐτὴν τῷ Βαρούχ,
καὶ ἦν γεγραμμένα αὐτῇ πάντα ἅπερ ἦν κατὰ Ἰεχωνία. καὶ ἐβα-
σίλευσεν μετ' αὐτὸν Σεδεκίας ὁ καὶ Ματθανίας, υἱὸς αὐτοῦ,
ἔτη ια'. ὁμοῦ ͵δϡε' καὶ μῆνας ϛ'.

1. ἔτη ιβ' P. 3. τῶν Παραλειπομένων] I. 3. ib. εὐαγγέλιον] Matth. I. 11. 11. ἐννάτῳ PV. 13. τε om. R. 14. 253. 14. ἀπῴκησεν PV. 15. τὸν ὅλον λαὸν R. 16. πάντα τὸν τέκτονα P. 18. μετῴκησεν PV. 22. Σεδεχίας P. ib. ι' Ναβουχοδονόσορ. m. R.

etiam Daniel, et cum eo tres pueri, et Ezechiel. Jechonias vero, qui et Joacim, cum regnasset annos XII. decessit, ac post illum regnavit Joacim filius ejus, Josiae nepos, quem liber Paralipomenôn et Evangelium Jechoniam nominant, qui tribus duntaxat mensibus regnavit.

Post Jechoniam, seu Joacim, regnavit Jechonias, Josiae nepos, menses III. Colliguntur anni IV. MDCCCXCIV. et menses III.

Illo regnante venit rursum Nabuchodonosor tertio mense illius regni Hierosolymam, urbeque obsessa, et vallata, egressi sunt Jechonias, ipse et mater et filii ejus ad Regem Babylonis, et capti sunt a Nabuchodonosor anno regni illius nono, ingressusque urbem Assyriorum Rex, abstulit Thesauros templi et Regis: et vasa, quae fecerat Solomon, confregit, et traduxit ex urbe Hierusalem principes omnes ac potentiores una cum universo populo ad XVII. millia, et in captivitatem abduxit, atque adeo omnem artificem et inclusorem, relictis tantummodo ex plebe terrae pauperibus: in quibus et ipsum Jechoniam, et matrem, et uxores ejus, et Eunuchos abduxit Babylonem. Hieremias accepit aliud volumen, et dedit Barucho; erantque in eo scripta quaecunque contra Jechoniam

α΄.

μβ΄ Ὀλυμπιάς.

D β΄.

Τούτῳ τῷ ἔτει Ἄγκιος Μάρκος τελευτᾷ ἐν Ῥώμῃ καταστήματι· καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἄγκιος Ταρκύνιος ὁ καὶ Πρίσκος ἐν αὐτῇ τῇ Ῥώμῃ ἔτη λη΄.

γ΄.

Ἐπὶ τῆς Ἰουδαίας προεφήτευεν Ἱερεμίας καὶ Βαρούχ.

δ΄.

Τούτῳ τῷ ἔτει Ματθανίας ὁ καὶ Σεδεκίας ἀπέστειλε πρὸς
P 130 Ἱερεμίαν τὸν Πάσχωρ υἱὸν Μελχίου καὶ Σοφωνίαν υἱὸν Μαδαασαίου τοῦ ἱερέως ἐπερωτῆσαι περὶ Ναβουχοδονόσορ, ἐπελθόντος αὐτῷ καὶ τῇ Ἰουδαίᾳ, εἰ ποιήσει κύριος ἔλεος μετ' αὐτῶν. καὶ εἶπεν αὐτοῖς Ἱερεμίας ἐκ προσώπου κυρίου ὅτι πολεμήσει κύριος τὴν πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ἐν χειρὶ ἐντεταμένῃ καὶ ἐν βραχίονι ὑψηλῷ μετὰ θυμοῦ καὶ ὀργῆς καὶ παροξυσμοῦ μεγάλου. καὶ μετὰ ταῦτα τὸν Ματθανίαν τὸν καὶ Σεδεκίαν, βασιλέα Ἰούδα, καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὸν λαὸν τὸν καταλειφθέντα ἐν τῇ πόλει ἀπὸ τοῦ θανάτου καὶ τῆς μαχαίρας

1. ια΄ Ναβουχοδ. m. P. 4. Ἄγκος P. 5. Ἄγκιος] Λούκιος m. P. 6. ιβ΄ Ναβουχοδ. m. P. 10. ιγ΄ Ναβουχοδ. m. P. 11. Πάχωρ P. ibid. Μαδασσαίου P. 12. περὶ τοῦ Ν. P. 17. κατὰ R. 18. τὸν alterum om. P.

Anni a m. c. fuerant praedicta: et regnavit post illum Sedecias, qui et Matthanias dictus, ann. XI. Colliguntur anni IV. MDCCCCV. et menses VI.

I.

XLII. Olympias.

4895. 6. II.

Hoc anno Ancus Marcius Romae naturali morte extinguitur: cui successit Lucius Tarquinius, qui et Priscus dictus, ac Romae pariter regnavit ann. XXXVIII.

III.

In Judaea prophetabant Hieremias et Baruch.

IV.

Hoc anno Matthanias, qui et Sedecias, misit ad Hieremiam Pachor, filium Melchiae, et Sophoniam, filium Madassaei Sacerdotis, ut de Nabuchodonosor, qui se, Judaeamque aggressus erat, illum rogarent, an Deus facturus esset misericordiam cum eis. Quibus ex persona Dei respondit Hieremias, in haecce verba: *Dominus urbem oppugnabit, et incolas ejus in manu extenta, et brachio excelso, cum furore et indignatione, et impetu magno. Post haec Matthaniam, sive Sedeciam, Regem Juda, ejusque*

καὶ τοῦ λιμοῦ παραδώσει ἐν χειρὶ Ναβουχοδονόσορ βασιλέως
Βαβυλῶνος, καὶ κατακόψουσιν αὐτοὺς ἐν στόματι μαχαίρας, καὶ R 306
οὐ φείσομαι ἐπ' αὐτοῖς καὶ οὐκ οἰκτερῶ αὐτούς. καὶ ἀπέστειλεν B
Ματθανίας ὁ καὶ Σεδεκίας τοῖς ἐν Βαβυλῶνι ἃ ἔμαθεν ἐκ προ-
φητείας Ἱερεμίου περὶ τῶν ο' ἐτῶν τῆς αἰχμαλωσίας. Ἀνανίας
δὲ ὁ ψευδοπροφήτης ἐνιστάμενος ταῖς Ἱερεμίου προφητείαις τῷ
αὐτῷ τετάρτῳ ἔτει τελευτᾷ.

Τούτῳ τῷ τετάρτῳ ἔτει Ματθανίου τοῦ καὶ Σεδεκίου καὶ πέμπτῳ ἔτει τῆς αἰχμαλωσίας Ἐλιακεὶμ τοῦ καὶ Ἰωακεὶμ εἰκοστὸν ἔνατον ἔτος τυγχάνει μεθ' ὃ τὸ πάσχα γέγονεν νομίμως κατὰ τὸ ὀκτωκαιδέκατον ἔτος τοῦ Ἰωσίου.

Τούτῳ τῷ τετάρτῳ ἔτει Ἐζεκιὴλ ὁ τοῦ Βουζὶ τοῦ ἱερέως υἱὸς
τετάρτῳ μηνὶ πέμπτῃ τοῦ μηνὸς ἤρξατο προφητεύειν ἐν Βαβυ-
λῶνι ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, μεθ' οὗ ἦσαν προφητεύον- C
τες Ναούμ, Μαλαχίας καὶ Δανιήλ. Μαλαχίας προφητεύων
εἶπεν, Οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ, V 105
καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, διότι ἀπὸ τῶν
ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δοξασθήσεται.

Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ἐγνωρίζοντο ἐν Βαβυλῶνι. ἐν δὲ τῇ Ἰουδαίᾳ προεφήτευον Ἱερεμίας καὶ Βαροὺχ υἱὸς Νηρίου.

Τούτῳ τῷ τετάρτῳ ἔτει μηνὶ πέμπτῳ Ἐζεκιὴλ προφητεύει περὶ ὧν ἐποίει ὁ οἶκος Ἰσραὴλ ἀνομιῶν. καὶ δεκάτῃ πάλιν τοῦ

3. οἰκτειρῶ V. 10. ἔννατον PV. 17. θυσίας P. 20. δὲ om. P.

filios, et populum relictum in civitate a morte, et gladio, et fame tradet in manu Nabuchodonosor Regis Babylonis. Et occident eos in ore gladii, et non parcam eis, et non miserebor eis. Tum misit Matthanias, qui et Sedecias, his qui Babylone erant, quae didicerat ex Prophetia Hieremiae de LXX. annis captivitatis. Ananias vero Pseudopropheta, qui Hieremiae prophetiis contradixerat, eodem anno IV. moritur.

Hoc quidem anno IV. Matthaniae, seu Sedeciae, et anno V. captivitatis Eliacim seu Joacim, nonus et vicesimus annus extitit, quo Pascha secundum legem anno Josiae XVIII. actum est.

Hoc anno IV. Ezechiel, Buzi Sacerdotis filius, mense IV. mensis die V. coepit prophetare in Babylone, ad fluvium Chobar: cum quo prophetantes erant Nahum, Malachias et Daniel. Malachias autem prophetans, dixit: *Non est mihi voluntas in vobis, ait Dominus omnipotens, et sacrificia de manibus vestris non accipiam, quoniam ab ortu solis usque ad occasum laudabitur nomen meum.*

Ananias, et Azarias, et Misael clari habebantur Babylone. In Judaea prophetabant Hieremias, et Baruch filius Neriu.

Hoc quarto anno, mense quinto, Ezechiel prophetat de impietatibus quas faciebat domus Israel: et rursum X. ejusdem V. mensis, idem ipse,

D αὐτοῦ πέμπτου μηνὸς ὁ αὐτὸς ἐπὶ πλεῖον ἀνομούντων αὐτῶν καὶ τοῦ Θαμούζ, ὅπερ ἑρμηνεύεται Ἄδωνις, θρηνούντων, προφητεύει, ἐλέγχων καὶ ὀνειδίζων τὸν Ἰσραὴλ τὰς ἀνομίας αὐτῶν.

Προεφήτευεν Βαροὺχ ἐν Αἰγύπτῳ καὶ Ἐζεκιὴλ καὶ Ἀμβακοὺμ καὶ Ναούμ, Μαλαχίας ὁ νεώτερος καὶ Ἀγγαῖος καὶ Ζαχαρίας.

ε′.

Τούτῳ τῷ ἔτει Ἐζεκιὴλ ἤρξατο τῆς προφητείας ἐν Βαβυλῶνι.

μγ′ Ὀλυμπιάς.

ς′.

P 131 Τούτῳ τῷ ἔτει ὁ βασιλεὺς Ματθανίας ὁ καὶ Σεδεκίας καὶ οἱ ἔνδοξοι αὐτοῦ καὶ οἱ ἱερεῖς ἐμίαναν τὸν οἶκον κυρίου τὸν ἐν Ἱερουσαλὴμ ἐν τοῖς εἰδώλοις τῶν ἐθνῶν.

ζ′.

Ἑβραίων ἀρχιερεὺς Σαραίας ὁ πατὴρ Ἰωσεδὲκ ἐγνωρίζετο.

η′, θ′.

Τούτῳ τῷ ἐνάτῳ ἔτει Σεδεκίου τοῦ καὶ Ἰεχωνίου βασιλέως
R 308 Ἰούδα, ἐν τῷ μηνὶ τῷ δεκάτῳ, Ναβουχοδονόσορ μετὰ δυνάμεως πολλῆς ὅσης αὐτοῦ εἰς Ἱερουσαλὴμ παραγενόμενος ἐν τῷ ὀγδόῳ
B καὶ δεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐπολιόρκησεν αὐτήν, καὶ ἔλαβεν ἐξ αὐτῆς αἰχμαλώτους Ἰουδαίους ͵ωλβ′, καὶ ἀπήγαγεν εἰς

1. μηνὸς om. P. 2. Θαμύζ P. 4. ιδ′ Ναβουχοδον. m. R. *ib.* καὶ alterum om. P. 8. Τούτῳ — Βαβυλῶνι om. P. 11. ιε′ Ναβουχοδον. m. R. *ib.* οἱ om. P. 17. ις′ Ναβουχοδον. ιζ′. ιη′ m. R. *ibid.* ἔτει ἐννάτῳ P.

Anni a m. c. cum ii magis impie agerent, et Thamiz, quod Adonidem sonat, lamentarentur, prophetans arguit, et exprobravit Israeli impietates eorum.

Prophetavit Baruch in Aegypto, et Ambacum, Naum, Malachias junior, et Aggaeus, et Zacharias.

4894. V.

XLIII. Olympias.

VI.

Hoc anno Rex Matthanias, qui et Sedecias, et illius proceres, et Sacerdotes polluerunt domum Domini Hierosolymis, inductis gentium idolis.

VII.

Hebraeorum summus Pontifex Saraeas, pater Josedec agnoscitur.

VIII. IX.

Hoc anno IX. Sedeciae seu Jechoniae Regis Juda, mense X. Nabuchodonosor Rex cum suis quantas cogere potuit copiis veniens Hierusa-

Βαβυλῶνα. ἐν ᾧ καιρῷ καὶ τὴν εἰκόνα τὴν ἑαυτοῦ χρυσῆν ἔστησεν εἰς τὸ ὑπὸ πάντων ἐκεῖσε προσκυνεῖσθαι αὐτήν· καὶ ἦν τὸ ὕψος αὐτῆς πηχῶν ἑξήκοντα, εὖρος αὐτῆς πηχῶν ἕξ. καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεηρὰ ἐν χώρᾳ Βαβυλῶνος. καὶ ἀπέστειλεν συναγαγεῖν τοὺς ὑπάτους καὶ στρατηγοὺς καὶ τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ' ἐξουσιῶν καὶ ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος τῆς χρυσῆς, ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύ- C *ραννοι μεγάλοι ἐπ' ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος ἧς ἔστησεν Ναβουχοδονόσορ· καὶ ὁ κῆρυξ ἐβόα ἐν ἰσχύϊ, Ὑμῖν λέγεται, ἔθνη, λαοί, φυλαί, γλῶσσαι, ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ ἐγένετο, ὅτε ἤκουσαν οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμ-* D *βύκης τε καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες οἱ λαοί, φυλαί, γλῶσσαι προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣν* V 106 *ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς, τότε προσῆλθον ἄνδρες*

1. *περὶ τῆς εἰκόνος* m. P. 3. *πέδῳ* P. 13. *φωνῆς τῆς*] *φωνῆς* P. 17. *προσκυνήσει* PV. 19. *σαμβούκης* P.

lem, urbem obsidione cinxit, captivosque ex ea Judaeos DCCCXXXII. Babylonem abduxit. Qua quidem tempestate suam ipsius statuam auream, quo ab omnibus illic adoraretur, erexit. Erat autem illius altitudo cubitorum LX. latitudo vero cubitorum VI. et statuit eam in campo Deera provinciae Babylonis. Itaque Nabuchodonosor Rex misit ad congregandos Satrapas, Magistratus, et Judices, Duces et Tyrannos, Optimates et Praefectos, omnesque Principes regionum, ut convenirent ad Dedicationem statuae quam erexerat Nabuchodonosor Rex. Tunc congregati sunt Satrapae, Magistratus, et Judices, Duces, Tyranni et Optimates, qui erant in potestatibus constituti, et universi principes regionum, ut convenirent ad dedicationem statuae, quam erexerat Nabuchodonosor Rex. Stabant autem in conspectu statuae, quam posuerat Nabuchodonosor Rex, et Praeco clamabat valenter: *Vobis dicitur populis, tribubus et linguis, in hora qua audietis sonitum tubae, et fistulae, et cytharae, et sambucae et psalterii, et symphoniae, et universi generis musicorum, cadentes adorate statuam auream, quam constituit Nabuchodonosor Rex. Si quis autem non prostratus adoraverit, eadem hora mittetur in fornacem ignis ardentis.* Post haec igitur, statim ut audierunt omnes populi sonitum tubae, et fistulae, et citharae, et sambucae, et Psalterii, symphoniae, et omnis generis musicorum, ca-

*Χαλδαῖοι, καὶ διέβαλον τοὺς Ἰουδαίους, καὶ ὑπολαβόντες εἶπον
Ναβουχοδονόσορ τῷ βασιλεῖ, Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. σὺ
βασιλεῦ ἔθηκας δόγμα, Πᾶς ἄνθρωπος, ὃς ἂν ἀκούσῃ τῆς φω-
νῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ
ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, καὶ*
P 132 *μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν
κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς
κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράκ, Μισὰκ*
R 310 *καὶ Ἀβδεναγώ· οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ
δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσιν καὶ τῇ εἰκόνι τῇ
χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦσιν. τότε Ναβουχοδονόσορ ἐν θυ-
μῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ.
καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπεκρίθη Ναβουχοδο-
νόσορ καὶ εἶπεν αὐτοῖς, Εἰ ἀληθῶς, Σεδράκ, Μισὰκ καὶ Ἀβδενα-
γώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα*
B *οὐ προσκυνεῖτε; νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς
φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε
καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικοῦ, πε-
σόντες προσκυνεῖτε τῇ εἰκόνι ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνή-
σητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν
καιομένην. καὶ τίς ἔστιν ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;*

1. *εἶπαν* R. 3. *πάντα ἄνθρωπον* V: quo recepto scribendum *ἐμβληθήσεσθαι*. ib. *ἀκούσει* P. 4. *σαμβούκης* P. 5. *καὶ σ.*] *σ.* P. 6. *προσκυνήσει* RV, *προσκύνει* P. 8. nescio an 12. *Μισὰκ καὶ*] *καὶ Μισὰκ* V, hic *Μισὰκ* R. 15. *τῇ εἰκόνι*] *εἰκόνι* P. 17. *σαμβούκης* PV. 20. *τὴν κάμινον*] *τὸν κάμινον* P. 21. *ὃς*] *θεός, ὃς* P sola.

dentes omnes populi, tribus, et linguae, adoraverunt statuam auream quam constituerat Nabuchodonosor Rex. Statimque et in ipso tempore accedentes viri Chaldaei accusaverunt Judaeos, dixeruntque Nabuchodonosor Regi: *Rex, in aeternum vive. Tu, Rex, posuisti decretum, ut omnis homo qui audierit sonitum tubae, fistulae et citharae, sambucae, et psalterii, et symphoniae, et universi generis musicorum prosternat se et adoret statuam auream: si quis autem non procidens adoraverit, mittatur in fornacem ignis ardentis. Sunt ergo viri Judaei quos constituisti super opera regionis Babyloniae, Sidrach, Misach, et Abdenago. Viri isti contempserunt, Rex, decretum tuum, et Deos tuos non colunt, et imaginem auream quam statuisti non adorant.* Tunc Nabuchodonosor in furore et ira praecepit, ut adducerentur Sidrach, Misach et Abdenago: qui confestim adducti sunt in conspectu Regis. Pronuncians que Nabuchodonosor, dixit eis: *Vere ne, Sidrach, Misach, et Abdenago, Deos meos non colitis, et imaginem, quam constitui non adoratis? Nunc ergo si estis parati, quacumque hora audieritis sonitum tubae, fistulae, citharae, sambucae, psalterii et symphoniae, et omnis generis musicorum, prosternite vos et adorate statuam quam feci. Quod si non adoraveritis:*

Ἀπεκρίθη Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ, Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ θεὸς ἐν οὐρανῷ, ᾧ ἡμεῖς λατρεύομεν, [δυνατὸς] ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται C ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν. τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, καὶ εἶπεν, Ἐκκαύσατε τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς εἶπεν πεδήσαντας τὸν Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσι καὶ ἐνδύμασιν αὐτῶν ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσεν. καὶ ἡ κάμινος ἐξεκαύθη D ἐκ περισσοῦ, καὶ οἱ τρεῖς οὗτοι Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι· καὶ περιεπάτουν ἐν μέσῳ τοῦ πυρὸς ὑμνοῦντες τὸν θεὸν καὶ εὐλογοῦντες τὸν κύριον. καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν, Εὐλογητὸς εἶ, κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνε- R 312

3. *σοι* om. V. 4. *δυνατὸς* addidit m. R. 5. *τῶν* om. P. 9. *καὶ Μισάκ* P. 12. *ἐκβαλεῖν* P. *ibid.* *τὴν* alterum om. P. 16. *τοῦ* om. P. 22. *ὁ θεὸς* om. P.

hac eadem hora mittemini in fornacem ignis ardentis. Et quis est Deus qui eximet vos de manu mea?

Respondentes Sidrach, Misach, et Abdenago, dixerunt Regi Nabuchodonosor: *Non oportet nos de hac re respondere tibi: est enim Deus in coelo quem colimus, potens eripere nos de camino ignis ardentis, et de manibus tuis, ó Rex, liberare. Quod si noluerit, notum sit tibi, Rex, quia Deos tuos non colimus, et statuam auream, quam erexisti, non adoramus.* Tunc Nabuchodonosor repletus est furore, et aspectus faciei illius immutatus est super Sidrach, Misach, et Abdenago. Et praecepit ut succenderetur fornax septuplum quam succendi consueverat, donec tandem succenderetur, et viris fortissimis jussit ut ligantes Sidrach, Misach, et Abdenago, mitterent eos in fornacem ignis ardentis. Et confestim viri illi vincti cum braccis suis, et tiaris, et calceamentis, et vestibus missi sunt in medium fornacis ignis ardentis: nam jussio Regis urgebat. Fornax autem succensa erat nimis. Viri autem tres Sidrach, Misach, et Abdenago ceciderunt in medio camino ignis ardentis colligati, et ambulabant in medio flammae laudantes Deum, et benedicentes Domino. Stans autem Azarias oravit sic; aperiensque os suum in medio ignis,

τὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, Ὅτι δίκαιος
εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ
P 133 καὶ εὐθεῖαι αἱ ὁδοί σου καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί, καὶ
κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ὅσα ἐποίησας ἡμῖν καὶ
ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ,
ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα διὰ τὰς ἁμαρ-
V 107 τίας ἡμῶν, ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπό σου
καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν
οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα
εὖ ἡμῖν γένηται. καὶ πάντα ὅσα ἡμῖν ἐπήγαγες, καὶ πάντα ὅσα
ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας, καὶ παρέδωκας ἡμᾶς
εἰς χεῖρας ἐχθρῶν ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ
B πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖ-
ξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις
σου καὶ τοῖς σεβομένοις σε. μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ
τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ
ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον
ὑπό σου καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,
οἷς ἐλάλησας πρὸς αὐτοὺς λέγων, Πληθῦναι τὸ σπέρμα αὐτῶν
ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος
τῆς θαλάσσης. ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ
ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρ-

2. ἐπὶ] καὶ ἐπὶ P. 4. κατὰ] καὶ κατὰ P. 7. καὶ om. V.
9. οὐδὲ ἐποιήσαμεν om. P.

ait: *Benedictus es, Domine Deus patrum nostrorum, et laudabile et glorificatum nomen tuum in saecula. Quia justus es et in omnibus quae fecisti nobis, et universa opera tua vera, et rectae viae tuae, et omnia judicia tua vera, et judicia veritatis fecisti, juxta omnia, quae fecisti nobis, et super civitatem sanctam tuam patrum nostrorum Hierusalem. Quia in veritate et judicio induxisti super nos haec omnia propter peccata nostra; quia peccavimus et inique fecimus recedentes a te, et deliquimus in omnibus, et mandata tua non audivimus, neque observavimus, neque fecimus, quemadmodum praeceperas nobis, ut bene sit nobis. Et omnia quaecunque induxisti nobis, et universa quaecunque fecisti nobis in vero judicio fecisti. Et tradidisti nos in manus inimicorum iniquorum inimicissimorum apostatarum, et Regi iniquo, et pessimo ultra omnem terram. Et nunc non possumus aperire os: confusio et opprobrium facti sumus servis tuis, et his qui colunt te. Ne tradas nos in perpetuum, propter nomen tuum: et ne dissipes testamentum tuum, neque auferas misericordiam tuam a nobis, propter Abraham dilectum tuum, et Isaac servum tuum, et Israel sanctum tuum. Quibus locutus es ad eos, dicens, quia multiplicares semen eorum sicut stellas coeli, et sicut arenam, quae est in littore maris. Quia Domine imminuti sumus plusquam omnes gentes, sumusque humiles*

τίας ἡμῶν, καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφή- C
της καὶ ἡγούμενος οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσ-
φορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ ὁλοκαρπῶσαι ἐναντίον σου
καὶ εὑρεῖν ἔλεος, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι τα-
πεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύ-
ρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία
ἡμῶν ἐνώπιόν σου σήμερον, καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ
ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί. νῦν οὖν ἀκολουθοῦμεν ἐν
ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου,
μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιεί-
κειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ ἐξελοῦ ἡμᾶς R 314 D
κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, κύριε.
καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά.
καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυνάμεως καὶ δυναστείας, καὶ
ἡ ἰσχὺς αὐτῶν συντριβείη, καὶ γνώτωσαν ὅτι σὺ εἶ κύριος ὁ θεὸς
μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτοὺς ὑπηρέται τοῦ βασι-
λέως καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυπεῖον καὶ
κληματίδα· καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις
τεσσεράκοντα ἐννέα, καὶ διώδευσεν καὶ ἐνεπύρισεν οὓς ηὗρε περὶ P 134
τὴν κάμινον τῶν Χαλδαίων. ὁ δὲ ἄγγελος τοῦ κυρίου συγκατέ-
βη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξεν τὴν

2. οὐδὲ θ.] καὶ θ. P. 17. ἐμβάλλοντες PV. ib. τοῦ Βαβυλῶνος βασιλέως P. 18. στυππίον P, στιππύον V. 21. τὴν om. P.

in universa terra hodie propter peccata nostra. Et non est in tempore isto Princeps et Propheta, et dux, neque holocaustum, neque sacrificium, neque oblatio, neque incensum, non locus primitiarum coram te, ut possimus invenire misericordiam tuam, sed in anima contrita, et spiritu humilitatis suscipiamur, sicut in holocaustis arietum et taurorum, et sicut in millibus agnorum pinguium, sic fiat sacrificium nostrum in conspectu tuo hodie, et impleat post te, quia non est confusio confidentibus in te. Nunc igitur sequimur te in toto corde, et timemus te, et quaerimus faciem tuam. Ne confundas nos, sed facias nobiscum secundum mansuetudinem tuam, et secundum multitudinem misericordiae tuae: et erue nos secundum mirabilia tua, et da gloriam nomini tuo, Domine. Et confundantur omnes qui ostendunt servis tuis mala, et confundantur in omni potentia et potestate; et robur eorum conteratur. Et sciant quia tu es Dominus Deus solus, et gloriosus super orbem terrarum.

Et non cessabant, qui miserant eos ministri Regis succedentes fornacem naphtha, et pice, et stupa, et malleolis. Et effundebatur flamma super fornacem in cubitos quadraginta novem, et erupit, et incendit quos invenit circa fornacem Chaldaeorum. Angelus autem Domini de-

φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησεν τὸ μέσον τῆς κα-
μίνου ὡς πνεῦμα δρόσου διασυρίζων. καὶ οὐχ ἥψατο αὐτῶν
καθόλου τὸ πῦρ· καὶ οὐκ ἐλύπησεν οὐδὲ ἠνώχλησεν αὐτούς. τό-
τε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ εὐλό-
γουν τὸν θεὸν ἐν τῇ καμίνῳ, λέγοντες, Εὐλογητὸς εἶ, κύριε ὁ
θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς
B αἰῶνας, καὶ εὐλογημένον τὸ ὄνομά σου τὸ ἅγιον καὶ ὑπερύμνη-
τον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας. εὐλογημένος εἶ ἐν τῷ
ναῷ τῆς ἁγίας δόξης σου καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος εἰς
τοὺς αἰῶνας. καὶ μετὰ βραχέα. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία καὶ
V 108 Μισαὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶ-
νας, ὅτι ἐξείλατο ἡμᾶς ἐξ ᾅδου καὶ ἔσωσεν ἡμᾶς, ἐκ χειρὸς
θανάτου καὶ ἐῤῥύσατο ἡμᾶς ἐκ καμίνου μέσης καιομένης φλο-
γὸς καὶ ἐκ μέσου πυρὸς ἐῤῥύσατο ἡμᾶς. ἐξομολογεῖσθε τῷ κυ-
ρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. εὐλογεῖτε
πάντες οἱ σεβόμενοι τὸν κύριον, τὸν θεὸν τῶν θεῶν, ὑμνεῖτε καὶ
C ἐξομολογεῖσθε, ὅτι εἰς πάντας τοὺς αἰῶνας τὸ ἔλεος αὐτοῦ.

R 316 Καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμα-
σεν, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ, Οὐχὶ
ἄνδρας τρεῖς ἐβάλομεν ἐν μέσῳ τοῦ πυρὸς πεπεδημένους; καὶ εἶ-
πον τῷ βασιλεῖ, Ἀληθῶς, βασιλεῦ. καὶ εἶπεν ὁ βασιλεύς, Ὧδε
ἐγὼ ὁρῶ ἄνδρας τέσσαρις λελυμένους καὶ περιπατοῦντας ἐν μέ-

12. ἐξείλετο R. 20. τρεῖς ἄνδρας P. 22. τέσσαρας P. *ibid.* λελυμένους] πεπεδημένους V.

scendit cum Azaria et sociis ejus in fornacem, et excussit flammam ignis de fornace, et fecit medium fornacis, quasi ventum roris flantem. Et non tetigit eos omnino ignis, neque contristavit, nec quicquam molestiae intulit. Tunc hi tres quasi ex uno ore laudabant et glorificabant, et benedicebant Deum in camino dicentes: *Benedictus es, Domine Deus patrum nostrorum, et laudabilis et superexaltatus in saecula. Et benedictum nomen tuum sanctum, et superlaudabile et superexaltatum in saecula. Benedictus es in templo sanctae gloriae tuae, et superlaudabilis et supergloriosus in saecula.* Et post pauca

Benedicite Anania, Azaria, et Misael Domino, laudate et superexaltate eum in saecula, quia liberavit nos de inferno, et salvavit nos de manu mortis, et liberavit nos de fornace media ardentis flammae, et ex medio igne liberavit nos.

Confitemini Domino, quoniam bonus, quoniam in saeculum misericordia ejus.

Benedicite omnes colentes Dominum, Deum Deorum: laudate et confitemini, quia in omnia saecula misericordia ejus.

Et Nabuchodonosor audivit laudantes eos, et miratus est, et surrexit in festinatione, et ait Optimatibus suis: *Nonne tres viros injecimus*

σῳ τοῦ πυρός, καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ.

Τότε προσῆλθεν Ναβουχοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ εἶπεν, Σεδράκ, Μισάκ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. καὶ ἐξῆλθον Σεδράκ, Μισάκ, Ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός. D

Καὶ συνάγονται οἱ σατράπαι καὶ οἱ στρατηγοὶ καὶ οἱ τοπάρχαι καὶ οἱ δυνάσται τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἄνδρας ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ τοῦ σώματος αὐτῶν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλογίσθη καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθησαν καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς. καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐνώπιον αὐτῶν τῷ κυρίῳ. καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν, Εὐλογητὸς ὁ θεὸς τοῦ Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλατο τοὺς παῖδας αὐτοῦ, ὅτι ἐπεποίθησαν ἐπ' αὐτῷ καὶ τὸ ῥῆμα τοῦ βασιλέως (P 135) ἠλλοίωσαν καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσι μηδὲ προσκυνήσωσι παντὶ θεῷ, ἀλλ' ἢ τῷ θεῷ αὐτῶν. ἐγὼ ἐκτίθεμαι δόγμα, Πᾶς λαός, φυλή, γλῶσσα, ἣ ἐὰν εἴπῃ βλασφημίαν κατὰ τοῦ θεοῦ Σεδράκ, Μισάκ, Ἀβδεναγώ, εἰς ἀπώλειαν ἔσονται, καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν, καθότι οὐκ ἔστιν θεὸς ἕτερος, ὅστις δυνήσεται ῥύσασθαι οὕτως.

Τότε ὁ βασιλεὺς κατεύθυνε τὸν Σεδράκ, Μισὰκ καὶ Ἀβδε-

4. 6. 19. καὶ Ἀβδεναγώ P. 11. ὁ om. P. 14. ἐξείλετο P. 22. ὁ om. P.

in medium ignis compeditos? Et dixerunt Regi: *Vere, Rex.* Et dixit Rex: *Ecce ego video quatuor viros solutos et ambulantes in medio ignis, et nihil corruptionis est in eis: et species quarti similis filio Dei.*

Tunc accessit Nabuchodonosor ad ostium fornacis ignis ardentis, et ait: *Sidrach, Misach, et Abdenago, servi Dei excelsi, egredimini, et venite foras.* Et egressi sunt Sidrach, Misach, et Abdenago de medio ignis.

Et congregantur Satrapae, Magistratus, et Judices et potentes Regis, et contemplabantur viros illos, quoniam nihil potestatis habuisset ignis in corporibus eorum; et capillus capitis eorum non est adustus, et sarabara eorum non sunt immutata, et odor ignis non transiisset per eos. Et adoravit in conspectu eorum Rex Dominum. Et respondit Nabuchodonosor, et dixit: *Benedictus Deus Sidrach, Misach, et Abdenago, qui misit Angelum suum, et eruit servos suos, quia confiderunt in eo. Et verbum regis immutaverunt, et tradiderunt corpora sua in ignem, ne servirent et ne adorarent omnem Deum, praeter Deum suum. A me positum est decretum: Omnis populus, tribus, lingua, quae dixerit blasphemiam contra Deum Sidrach, Misach, et Abdenago, dispereat, et domus ejus vastetur, neque enim est alius Deus qui possit ita salvare.*

ναγὼ ἐν τῇ χώρᾳ Βαβυλῶνος, καὶ ηὔξησεν αὐτούς, καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν Ἰουδαίων τῶν ὄντων ἐν τῇ βασιλείᾳ αὐτοῦ.

μδʹ Ὀλυμπιάς.

B ιʹ.

Τούτῳ τῷ δεκάτῳ ἔτει Ματθανίου τοῦ καὶ Σεδεκίου ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ κυρίου, ἐν ᾧ καιρῷ ἐφυλάττετο τῇ αὐλῇ τῆς φυλακῆς τοῦ βασιλέως Ἰούδα, ἐν ᾗ κατέκλεισεν
R 318 αὐτὸν Ματθανίας ὁ καὶ Σεδεκίας, λέγων, Διὰ τί σὺ προφητεύεις λέγων, Οὕτως εἶπε κύριος, Ἰδοὺ ἐγὼ δίδωμι τὴν πόλιν ταύτην ἐν χειρὶ βασιλέως Βαβυλῶνος, καὶ λήψεται αὐτήν, καὶ Ματθανίας ὁ καὶ Σεδεκίας οὐ μὴ σωθῇ ἐκ χειρὸς τῶν Χαλδαίων, ὅτι παραδόσει παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λαλήσει τὸ στόμα αὐτοῦ πρὸς τὸ στόμα αὐτοῦ καὶ οἱ ὀφθαλμοὶ
C αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται, καὶ εἰσελεύσεται Ματθανίας ὁ καὶ Σεδεκίας εἰς Βαβυλῶνα, καὶ ἐκεῖ καθιεῖται, ἕως οὗ ἐπισκέψομαι αὐτόν, φησὶ κύριος, ὅτι πολεμεῖ τοὺς Χαλδαίους.

ιαʹ.

Τούτῳ τῷ ἔτει ἐνάτῃ τοῦ τετάρτου μηνὸς ἐῤῥάγη ἡ πόλις Ἱερουσαλήμ, καὶ εἰσῆλθον πάντες οἱ ἡγεμόνες Ναβουχοδονόσορ,

4. ιθʹ Ναβουχοδονόσορος m. R. 6. δεκάτῳ ἔτει] ἔτει ιʹ P. 14. οἱ om. P. 18. ιαʹ om. RV. 19. κʹ Ναβουχοδονόσορ, quod apponit m. P, ex V affertur diserte, ut mihi non liqueat scholia illa V constanter habeat an minus. ib. ἐννάτῃ PV.

Anni a m. c. Tunc Rex promovit Sidrach, Misach, et Abdenago in provincia Babylonis. Et evexit eos, et toti Judaeorum genti, quae in regno ejus erat, praefecit.

XLIV. Olympias.

4904. x.

Decimo Matthaniae, sive Sedeciae, anno, verbum Domini factum est ad Hieremiam, quando custodiebatur in atrio carceris Regis Judae, in quo clauserat eum Matthanias, qui et Sedecias, dicens: *Quare tu vaticinaris dicens: Sic dixit Dominus, Ecce ego do civitatem istam in manu Regis Babylonis, et capiet eam, et Matthanias, qui et Sedecias, non salvabitur de manu Chaldaeorum, quia traditione tradetur in manus Regis Babylonis; et loquetur os ejus ad os ejus, et oculi ejus oculos ejus videbunt. Et ingredietur Matthanias, qui et Sedecias, in Babylonem, et ibi sedebit, donec visitem eum, dicit Dominus, quia pugnat contra Chaldaeos.*

4905. xi.

Hoc anno, die nono quarti mensis, vastata est Hierusalem, et in-

καὶ ἔφυγεν Ματθανίας ὁ καὶ Σεδεκίας καὶ οἱ μετ' αὐτοῦ νυκτὸς V 109
εἰς κῆπον αὐτοῦ, καὶ ἠθέλησαν φυγεῖν, καὶ κατεδίωκον οἱ Χαλ-
δαῖοι ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτόν· καὶ πᾶσα ἡ
δύναμις αὐτοῦ διεσπάρη, καὶ ἔσφαξαν τοὺς υἱοὺς αὐτοῦ ὁρῶντος
αὐτοῦ καὶ αὐτὸν ἐξετύφλωσεν καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυ-
λῶνα.

Καὶ ἐν τῷ μηνὶ τῷ ε', θ' τοῦ μηνός, οὗτος ιθ' ἐνιαυτὸς D
Ναβουχοδονόσορ, ἦλθεν Ναβουζάρδαν ὁ ἀρχιμάγειρος αὐτοῦ εἰς
Ἱερουσαλήμ, καὶ ἐνέπρησε τὸν ναὸν κυρίου διαρκέσαντα ἔτεσιν
υκε', καὶ τὸν οἶκον τοῦ βασιλέως Σεδεκίου τοῦ καὶ Ἰεχωνίου καὶ
αὐτὸν ἐνέπρησεν, καὶ πάσας τὰς οἰκίας τῆς πόλεως καὶ πᾶν τὸ
τεῖχος Ἱερουσαλὴμ κύκλῳ καθεῖλεν πᾶσα ἡ δύναμις Χαλδαίων ἡ
μετὰ Ναβουζάρδαν τοῦ ἀρχιμαγείρου, καὶ τοὺς καταλειφθέντας
ἐν τῇ πόλει καὶ τοὺς πεπτωκότας ἀπῴκισεν πρὸς βασιλέα Βαβυ-
λῶνος, τοὺς δὲ πένητας τῆς γῆς κατέλιπεν Ναβουζάρδαν εἰς
ἀμπελουργοὺς καὶ εἰς γεωργούς. καὶ τοὺς στύλους τους χαλκοῦς τοὺς
ἐν οἴκῳ κυρίου συνέτριψαν οἱ Χαλδαῖοι, καὶ ἔλαβον πάντα τὸν χαλ- P 136
κὸν αὐτῶν καὶ ἀπήνεγκαν εἰς Βαβυλῶνα. καὶ τοὺς ποδιστῆρας καὶ
τοὺς ἀναληπτῆρας καὶ τὰ ψαλτήρια καὶ τὴν στεφάνην καὶ τὰς φιά-
λας καὶ τὰς κρεάγρας καὶ πάντα σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλει-
τούργουν ἐν αὐτοῖς, καὶ τὰς ὑδρίας καὶ σαπφὼθ καὶ τὰ μασ-
μαιρὼθ καὶ τοὺς ὑποχυτῆρας καὶ τὰς λυχνίας καὶ τὰ ἀμμα- R 320

4. ἔσφαξεν P. 7. ἕως Μαρτίου κα' ἐνίστατο τὸ ιθ' ἔτος Ναβουχοδονόσωρ m. P. 12. τῶν Χαλδαίων P. 14. ἐμπεπτωκότας P. 17. οἱ Χαλδαῖοι om. P. 18. ἀπήνεγκεν P. 19. καὶ τὴν] τὴν V. 21. ἀπφὼθ P. φιάλας m. P. ibid. μαρμαιρὼθ P. θυμιαματήρια m. P. 22. ἀμμαστρακὼθ P. λέβητας m. P.

gressi sunt duces omnes Nabuchodonosor, fugitque Matthanias, qui et Sedecias, et qui cum illo erant noctu in hortum ejus, et voluerunt fugere, et insecuti a tergo Regis ceperunt eum Chaldaei, et totus exercitus ejus dissipatus est, et occidit filios ejus coram eo, et ipsum oculis privavit, et in Babylonem deduxit.

Mense vero quinto, die nono, qui decimus nonus est Nabuchodonosor, venit Nabuzardan Princeps coquorum Hierosolymam, et incendit templum Domini, quod steterat annis ccccxxv. domumque regiam Sedeciae, qui et Joacim, et omnes domos civitatis; et totum murum Hierosolymorum in circuitu exercitus Chaldaeorum, qui erant cum Nabuzardan, dejecit, et relictos in urbe et cadentes transtulit ad Regem Babylonis. Pauperes vero terrae Nabuzardan reliquit ad colendas vineas et agros. Et columnas aereas in templo Domini comminuerunt, et quicquid erat aeris acceperunt, secumque Babylonem deportarunt. Lebetes praeterea, amulas, psalteria, coronam, phialas, et creagras, omnisque generis vasa aerea in quibus sacrificabant, et rei divinae operabantur; hydrias quo-

σρακὼθ καὶ τὰς θυίσκας καὶ τοὺς κυάθους, ἃ ἦν χρυσᾶ καὶ ἃ ἦν ἀργυρᾶ, ἔλαβεν ὁ ἀρχιμάγειρος. καὶ οἱ στῦλοι δύο καὶ ἡ θάλασσα μία καὶ οἱ μόσχοι δώδεκα χαλκοῖ, οἳ ἦσαν ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν βασιλεὺς Σολομῶν εἰς οἶκον κυρίου, οὐκ
B *ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτῶν πάντων τῶν σκευῶν τούτων.*

Καὶ οὗτος Σεδεκίας ὁ καὶ Ἰεχωνίας τὸ πονηρὸν ἐποίησεν ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ.

Τῷ αὐτῷ ια' ἔτει Σεδεκίου τῇ Σώρ, ὅπερ ἐστὶν Τύρος, ἐπιφανείσῃ τῇ Ἱερουσαλὴμ διὰ τὰ συμβάντα αὐτῇ ὑπὸ Ναβουχοδονόσορ καὶ Ναβουζάρδαν τοῦ ἀρχιμαγείρου αὐτοῦ προφητεύει κατ' αὐτῆς Ἐζεκιὴλ δηλῶν ὅσα αὐτῇ κακὰ ἔσται καὶ ὡς εἰς λεωπετρίαν δοθήσεται καὶ ψυγμὸς σαγηνῶν ἔσται.

Ἐπὶ τούτου καὶ οἱ βασιλεῖς Ἰουδαίων ἐπαύσαντο αἰχμαλωτισθέντες ὑπὸ Ναβουχοδονόσορ, καὶ μηκέτι ἰσχύσαντες ἐδούλευ-
C *σαν Βαβυλωνίοις καὶ Μήδοις. παρέδωκε γὰρ κύριος ὁ θεὸς τὴν βασιλείαν τῆς γῆς εἰς χεῖρας Ἀσσυρίων καὶ Χαλδαίων καὶ Μήδων καὶ Περσῶν.*

Μέχρι Ματθανίου τοῦ καὶ Σεδεκίου καταλήγουσιν οἱ ἐκ φυλῆς Ἰούδα βασιλεῖς, διαγενόμενοι ἐπὶ ὅλοις ἔτεσιν υοθ'.

Τὰ ο' ἔτη τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων τὰ προφητευθέντα ὑπὸ Ἱερεμίου τοῦ προφήτου, καθὼς ἡ δευτέρα τῶν Παραλει-

6. *οὕτως* P sola. 8. *ἔτει ια'* P. 9. *Ναβουχοδονόσορος* P. 10. *αὐτοῦ* om. P. 11. *λεοπετρίαν* m. P ex Ezech. XXVI. 4., *γεωμετρίαν* PV. 12. *δοθήσεται* om. P.

Anni a m. c. que et phialas et thymiateria, et urceos, et pelves, et candelabra, et libatoria, et mortariola seu thuribula, et cyathos: quae erant aurea, et quae erant argentea tulit Princeps cocorum. Et columnae duae, et mare unum, et vituli duodecim aenei sub mare, quae fecit Rex Solomon in domum Domini, non erat pondus aeris omnium horum vasorum.

Hic Sedecias, qui et Jechonias, malum fecit coram Domino, juxta omnia quae fecerant patres ejus.

Eodem anno XI. Sedeciae, Sor, seu Tyro, insultante urbi Hierusalem propter ea quae passa fuerat a Nabuchodonosor et Nabuzardan Principe coquorum, adversus illam prophetat Ezechiel, quaeque illi impendeant mala indicat, et ut in limpidissimam petram dabitur, et ut siccatio sagenarum erit.

4906. Illo regnante, desierunt Reges Judaeorum, facti a Nabuchodonosor captivi, viribusque destituti Babyloniis et Medis servierunt. Tradidit enim Dominus Deus regnum terrae in manus Assyriorum et Chaldaeorum, Persarum et Medorum.

Usque ad Matthaniam, seu Sedeciam, deficiunt Reges ex tribu Juda, cum perstitissent annis CCCCLXXIX.

LXX. ann captivitatis Judaeorum, qui praedicti sunt ab Hieremia Propheta, quemadmodum secundus liber paralipomenôn, et Esdrae scri-

πομένων καὶ ἡ τοῦ Ἔσδρα διδάσκει γραφή, τὴν ἀρχὴν ἔχει μετὰ
τὸ ια' ἔτος Ματθανίου τοῦ καὶ Σεδεκίου, καὶ συμπληροῦνται εἰς
τὸ δεύτερον ἔτος Δαρείου τοῦ Ὑστάσπου βασιλέως Περσῶν.

ιβ'. D

Ἰουδαίων αἰχμαλωσίας καὶ ἀφανισμοῦ τοῦ ἐν Ἱεροσολύμοις νεώ.

Πρῶτον ἔτος ἀρχῆς ἀφανισμοῦ τοῦ νεὼ καὶ αἰχμαλωσίας
τοῦ Ἰουδαίων ἔθνους πλὴν ὀλίγων, οἳ καὶ εἰς Αἴγυπτον κατέβη-
σαν πρὸς Οὐαφρῆν βασιλέα Αἰγύπτου μετὰ τὰς εἰς αὐτοὺς γε-
νομένας μερικὰς αἰχμαλωσίας, καθ' ἣν ὁ τῶν Χαλδαίων καὶ Βα- V 110
βυλωνίων βασιλεὺς Ναβουχοδονόσορ ἐπαύσατο πολιορκήσας τὰ
Ἱεροσόλυμα καὶ τὸν Σεδεκίαν ἐκτυφλώσας αἰχμάλωτον ἔλαβεν. R 322
Ναβουζάρδαν δὲ ὁ ἀρχιμάγειρος μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς P 137
τόν τε νεὼ πυρπολεῖ, διαρκέσαντα ἀπὸ πρώτης οἰκοδομῆς Σολο-
μῶνος ἔτεσι υμβ'. συνᾴδει δὲ ἡμῖν ὁ Κλήμης καὶ αὐτὸς ἐν τῷ
πρώτῳ στρώματι, φάσκων ἐπὶ τῆς μδ' Ὀλυμπιάδος τὴν εἰς Βα-
βυλῶνα αἰχμαλωσίαν τοῦ Ἰουδαίων λαοῦ γενέσθαι, βασιλεύοντος
μὲν Αἰγυπτίων Οὐαφροῦ, ἄρχοντος δὲ Ἀθήνησι Φιλίππου· συ-
νάγεσθαί τε τὰ ο' ἔτη τῆς ἐρημίας τοῦ τόπου ἐπὶ τὸ δεύτερον ἔτος
Δαρείου τοῦ Ὑστάσπου. ταῦτα μὲν ὁ δηλωθεὶς ἀνήρ.

4. ιβ' om. RV. *ib.* κα' Ναβουχοδονόσωρ. α' ἔτος αἰχμαλωσίας m. R et m. V. 13. ὁ om. P. 15. καὶ ὁ αὐτὸς P. *ibid.* ἐν τῷ πρώτῳ] p. 395. 18. Οὐαφρίου V. *ib.* Φιλίππου] Conf. Euseb. p. 330. ed. Mai.

ptura docet, initium ducunt post Matthaniae, seu Sedeciae, annum XI. et complentur anno II. Darii, Hystaspis filii, Regis Persarum.

XII.

De Judaeorum captivitate, et excidio templi Hierosolymitani.

Primus annus incoepti excidii templi, et captivitatis gentis Judaeorum, paucis exceptis qui in Aegyptum ad Vafrem Aegypti Regem profecti sunt, postquam pars alia in captivitatem abducta est, quando Chaldaeorum et Babyloniorum Rex Nabuchodonosor obsidionem Hierosolymorum solvit, et Sedecia occoecato, hunc captivum abduxit. Nabuzardan vero Princeps coquorum mensis quinti die X. templum incendit, quod a prima Solomonis aedificatione annis CDXLII. perstiterat. Nobis ipsemet concinit Clemens lib. I. Stromatum, scribens, quadragesima quarta Olympiade abductam fuisse in civitatem Babylonis in captivitatem Judaeorum gentem, regnante apud Aegyptios Vafre, Philippo vero Athenis Archonte: confici porro LXX. annos vastationis loci anno II. Darii Hystaspis filii. Haec supra memoratus vir.

Ἐζεκιὴλ δὲ ὁ προφήτης τῷ Φαραὼ Οὐαφρῇ βασιλεῖ Αἰγύπτου προφητεύει ὁπόσα αὐτῷ συμβήσεται καὶ τῇ Αἰγύπτῳ, B ἀνθ' ὧν ὡς καλαμίνη ῥάβδος τεθλασμένη ἐγενήθη τῷ οἴκῳ Ἰσραήλ.

Ὁ αὐτὸς δέ φησι περὶ τοῦ αὐτοῦ ἀφανισμοῦ, Δωδεκάτῳ ἔτει αἰχμαλωσίας Ἐλιακεὶμ τοῦ καὶ Ἰωακείμ, ὅπερ ἐστὶ πρῶτον ἔτος ἀφανισμοῦ τοῦ ἐν Ἱεροσολύμοις νεώ.

Δεκάτῳ μηνὶ πέμπτῃ τοῦ μηνὸς ἦλθεν ὁ ἀνασωθεὶς ἀπὸ Ἱερουσαλὴμ ἐν χώρᾳ Χαλδαίων, λέγων τῷ προφήτῃ Ἰεζεκιήλ, Ἑάλωκεν ἡ πόλις. χεὶρ δὲ κυρίου ἦν γενομένη ἐπὶ τὸν αὐτὸν προφήτην ἑσπέρας, πρὶν ἢ ἐλθεῖν τὸν ἀνασωθέντα, καὶ ἠνοίχθη τὸ στόμα αὐτοῦ πρωί, ὡς ἦλθεν πρὸς αὐτὸν ὁ ἀνασωθείς, καὶ ἀνοιχθέντος τοῦ στόματος αὐτοῦ οὐ συνεσχέθη ἔτι, καὶ μετὰ τοῦτό C φησιν, Ἐγένετο λόγος κυρίου πρός με λέγων, Υἱὲ ἀνθρώπου, οἱ κατοικοῦντες τὰς ἠρημωμένας πόλεις ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ λέγουσιν, Εἷς ἦν Ἀβραὰμ καὶ κατέσχε γῆν, καὶ ἡμεῖς πλείους ἐσμέν· ἡμῖν δέδοται εἰς κατάσχεσιν. διὰ τοῦτο εἰπὲ αὐτοῖς, Τάδε λέγει Ἀδωναεὶ κύριος, Ἐπειδὴ τοῦ αἵματος ἐσθίετε καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν ἤρατε πρὸς τὰ εἴδωλα ὑμῶν καὶ αἷμα ἐξεχέατε καὶ τὴν γῆν ἐκληρονομήσατε καὶ ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον ἐμιάνατο, ζῶ ἐγώ, λέγει κύριος, εἰ μὴ οἱ ἐν ταῖς ἠρημωμέναις μαχαίρᾳ πεσοῦνται,

1. Ἰεζεκιὴλ R. *ib.* δὲ om. P. 3. καλάμιν ἡ V, καλάμη ἡ P. 5. δέ om. P. 13. οὐ om. V. 15. ἐρημωμένας P. 16. εἷς ἦν] εἰς ἦν V. *ib.* Ἀβραὰμ κατέσχε γῆν V, καὶ κατέσχει γῆν Ἀβραὰμ P. Conf. Ezech. XXXIII. 24. 17. Ἀδωνάϊ P. 19. ἐξεχέετε V. 21. ἐρημωμέναις PV. *ib.* μαχαίραις P.

Ezechiel Propheta Pharaoni Vafre Aegypti Regi praedicit quaecumque ipsi eventura sunt, et Aegypto, pro quibus quasi arundo virga confracta factus est domui Israel.

Idem praeterea scribit de hac eversione templi: Anno XII. captivitatis Eliacim, qui et Joacim dictus est, qui primus est eversionis annus templi Hierosolymitani.

Mense decimo, die quinto mensis, accessit quidam qui ex urbe Hierosolymitana evaserat, et in Chaldaeorum Regionem venerat, dicens Ezechieli Prophetae: *Capta est civitas.* Manus autem Domini facta fuerat ad ipsum Prophetam vespere antequam veniret qui evaserat, ejusque ore aperto, non se amplius continuit, et post haec dixit: *Factum est verbum Domini ad me, dicens: Fili hominis, qui habitant in ruinosis super humum Israel, aiunt, unus erat Abraham, et haereditate possedit terram, nos autem multi sumus, nobis data est terra in possessionem: idcirco dices ad eos, Haec dicit Dominus Deus, Quia in sanguine comeditis, et oculos vestros levatis ad immunditias vestras, et sanguinem funditis, et terram possidetis, et unusquisque uxorem proximi sui polluit, Vivo ego, dicit Dominus, quia qui in ruinosis, habitabant, gladio cadent,*

καὶ οἱ ἐν τῷ πεδίῳ βρωθήσονται ἀπὸ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ
ἐρημωθήσεται ὄρη τοῦ Ἰσραὴλ διὰ τὸ μὴ εἶναι διαπορευόμενον, D
καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.

Δανιὴλ ἐν Βαβυλῶνι προεφήτευεν. ἐκεῖσε δὲ καὶ Ἀνανίας καὶ
Ἀζαρίας καὶ Μισαὴλ ἐγνωρίζοντο.

κβ'.

με' Ὀλυμπιάς. R 324

κγ'.

Τούτῳ τῷ κγ' ἔτει Ναβουχοδονόσορ καὶ τρίτῳ τῆς αἰχμαλω-
σίας ἀπῴκισε Ναβουζάρδαν πάλιν ἀπὸ Ἱερουσαλὴμ Ἰουδαίους
ψμε'. πᾶσαι δὲ ψυχαὶ Ἰουδαίων ἀπῳκίσθησαν ἀπὸ Ἱερουσαλὴμ P 138
εἰς Βαβυλῶνα δ' καὶ χ'.

Μετὰ Ναβουχοδονόσορ διεδέξατο τὴν Χαλδαίων ἀρχὴν ὁ
υἱὸς αὐτοῦ Εὐειλὰδ Μαροδὰχ ἔτη ζ'. ὁμοῦ ͵δϡιε'.

α'.

Τούτῳ τῷ ἔτει ἐξέβαλεν Εὐειλὰδ Μαροδὰχ ὁ υἱὸς Ναβουχο-
δονόσορ Ἰωακεὶμ τὸν καὶ Ἰεχωνίαν ἐκ τῆς οἰκίας τῆς φυλακῆς ἧς
ἐφυλάττετο, καὶ ἐλάλησεν αὐτῷ χρηστά, καὶ ἔδωκεν τὸν θρόνον V 111
αὐτοῦ ἐπάνω τῶν θρόνων τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν Βα-
βυλῶνι, καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν

4. προεφήτευσεν P. *ibid.* δὲ] τε PV. 5. ἐγνωρίζετο P. 9. αἰχμαλωσίας β', γ' m. P. *ib.* κγ' om. P. 11. Ἰουδαίων om. P. 14. μαρωχάδ V. 18. ἔδωκεν] Immo ἔθηκεν.

et qui in campo a bestiis agri devorabuntur, et desolabuntur montes Israel, eo quod nullus sit qui per eos pertranseat, et scient quia ego sum Dominus. Anni a m. c.

Daniel Babylone prophetavit, ibidemque Ananias, Azarias et Misael clari habebantur.

XXII. 4907

XLV. Olympias

XXIII. 4912

Hoc anno Nabuchodonosor, et tertio a captivitate, transtulit rursum Nabuzardan DCCXLV. Judaeos ex Hierusalem. Universum vero translati sunt ex Hierusalem in civitatem Babylonis animae IV. MDC.

Post Nabuchodonosor, Chaldaeorum principatum excepit filius ejus Euilad-Marodach, qui regnavit annos VII. Colliguntur anni IV. MDCCCCXV.

I.

Hoc anno Evilad-Marodach, filius Nabuchodonosor, eduxit Joacim, qui et Jechonias dictus, e carcere in quo custodiebatur, et locutus est illi benigne, et posuit thronum ejus super thronos Regum qui erant cum eo in Babylone, et mutavit vestes ejus quas habuerat in carcere, et com-

B ἄρτον διὰ παντὸς κατὰ πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησεν, καὶ ἡ ταγὴ αὐτοῦ ταγὴ διὰ παντὸς ἐδίδοτο αὐτῷ παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέρας εἰς ἡμέραν ἕως ἡμέρας ἧς ἀπέθανεν.

β′, γ′.

μϛ′ Ὀλυμπιάς.

δ′, ε′, ϛ′, ζ′.

μζ′ Ὀλυμπιάς.

Μετὰ Εὐειλὰδ Μαροδὰχ βασιλεύει Χαλδαίων ὁ ἀδελφὸς αὐτοῦ Βαλτασὰρ ἔτη δ′. ὁμοῦ ͵δϡιθ′.

C α′, β′, γ′.

κ′ ἔτος προφητείας Ἰεζεκιὴλ καὶ λ′ προφητείας Δανιὴλ ἐν Βαβυλῶνι.

δ′.

Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ ἀνδράσι ͵α. κατέναντι τῶν χιλίων πίνων Βαλτάσαρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου ἐξενεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ πινέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐ-

7. δ′ — ζ′ ante μϛ′ Ὀλυμπιὰς ponunt RV, transposuit P, sequuta m. R, qui Ὀλυμπιὰς μϛ′ ε′, ϛ′, ζ′, η′, ϑ′: quas litteras ponit etiam m. P. 8. αἰχμαλωσίας ι′, ια′, ιβ′, ιγ′, ιδ′ m. P. 11. κ′ ἔτος om. P. 14. 19. 259. 3. μεγαστάσιν — μεγαστάνες R.

edebat panem semper in conspectu ejus cunctis diebus vitae suae. Annonam quoque constituit ei sine intermissione, quae ei dabatur a Rege Babylonis.

II. III.

XLVI. Olympias.

IV. V. VI. VII.

XLVII. Olympias.

Post Evilad-Marodach, super Chaldaeos regnavit frater ejus Baltasar annos IV. Colliguntur anni IV. MDCCCCXIX.

I. II. III.

Prophetiae Ezechielis, et XXX. annus Prophetiae Danielis Babylone.

IV.

Baltasar fecit grande convivium optimatibus suis mille, et coram mille bibens Baltasar, praecepit jam temulentus, ut afferrentur vasa aurea et argentea quae asportaverat pater ejus de templo quod fuit in Hierusalem, ut biberent in eis Rex et optimates ejus, uxoresque ejus et concubinae. Tunc allata sunt vasa quae asportaverat de templo, quod

τοῦ. καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκεν D ἐκ τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν Ἱερουσαλήμ. καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ ἔπινον οἶνον, καὶ ᾔνεσαν τοὺς θεοὺς R 326 τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους, καὶ τὸν θεὸν τοῦ αἰῶνος οὐκ εὐλόγησαν τὸν ἔχοντα τὴν ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τοῦ κονιάματος τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως. καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης. τότε τοῦ βασιλέως ἡ μορφὴ ἠλλοιώθη, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν, καὶ οἱ δεσμοὶ τῆς ὀσφύος αὐτοῦ διελύοντο P 139 καὶ τὰ γόνατα αὐτοῦ συνεκρούοντο.

Καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ τοῦ εἰσαγαγεῖν μάγους, Χαλδαίους, Γαζαρηνούς· καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε τοῖς σοφοῖς Βαβυλῶνος, Ὃς ἂν ἀναγνῷ τὴν γραφὴν ταύτην καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει. καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι οὐδὲ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι. καὶ ὁ βασιλεὺς Βαλτάσαρ ἐταράχθη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐπ' αὐτῷ, καὶ οἱ μεγιστᾶνες αὐτοῦ B συνεταράσσοντο. καὶ ἡ βασίλισσα εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ

2. τοῦ θεοῦ] θεοῦ P. 8. χειρὸς om. P.

fuerat in Hierusalem, et biberunt in eis Rex et optimates ejus, uxores et concubinae ejus. Bibebant vinum, et laudabant Deos suos aureos et argenteos, aereos, ferreos, ligneosque et lapideos, et non laudabant Deum saeculi qui habet potestatem spiritus eorum. In eadem hora apparuerunt digiti, quasi manus hominis scribentis contra candelabrum in superficie parietis aulae regiae. Et Rex aspiciebat articulos manus scribentis. Tunc facies Regis commutata est, et cogitationes ejus conturbabant eum: et compages renum ejus solvebantur, et genua ejus ad se invicem collidebantur.

Exclamavit itaque Rex fortiter, ut introducerent Magos, Chaldaeos et aruspices. Et proloquens Rex, ait sapientibus Babylonis: *Quicumque legerit scripturam hanc, et interpretationem ejus manifestam mihi fecerit, purpura vestietur, et torquem auream habebit in collo, et tertius in regno meo erit.* Tunc ingressi omnes sapientes Regis non potuerunt nec scripturam legere, nec interpretationem ejus indicare Regi. Unde Rex Baltasar satis conturbatus est, et vultus illius immutatus est: sed et optimates ejus turbabantur. Regina autem pro re quae acciderat Regi et optimatibus ejus, domum convivii ingressa est: et proloquens ait: *Rex,*

*πότου, καὶ ἀπεκρίθη ἡ βασίλισσα καὶ εἶπεν, Βασιλεῦ, εἰς τοὺς
αἰῶνας ζῆθι· μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου, καὶ ἡ
μορφή σου μὴ ἀλλοιούσθω. ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου, ἐν
ᾧ πνεῦμα θεοῦ ἅγιον, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρη-
γόρησις καὶ σύνεσις ηὑρέθη ἐν αὐτῷ· καὶ ὁ βασιλεὺς Ναβουχο-
δονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, Χαλδαίων, Γα-*
V 112 *ζαρηνῶν κατέστησεν αὐτόν, ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ καὶ
φρόνησις καὶ σύνεσις, συγκρίνων ἐνύπνια καὶ ἀναγγέλλων κρυπτό-*
C *μενα καὶ λύων συνδέσμους Δανιήλ, καὶ ὁ βασιλεὺς ἐπέθηκεν αὐ-
τῷ ὄνομα Βαλτάσαρ. νῦν οὖν κληθήτω, καὶ τὴν σύγκρισιν
ἀναγγελεῖ σοι. τότε Δανιὴλ εἰσήχθη κατ' ἐνώπιον τοῦ βασιλέως.
καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ, Σὺ εἶ Δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν
τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ
μου; καὶ εἶπεν, Ναί, βασιλεῦ. Ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα
θεοῦ ἐν σοὶ καὶ γρηγόρησις καὶ σύνεσις καὶ σοφία περισσὴ ηὑρέ-*
R 328 *θη ἐν σοί, καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοί, μάγοι, Χαλ-
δαῖοι, Γαζαρηνοί, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι καὶ τὴν
σύγκρισιν αὐτῆς γνωρίσωσί μοι· καὶ οὐκ ἠδυνήθησαν ἀπαγγεῖλαί*
D *μοι. καὶ ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνασαι κρίματα συγκρῖναι.
νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ἀναγνῶναι καὶ τὴν σύγκρισιν
αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυ-
σοῦς ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρ-*

1. *βασιλεῦ* om P. 6. *ἐπ' ἀοιδῶν* PV. 6. *κρυπτόμενα* m. R, *κρατούμενα* PV. 11. *κατ' ἐνώπιον*] *ἐνώπιον* P. 14. *ναί, βασιλεῦ*] *ὁ βασιλεύς* P. 18. *καὶ* om. P.

in aeternum vive: non te conturbent cogitationes tuae, neque facies tua immutetur. Est vir in regno tuo, qui spiritum Deorum sanctorum habet in se: et in diebus patris tui scientia et sapientia inventae sunt in eo. Nam et Rex Nabuchodonosor pater tuus Principem Magorum, incantatorum, Chaldaeorum, et Aruspicum constituit eum, pater, inquam, tuus, o Rex, quia spiritus amplior et prudentia, intelligentiaque et interpretatio somniorum, et ostensio secretorum, ac solutio ligatorum inventae sunt in eo, hoc est in Daniele, cui Rex nomen posuit Balthasar. Nunc itaque Daniel vocetur, et interpretationem narrabit. Igitur introductus est Daniel coram Rege: ad quem praefatus Rex ait: *Tu es Daniel de filiis captivitatis Juda, quem adduxerat pater meus Rex de Judaea? audivi de te quoniam spiritum Deorum habeas, et scientia intelligentiaque ac sapientia ampliores inventae sunt in te. Et nunc introgressi sunt in conspectu meo sapientes magi, ut scripturam hanc legerent, et interpretationem ejus indicarent mihi, et nequiverunt sensum hujus sermonis edicere. Porro ego audivi de te quod possis obscura interpretari, et ligata dissolvere: si ergo vales scripturam legere, et interpretationem ejus indicare mihi, purpura vestieris, et torquem auream circa collum tuum habebis, et tertius in regno meo Princeps eris.* Ad quae respondens Daniel, ait coram Rege:

ξεις. τότε ἀπεκρίθη Δανιὴλ καὶ εἶπεν ἐνώπιον τοῦ βασιλέως, Τὰ δόματά σου σοὶ ἔστω καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός· ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοι. βασιλεῦ, ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλωσύνην καὶ τὴν δόξαν ἔδωκεν Ναβουχοδονόσορ τῷ πατρί σου. καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ P 140 πάντες οἱ λαοί, φυλαί, γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ. οὓς ἠβούλετο αὐτὸς ἀνῄρει καὶ οὓς ἠβούλετο αὐτὸς ἔτυπτεν καὶ οὓς ἠβούλετο αὐτὸς ὕψου καὶ οὓς ἠβούλετο αὐτὸς ἐταπείνου. καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύεσθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας, καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη καὶ μετὰ ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτόν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη ἕως οὗ ἔγνω ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν αἰώνων καὶ ᾧ ἐὰν δόξῃ δώ- B σει αὐτήν. καὶ σὺ οὖν ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ οὐκ ἐποίησας τὴν καρδίαν σου κατ' ἐνώπιον τοῦ θεοῦ, οὐ πάντα ταῦτα ἔγνως, καὶ ἐπὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ ὑψώθης καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου καὶ αἱ παλλακαί σου καὶ αἱ παράκοιτοί σου οἶνον ἔπιναν ἐν αὐτοῖς, καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς

8. αὐτὸς ἀνῄρει] ἀνῄρει P. 17. αἰώνων ἀνθρώπων P, ἀνθρώπων Daniel V. 20. 20. κύριον om. P. *ib.* ὑψωθεὶς P. 21. αἱ om. P. 22. ἔπιναν] Conferendum ἐγκατέλειπας p. 263. 12.

Munera tua sint tibi, et dona domus tuae alteri da: scripturam autem legam tibi, Rex, et interpretationem ejus ostendam tibi. O Rex, Deus altissimus Regnum et magnificentiam, gloriam et honorem dedit Nabuchodonosor patri tuo, et propter magnificentiam quam dederat ei, universi populi, tribus, et linguae tremebant, et metuebant eum. Quos volebat interficiebat, et quos volebat percutiebat, et quos volebat exaltabat, et quos volebat humiliabat. Quando autem elevatum est cor ejus, et spiritus illius obfirmatus est ad superbiam, depositus est de solio regni sui, et gloria ejus ablata est, et a filiis hominum ejectus est, sed et cor ejus cum bestiis positum est, et cum onagris erat habitatio ejus, foenum quoque ut bos comedebat, et rore coeli corpus ejus infectum est, donec cognosceret quod potestatem haberet altissimus in regno hominum, et quaecunque voluerit suscitabit super illud. Tu quoque filius ejus Baltasar, non humiliasti cor tuum, cum scires haec omnia: sed adversum dominatorem coeli elevatus es, et vasa domus ejus allata sunt coram te, et tu, et optimates tui, et uxores tuae, et concubinae tuae vinum bibistis in eis. Deos quoque aureos et argenteos et aereos, ferreos, ligneosque et lapideos,

καὶ ξυλίνους καὶ λιθίνους, οἳ οὐ βλέπουσι καὶ οὐκ ἀκούουσι καὶ οὐ γινώσκουσιν, ᾔνεσας. καὶ τὸν θεὸν τοῦ οὐρανοῦ, οὗ ἡ πνοή σου ἐν τῇ χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας.
C διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρός, καὶ τὴν γραφὴν ταύτην ἐνέταξεν. καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη,
R 330 Μανῆ, Θεκέλ, Φαρές. τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος· Μανῆ ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου καὶ ἐπλήρωσεν αὐτήν, Θεκὲλ κατεστάθη ἐν ζυγῷ, καὶ ηὑρέθη ὑστεροῦσα, Φαρὲς διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. καὶ εἶπεν Βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἐκήρυξεν περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ αὐτοῦ. ἐν
V 113 ταύτῃ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ ὁ Χαλδαῖος καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβε τὴν βασιλείαν.

D μη' Ὀλυμπιάς.

Μετὰ Βαλτάσαρ βασιλεὺς Χαλδαίων Δαρεῖος ὁ Μῆδος ἔτη γ'. ὁμοῦ ,δϡκβ'.

α'.

Οὗτος Δαρεῖος κατέστησεν ἐπὶ τῆς βασιλείας αὐτοῦ σατράπας ρκ', καὶ τούτων ἐπάνω τακτικοὺς γ', ὧν εἷς ἐτύγχανε Δανιὴλ ὁ προφήτης. συσκευῇ δὲ καὶ διαβολῇ τῶν αὐτῶν σατραπῶν καὶ

1. *καὶ οὐκ ἀκούουσι* om. P. 12. *περὶ*] *τὰ περὶ* P. 19. *αἰχμαλωσίας ιε'* m. P.

Anni a m. c. *qui non vident, neque audiunt, neque sentiunt, laudasti: porro Deum qui habet flatum tuum in manu sua, et omnes vias tuas, non glorificasti, idcirco ab eo missus est articulus manus qui scripsit hoc quod exaratum est. Haec autem scriptura, quae digesta est, Mane, Tecel, Phares, et haec est interpretatio sermonis: Mane: numeravit Deus regnum tuum, et complevit illud. Thecel, appensus es in statera, et inventus es minus habens. Phares, divisum est regnum tuum, et datum est Medis et Persis.* Tunc jubente Rege indutus est Daniel purpura, et circumdata est torques aurea collo ejus, et praedicatum est de eo quod haberet potestatem tertius in regno suo. Eadem nocte interfectus est Baltasar Rex Chaldaeus, et Darius Medus successit in regnum.

XLVIII. Olympias.

Post Baltasar, regnavit super Chaldaeos Darius Medus annos III. Colliguntur anni IV. MDCCCCXXII.

4920. I.

Hic Darius constituit in Regno suo Satrapas CXX. quibus praefecit III. Principes, quorum unus erat Daniel Propheta. Insidiis autem et calumniis Satraparum et Principum fidem adhibens Darius, Danielem con-

τακτικῶν πεισθεὶς ὁ Δαρεῖος ἔβαλε τὸν Δανιὴλ εἰς λάκκον λεόν-
των, καὶ οὐκ ἐφθάρη, διὰ τὴν εἰς τὸν θεὸν μετὰ πεποιθήσεως
προσκύνησιν αὐτοῦ. καὶ εἶπεν ἄγγελος κυρίου τῷ Ἀμβακούμ, P 141
Ἀπένεγκαι τὸ ἄριστον ὃ ἔχεις εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν
λάκκον τῶν λεόντων. καὶ εἶπεν Ἀμβακούμ, Κύριε, Βαβυλῶνα
οὐχ ἑώρακα, καὶ τὸν λάκκον οὐ γινώσκω [ποῦ ἔστιν]. καὶ ἐπε-
λάβετο ὁ ἄγγελος κυρίου τῆς κορυφῆς αὐτοῦ, καὶ βαστάσας τῆς
κόμης τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ
λάκκου ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ. καὶ ἐβόησεν Ἀμβα-
κοὺμ λέγων, Δανιὴλ Δανιήλ, λάβε τὸ ἄριστον ὃ ἀπέστειλέν σοι
ὁ θεός. εἶπε δὲ Δανιήλ, Ἐμνήσθης γάρ μου, ὁ θεός, καὶ οὐκ
ἐγκατέλειπας τοὺς ἀγαπῶντάς σε. καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν.
ὁ δὲ ἄγγελος τοῦ θεοῦ ἀπεκατέστησε τὸν Ἀμβακοὺμ παραχρῆμα
ἐπὶ τὸν τόπον αὐτοῦ.

Τῷ αὐτῷ πρώτῳ ἔτει ἐνύπνιον εἶδεν Δανιήλ, ὃς ἐπεκλήθη B
Βαλτάσαρ, τὸ τῶν τεσσάρων θηρίων, λεαίνης, ἄρκου, παρδά-
λεως, καὶ ἑτέρου ζώου τούτων φοβερωτέρου καὶ ἰσχυροτέρου πε-
ρισσῶς, ἅτινά εἰσι τέσσαρες βασιλεῖαι ἐξαιρούμεναι ἀπὸ τῆς γῆς.

Ἐν τῷ αὐτῷ δὲ ἔτει καὶ τὸν παλαιὸν τῶν ἡμερῶν εἶδεν, ἕως
οὗ θρόνοι ἐτέθησαν, καὶ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς R 332
ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν,
καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες λαοί,

6. οὐκ V. *ibid.* ποῦ ἔστιν om. V. 10. λέγων om. P. 12. ἐγκατέλειπες P. *ib.* ἀγαπῶντας] ἐκζητοῦντας P. 16. ἄρκτου P. 19. ἔτει om. V. 20. ὡς] ὡσεὶ P.

jecit in lacum leonum, neque absumptus est, eo quod Deum cum spe adoravit. Dixitque Angelus Domini Abacuc: *Defer prandium quod habes Babylonem Danieli in lacum leonum.* Et dixit Abacuc: *Domine, Babylonem non vidi, et nescio ubi est lacus.* Tum Angelus vertice ejus arrepto, portavit eum capillis capitis sui, posuitque in Babylonem supra lacum in impetu spiritus sui. Et clamavit Abacuc: *Daniel, Daniel, accipe prandium, quod misit tibi Deus.* Et dixit Daniel: *Recordatus es mei, Deus, et non reliquisti exquirentes te.* Et surgens Daniel, comedit. Angelus autem Dei statim restituit Abacuc in locum suum.

Eodem primo anno, visa sunt in somnis a Daniele, qui dictus est Baltasar, quatuor animalia, leaena, ursus, pardalis, et alterum his omnibus terribilius, longeque fortius, quibus designabantur praecipua regna terrae.

Eodem anno vidit antiquum dierum, donec throni positi sunt, et in nubibus coeli tanquam filius hominis veniens erat, et usque ad antiquum dierum pervenit; et ipsi datus est principatus, et honos, et regnum, et omnes populi, tribus, et linguae servient ei: et potestas ejus potestas in aeternum, quae non transibit, et regnum ejus non corrumpetur.

φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι, καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται οὐδὲ διαφθαρήσεται.

C Τίς δ' ἂν εἴη ὁ κατὰ σάρκα φανεὶς τῷ γένει τῶν ἀνθρώπων; θεὸς λόγος, ὁ πρὸ αἰώνων γεννηθεὶς θεός.

β', γ'.

Τρίτῳ ἔτει Δαρείου ὅρασιν εἶδε Δανιὴλ ἐν Σούσοις τῇ βάρει, ἥτις ἐστὶν ἐν χώρᾳ Αἰλὰμ Βαβυλῶνος, κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βοῤῥᾶν καὶ νότον, ὡς πάντα τὰ θηρία μὴ ἵστασθαι ἐνώπιον αὐτοῦ καὶ μετ' αὐτοῦ. τράγον ὁρῶ ἀπὸ λιβὸς ἐρχόμενον ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ὃς συνέτριψε τὸν κριὸν καὶ τὰ κέρατα αὐτοῦ, ὅπερ ἐστὶν βασιλεία Ῥωμαίων τὴν πρὸ αὐτῆς βασιλείαν καὶ τὸ σπέρμα αὐτῆς συντρίψει.

D Μετὰ Δαρεῖον τὸν Μῆδον ἐβασίλευσεν Δαρεῖος υἱὸς Ἀσσουήρου ἀπὸ τοῦ σπέρματος Μήδων ἔτη ιγ'. ὁμοῦ ἔτη ,δϡλε'.

Τινές φασι τουτονὶ τὸν Δαρεῖον καὶ Ἀστυάγην ἐπικεκλῆσθαι.

α'.

ξ' ἔτος προφητείας Ἱερεμίου ἐν τῇ Ἰουδαίᾳ.

V 114 μθ' Ὀλυμπιάς.

β'.

ξα' ἔτος προφητείας Ἱερεμίου ἐν τῇ Αἰγύπτῳ.

1. δουλεύσωσι P. 3. ὁ om. P. 6. αἰχμαλωσίας ις', ιζ' m. P. 9. καὶ μετ' αὐτοῦ om. P. 11. βασιλείας Ῥ. P. 14. ἔτη alterum om. P. 15. αἰχμαλωσίας ιη' m. P. *ib.* τουτονεὶ V, τοῦτον P. 17. ιθ', κ', κα', κβ', κγ', κδ', κε', κς', κζ', κη', κθ' m. P. 20. ξ' P. *ibid.* τῇ om. P.

Anni a m. c. Quis autem hic qui humano generi secundum carnem apparuit? Deus Verbum, qui ante saecula natus est Deus.

4921. II. III.

Anno III. Darii, visionem vidit Daniel in Susis castro, quod est in regione Aelam Babylonis: arietem cornibus ventilantem contra mare, et Aquilonem, et austrum, et omnes bestiae non poterant resistere ei. *Video hircum venientem ab occidente super faciem totius terrae, qui contrivit arietem, et cornua ejus*, (id est, regni quod Imperium Romanorum praecedet) *ejusque semen conteret.*

Post Darium Medum regnavit Darius, filius Assueri, ex stirpe Medorum, annos XIII. Colliguntur anni IV. MDCCCCXXXV.

Quidam aiunt Darium hunc Astyagem etiam fuisse cognominatum.

I.

Annus LX. Prophetiae Hieremiae in Judaea.

XLIX. Olympias.

II.

γ', δ', ε'. P 142

ν' Ὀλυμπιάς.

ϛ', ζ', η', θ'.

να' Ὀλυμπιάς.

ι', ια', ιβ'.

Ἐργασίας μάταιον αὐτὸ εἶναι. ἔτι δὲ καὶ τὸν δράκοντα ἀνεῖλεν ὃν ἔσεβον Βαβυλώνιοι, δι' ἣν αἰτίαν ἔκδοτον αὐτὸν αἰτησάμενοι ἔβαλλον εἰς λάκκον λεόντων. ἐκ προνοίας δὲ θεοῦ δι' Ἀμβακοὺμ τραφεὶς ἑπτὰ ἡμέρας σῶος ἀνήχθη, καὶ ἀντ' αὐτοῦ οἱ R 334
ὑπεναντίοι αὐτοῦ βληθέντες παρὰ τοῦ αὐτοῦ βασιλέως εἰς τὸν λάκ- B
κον τῶν λεόντων παραχρῆμα ἐβρώθησαν.

ιγ'.

Κῦρος τὸν Ἀστυάγην καθελὼν τὴν Μήδων καθεῖλεν βασιλείαν, γεγονυῖαν ἐν ἔτεσι σνθ', ἥτις συνεκρίθη μετὰ τῆς βασιλείας Βαβυλωνίων ἡ χρυσῆ κεφαλὴ τῆς εἰκόνος ἧς εἶδεν Ναβουχοδονόσορ.

νβ' Ὀλυμπιάς.

Περσῶν ἐβασίλευσεν πρῶτος Κῦρος ὁ Πέρσης ἔτη λ'.
ὁμοῦ ,δωξε'.

6. αὐτὸ] ἴσως αὐτῷ m. R. 7. ἐσέβοντο P. 12. αἰχμαλωσίας λ' m. P. 14. ἥτινι P sola.

LX. annus Prophetiae in Aegypto. Anni a m. c.

III. IV. V.

L. Olympias.

VI. VII. VIII. IX.

LI. Olympias.

X. XI. XII.

Frustraneum esse quicquid contra Dei decretum agitur, id vel etiam docet. Sublato enim (a Daniele) dracone quem adorabant Babylonii, illum cum sibi dedi ii postulassent, in leonum lacum immiserunt. Sed Dei providentia per Abacuc septem dies pastus salvus est extractus, illiusque loco ejus adversarii ab eodem Rege in lacum leonum projecti, statimque absumpti sunt.

XIII. 4935.

Cyrus, Astyage sublato, Medorum regnum delevit, cum perstitisset annos CCLIX. quod quidem comparatum est una cum Babyloniae regno, capiti aureo statuae quam vidit Nabuchodonosor.

LII. Olympias.

Persis primus imperavit Cyrus Persa ann. XXX. Colliguntur anni IV. MDCCCLXV.

C α'.

Κῦρος ἀνῆκε τὴν αἰχμαλωσίαν τοῦ Ἰουδαίων ἔθνους πορεύεσθαι εἰς τὰ Ἱεροσόλυμα· καθ' ὃν ἐπανελθόντες ἀπὸ Βαβυλῶνος ἀμφὶ τὰς πέντε μυριάδας Ἰουδαίων τὸ θυσιαστήριον ἤγειραν καὶ θεμελίους κατεβάλοντο τοῦ ἱεροῦ. τῶν δὲ περιοίκων ἐθνῶν ἐπισχόντων, διέμεινεν τὸ ἔργον ἀτελὲς μέχρι δευτέρου ἔτους Δαρείου τοῦ Ὑστάσπου βασιλέως Περσῶν, μόνου τοῦ θυσιαστηρίου συνεστῶτος, ἐπειδὴ ἡ προφητεία μέμνηται Δαρείου καὶ τῶν τριῶν προφητῶν, Ἀγγαίου καὶ Ζαχαρίου καὶ Μαλαχίου τοῦ καὶ ἀγγέλου προφητευόντων.

Προεφήτευον ἐν Περσίδι Δανιὴλ καὶ Ἰεζεκιήλ· ἐν δὲ τῇ Ἰου-
D δαίᾳ Ἀμβακούμ, Ἀγγαῖος καὶ Ζαχαρίας· καθ' οὓς ἐν Περσίδι Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἱερεὺς ἐγνωρίζετο, καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιήλ, βασιλικοῦ γένους ὤν, οἳ καὶ ἡγήσαντο τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου. τῷ Δανιὴλ ἐν τῷ αὐτῷ πρώτῳ ἔτει Κύρου λόγος ἀπεκαλύφθη ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ πρώτου μηνὸς ὄντι ἐν τῷ Τίγρι ποταμῷ τὰ περὶ τῶν πέντε βασιλέων τῶν ἔτι ἀναστησομένων καὶ τὰ περὶ τῆς παντελοῦς ἐρημώσεως Ἱερουσαλὴμ καὶ τοῦ θυμιάματος καὶ τοῦ χρίσματος τοῦ ἐν αὐτῇ καὶ τὰ περὶ τῆς τῶν ἐθνῶν κλήσεως· ἐν ᾧ ἔτει Δανιὴλ ἐκοιμήθη προφητεύσας ἔτη ν'.

P 143 β', γ', δ'.

2. τοῦ] τῶν PV. 4. ἤγειρον P. 5. κατέβαλον τὸ PV. 8. ἐπεὶ δὲ ἡ P. 11. δὲ om. R. 15 τῷ Δανιὴλ v. 17. ante ὄντι ponit P sola. 22. αἰχμαλωσίας λβ', λγ', λδ', λε', λς', λζ', λη', λθ', μ' m. P.

I.

Cyrus potestatem dedit universis captivis ex gente Judaeorum Hierosolyma revertendi: qua tempestate circiter L. millia Babylone egressi, sanctuarium instaurarunt, et templi fundamenta jecerunt. Sed vicinis gentibus Judaeos incursantibus, imperfectum opus mansit usque ad annum II. Darii, Hystaspis filii, Persarum Regis, solo stante sanctuario: siquidem Prophetia Darii meminit, et trium Prophetarum, Aggaei, Zachariae, et Malachiae, qui et Angelus dictus est, idipsum prophetantium.

Prophetarunt in Perside Daniel et Ezechiel: in Judaea Abacuc, Aggaeus, et Zacharias: quorum tempestate Jesus filius Josedec Sacerdos claruit, et Zorobabel, filius Salathiel, qui ex regio erat genere, quique reversionis ex Babylone duces fuere.

Danieli, hoc ipso primo anno Cyri, sermo revelatus est die XXIV. primi mensis, cum ad Tigrim fluvium esset, de quinque Regibus adhuc secuturis, et de omnimoda destructione Hierusalem, et incensi ac unctionis in ea, et de vocatione gentium: quo quidem anno Daniel obdormivit, cum prophetasset annos L.

II. III. IV.

νγʹ Ὀλυμπιάς.

εʹ, ςʹ, ζʹ.

Σιμωνίδης ἐγνωρίζετο.

ηʹ. V 115

Χίλων ὁ τῶν ἑπτὰ σοφῶν ἔφορος ἐν Λακεδαίμονι αʹ ἐγένετο.

νδʹ Ὀλυμπιάς. R 336

θʹ.

Πυθαγόρας φυσικὸς φιλόσοφος ἐγνωρίζετο.

ιʹ. B

Ξενοφάνης Κολοφῶνος ἐγνωρίζετο.

5. *Χεῖλων* V. *ib.* *Λακεδαίμονι αʹ*] *Λακεδαιμόνια* V, *Λακεδαιμωνίᾳ* P. Vitium repetiit Scaliger verba haec in Eusebium suum conferens p. 162., quamvis Animadv. ad illum p. 72. n. MCCLVII. locum Diogenis de Chilone III. 1. *γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν ἕκτην* (*πέμπτην* restituit Casaubonus, confirmantibus libris duobus) *Ὀλυμπιάδα, Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην, καὶ πρῶτον ἔφορον γενέσθαι ἐπὶ Εὐθυδήμου, ὥς φησι Σωσικράτης*, recte sic accepisset ut primus omnium ephorus Chilo factus diceretur, non, ut Menagius, princeps collegii ephororum. Caeterum quum numerus *αʹ* etiam in Hieronymi et Armenia Eusebii interpretatione desit, Chronicon Paschale autem non aliunde haec quam ab Eusebio petiverit, credibile mihi est vitiosum *Λακεδαιμονίᾳ* iam apud Eusebium comparuisse, quemadmodum, ut hoc exemplo utar, unum idemque mendum imposuit Hieronymo p. 76., interpreti Armenio p. 283. ed. Med. et Syncello p. 153. D: quorum duo priores: *Hercules cognomento Desanaus in Phoenice clarus habetur*, et: *Hercules in Phoenicia cognoscebatur Desandas dictus;* mendi autem originem patefacit Syncellus, *Ἡρακλέα τινές φασιν ἐν Φοινίκῃ γνωρίζεσθΑΙ ΔΙσάνδαν ἐπιλεγόμενον*, id est *γνωρίζεσθαι Σάνδαν;* quo de Herculis cognomine testimonia quae exstabant collegit Wesselingius ad Hieroclem p. 710. praeter nuper editum Ioannis Laurentii de magistr. Rom. p. 268., ubi *Σανδῶν* scriptum. 6. *αἰχμαλ. μαʹ, μβʹ, μγʹ, μδʹ, μεʹ* m. R. 7. *θʹ* ante *ιʹ* ante v. 9. ponit P. 10. *Ξενοφῶν* V: „*al. Ξενοφῶν*“ m. R. *ib.* *Κολοφώνος* V, qui eodem accentu scribere solet *Σολομώνος*, *ὁ Κολοφώνιος* P. Conf. praef. nostram ad Ioan. Antioch. p. VII. VIII.

LIII. Olympias.

V. VI. VII.

Simonides agnoscebatur.

VIII.

Chilon unus e VII. sapientibus Ephorus erat Lacedaemone.

LIV. Olympias.

Pythagoras Philosophus Physicus florebat.

IX. X.

Xenophanes Colophonius agnoscebatur.

ια', ιβ'.

νε' Ὀλυμπιάς.

ιγ'.

Κροῖσος ἐπὶ Κῦρον ἐστράτευσεν.

ιδ', ιε'.

Κῦρος τὴν Λυδῶν βασιλείαν καθεῖλεν καὶ Κροῖσον αἰχμαλώτισεν. ὁ δὲ αὐτὸς καὶ ἄλλας βασιλείας περιεῖλεν Ἀσίας, Κα-
C ρίας, Λυκίας, Ἰνδῶν πρὸς βοῤῥᾶν καὶ Σακῶν καὶ Σκυθῶν.

ις'.

Θαλῆς ὁ Ἐξαμύου Μιλήσιος πρῶτος φυσικὸς φιλόσοφος ἀπέθανεν ζήσας ἔτη ϟα'.

νς' Ὀλυμπιάς.

ιζ', ιη', ιθ'.

Συνάγεται ὁ πᾶς χρόνος τῆς αἰχμαλωσίας τῶν ο' ἐτῶν τοῦ Ἰουδαίων ἔθνους, ἀριθμούμενος κατὰ μέν τινας ἀπὸ τρίτου ἔτους τῆς
D βασιλείας Ἐλιακεὶμ τοῦ καὶ Ἰωακεὶμ ἐπὶ τὸ θ' καὶ δέκατον ἔτος Κύρου τοῦ Περσῶν βασιλέως, κατὰ δὲ ἑτέρους ἀπὸ ἀρχῆς τῆς Ἱερεμίου προφητείας, ἣ γέγονε κατὰ τὸ ιγ' ἔτος Ἰωσίου τοῦ τῶν Ἰουδαίων βασιλέως, ἐπὶ τὸ λς' Ἀστυάγους. ἀπὸ δὲ τῆς προφη-

5. ιδ' post ιγ' v. 3. ponit P. 8. Σακῶν Salmasius apud Schurzfleischium Not. Bibl. Vin. p. 86., Σαβακῶν PV. 10. Θάλης PV. ib. ἐξ Ἀμύου R. 14. τοῦ] τῶν PV.

Anni a m. c. 4944.

XI. XII.

LV. Olympias.

XIII. XIV.

Croesus in Cyrum expeditionem movit.

XV.

Cyrus Lydorum regnum delevit, et Croesum captivum fecit. Idem et alia regna invasit, Asiae, Cariae, Lyciae, Indorum, versus Aquilonem, Sabacorum, et Scytharum.

XVI.

Thales, Examyi filius, Milesius, primus Philosophus Physicus, obiit, cum vixisset ann. XCI.

LVI. Olympias.

XVII. XVIII. XIX.

Universum tempus captivitatis Judaeorum gentis LXX. annos complectitur, computatum, secundum quosdam, a tertio anno regni Eliacim, qui et Joacim dictus est, ad annum usque XIX. Cyri Regis Persarum: secundum vero alios, ab initio prophetiae Hieremiae, quae coepit versus annum XIII. Josiae Regis Judaeorum, usque ad XXXVI. Astyagis. A pro-

τείας Ἱερεμίου ἐπὶ τὸ α' ἔτος Κύρου ἔτη γίνεται ο'. ὅπερ δοκεῖ πιθανὸν εἶναι· τὸ δὲ ἀληθὲς τῆς ἐρημίας τοῦ ἱεροῦ ἡ ἑβδομηκονταετία ἐπὶ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Ὑστάσπου περαιοῦται ἀπὸ θ' καὶ ι' ἔτους Ναβουχοδονόσορ ἀρχομένη.

κ'.

Θέογνις ποιητὴς ἐγνωρίζετο.

νζ' Ὀλυμπιάς. P 144

κα', κβ'.

Φερεκύδης ἱστοριοποιὸς ἐγνωρίζετο καὶ Πυθαγόρας.

κγ', κδ'.

νη' Ὀλυμπιάς.

κε', κϛ', κζ', κη'.

κθ' Ὀλυμπιάς.

κθ', λ'.

Τόμυρις γυνή, Μασσαγετῶν βασίλισσα, Κῦρον ἀνεῖλεν. R 338
μετὰ Κῦρον Περσῶν ἐβασίλευσε δεύτερος Καμβύσης υἱὸς Κύρου ἔτη η'. ὁμοῦ ,δϡογ'.

2. οετία V, ἑπταηκονταετία R. ibid. περαιοῦται] Non videtur mutandum in περατοῦται neque hic nec p. 165. D.: vide quae diximus ad Xenoph. Histor. gr. II. 4. 39. 6. Θεόγνιος V. 10. αἰχμαλωσίας ν', να', νβ', νγ', νδ', νε' m. P. 15. αἰχμαλωσίας νϛ', νζ', νη', νθ', ξ', ξα', ξβ', ξγ', ξδ', ξε' m. P.

phetia autem Hieremiae usque ad annum I. Cyri, conficiuntur anni LXX. quod esse videtur probabile: tametsi verum sit, spatium LXX. annorum eversionis templi in II. annum Darii, filii Hystaspis desinere, initio ducto a XIX. Nabuchodonosor anno.

XX.

Theognis Poëta agnoscebatur.

LVII. Olympias.

XXI. XXII.

Pherecydes historicus et Pythagoras florebant.

XXIII. XXIV.

LVIII. Olympias.

XXV. XXVI. XXVII. XXVIII.

LIX. Olympias.

XXIX. XXX.

Tomyris, femina, Massagetarum Regina, Cyrum interfecit. Post Cyrum, apud Persas secundus regnavit Cambyses, Cyri filius, annos VIII. Colliguntur anni IV. MDCCCCLXXIII.

V 116 α΄.

Καμβύσην φασὶν παρ' Ἑβραίοις δεύτερον Ναβουχοδονόσορ καλεῖσθαι· ἐφ' οὗ τὴν κατὰ Ἰουδὶθ ἱστορίαν λέγουσιν γεγενῆσθαι.

β΄.

Ἡλίου ἔκλειψις γέγονε.

ξ΄ Ὀλυμπιάς.

γ΄, δ΄, ε΄, ϛ΄.

Καμβύσης Αἴγυπτον κατέσχεν.

C Ὁ δὲ αὐτὸς καὶ τὸν Ἀμμενῶφιν, ὃς Μέμνων νομιζόμενος εἶναι καὶ λίθος φθεγγόμενος, τέμνει, ὑφορώμενος γοητείαν τινὰ εἶναι ἐν αὐτῷ, ὡς ἱστορεῖ Πολύαινος Ἀθηναῖος.

ξα΄ Ὀλυμπιάς.

ζ΄, η΄.

Περσῶν τρίτοι ἐβασίλευσαν δύο ἀδελφοί, Μέρδιος καὶ Πατζάτης, μῆνας ζ΄.

Περσῶν τέταρτος ἐβασίλευσεν Δαρεῖος Ὑστάσπου ἔτη λϛ΄.

ὁμοῦ ͵εθ΄.

α΄, β΄.

D Ἔτους δευτέρου Δαρείου τοῦ Ὑστάσπου τοῦ Περσῶν καὶ

3. Ἰουδὶθ] Ἰουδαίων V. 7. ξϛ΄ m. P. 10. αἰχμαλωσίας ξζ΄, ξη΄, ξθ΄, ο΄ m. P. ib. Ἀμμενόφιν PV. 11. καὶ λίθος] λίθος καὶ PV. 12. ἐν om. PV. Conf. Syncellus p. 151. C. ib. ὡς om. V. 14. ζ΄, η΄ om. P.

Anni a m. c. 4966.

I.

Cambysem aiunt apud Hebraeos Secundum Nabuchodonosor appellatum: quo regnante historiam Judith contigisse volunt.

II.

Solis defectio contigit.

LX. Olympias.

III. IV. V. VI.

Cambyses Aegyptum occupavit.

Idem Ammenophin, qui Memnon esse lapis, ac loqui credebatur, frangit, cum praestigias in eo esse suspicaretur, ut narrat Polyaenus Atheniensis.

LXI. Olympias.

Apud Persas tertii regnarunt gemini fratres, Merdius et Patzates menses VII.

Apud Persas quartus regnavit Darius, Hystaspis filius, annos XXXVI. Colliguntur anni V. MIX.

I. II.

Anno II. Darii, Hystaspis filii, Persarum, Assyriorum, et Aegyptio-

Ἀσσυρίων καὶ Αἰγυπτίων βασιλέως, ἐφ' οὗ ἅμα Ἀγγαῖος καὶ Ζαχαρίας καὶ ὁ ἐκ τῶν ιβ' ἄγγελος προφητεύουσιν, ἐπληρώθη τὰ ο' ἔτη τῆς ἐρημίας τοῦ ἱεροῦ· καὶ μάρτυς ἐχέγγυος ὁ προφήτης Ζαχαρίας, ἔτους δευτέρου Δαρείου εἰπών, Κύριε παντόκρατορ, ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ο' ἔτος. καὶ κατὰ μὲν Κῦρον ἡ τῆς αἰχμαλωσίας τοῦ Ἰουδαίων ἔθνους ἐλευθερία γίνεται καὶ ἡ συγχώρησις τῆς τοῦ ἱεροῦ οἰκοδομῆς, εἰς ἔργον δὲ χωρεῖ καὶ τελειοῦται ὁ ναὸς κατὰ [P 145] τὸ η' ἔτος Δαρείου τοῦ Ὑστάσπου, καθ' ὃ ἱεράτευεν Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἅμα Ζοροβάβελ τοῦ Σαλαθιήλ, τῶν περιοίκων ἐν [R 340] τῷ μεταξὺ χρόνῳ τὴν οἰκοδομὴν ἐπισχόντων. παρατηρητέον δὲ ὡς μετὰ τὴν ἐπάνοδον τῆς αἰχμαλωσίας οὐκέτι βασιλεὺς μνημονεύεται τοῦ λαοῦ, ἐπειδὴ ἤγγιζεν τοῦ ἐπουρανίου βασιλέως Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἡ κατὰ σάρκα ἀνάδειξις. συνᾴδει δὲ τούτοις καὶ ὁ Κλήμης ἐν τῷ πρώτῳ Στρώματι γράφων οὕτως· καὶ ἔμεινεν ἡ αἰχμαλωσία ἔτη ο', καταλήξασα εἰς τὸ β' ἔτος Δαρείου τοῦ Ὑστάσπου τοῦ Περσῶν καὶ Ἀσσυρίων καὶ Αἰγυπτίων [B] γενομένου βασιλέως, ἐφ' οὗ Ἀγγαῖος καὶ Ζαχαρίας καὶ ὁ ἐκ τῶν ιβ' ἄγγελος προφητεύουσι. καὶ ταῦτα μὲν ὁ δηλωθεὶς ἀνήρ. περὶ δὲ τοῦ μέχρι δευτέρου ἔτους Δαρείου τὸ ο' τῆς ἐρημίας τοῦ ἱεροῦ ἔτος παρατεῖναι μάρτυς ἐχέγγυος ὁ προφήτης Ζαχαρίας, ἔτους δευτέρου Δαρείου εἰπών, Κύριε παντόκρατορ, ἕως τίνος

4. εἰπὼν] Zach. I. 12. *ib.* 22. παντοκράτωρ V. 6. ὑπερίδες PV. *ib.* τοῦτο] τοῦτο τὸ P. 14. τοῦ υἱοῦ om. P. 15. Κλήμις V. *ib.* ἐν] ὁ ἐν P. 17. τοῦ alterum om. P. 20. τοῦ om. P. 21. ἱερίου V.

rum Regis, sub quo Aggaeus simul et Zacharias, et qui ex XII. dictus est Angelus, prophetant, completi sunt LXX. anni destructionis templi, ut fide dignus testis Zacharias anno II. Darii ait: *Omnipotens Domine, quousque tandem misereberis nostri super Hierusalem, et civitatibus Juda quas despexisti.* Atque hic est annus LXX. Et regnante Cyro genti Judaeorum post captivitatem libertas est reddita, et templi instaurandi facultas data. Opere vero procedente, perfectum est templum anno VIII. Darii filii Hystaspis, quo tempore summum Pontificatum gessit Jesus filius Josedec, una cum Zorobabel filio Salathiel, circumhabitantibus, per id temporis aedificationi incumbentibus. Observandum porro post reditum ex captivitate nullum populi Regem memorari, quia coelestis Regis Jesu Christi Dei appropinquabat secundum carnem adventus. Hisce consona scribit Clemens libro I. Stromatum, ubi sic ait: *Et perseveravit captivitas annis LXX. desiitque in ann. II. Darii, Hystaspis filii, Persarum, Assyriorum, et Aegyptiorum Regis: sub quo Aggaeus et Zacharias, et unus ex XII. qui Angelus dictus est, prophetabant.* Atque haec quidem praedictus scriptor. Ab illo vero tempore usque ad II. annum Darii, destructionis templi annum LXX. protendi testis est omni exceptio-

οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ο′ ἔτος. καὶ κατὰ μὲν Κῦρον ἡ τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων ἐλευθερία γίνεται καὶ ἡ συγχώρησις τῆς τοῦ ἱεροῦ οἰκο-
C δομῆς, εἰς ἔργον δὲ χωρεῖ καὶ τελειοῦται ὁ νεὼς κατὰ τὸ η′ ἔτος Δαρείου βασιλείας.

V 117 ξβ′ Ὀλυμπιάς.

γ′.

Ἔτους τρίτου Δαρείου τοῦ Ὑστάσπου ὁ ἐν Ἱεροσολύμοις νεὼς οἰκοδομεῖται ὑπὸ Ζοροβάβελ, τελειοῦται δὲ ἐν ϛ′ ἔτεσιν.

δ′.

Δαρεῖος φόρους ἔταξεν τοῖς ὑπηκόοις πρῶτος.

ε′, ϛ′, ζ′.

D ξγ′ Ὀλυμπιάς.

Ἁρμόδιος καὶ Ἀριστογείτων Ἵππαρχον καὶ Ἱππίαν Ἀθηναίων τυράννους ἀνεῖλον.

η′.

Ἐνταῦθα ἀπὸ πρώτου ἔτους Κύρου ὁ τῶν μϛ′ ἐτῶν χρόνος συμπληροῦται τῆς οἰκοδομῆς τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλήμ· ὄντι-

1. ὑπερίδες PV. Conf. autem de his ad p. 94. D. 4. τὸ η′ ἔτος Δαρείου βασιλείας] Δάρειον V. 18. τοῦ ἐν om. R.

Anni am. c. ne major Zacharias Propheta, dum sub annum II. Darii ait: *Domine omnipotens, quousque misereberis Hierusalem et civitatibus Juda, quas despexisti?*

Hic est annus LXX. quo, Cyro regnante, Judaeis post captivitatem facta est libertas, et facultas data instaurationis templi. Procedente autem opere, templum tandem absolvitur circa VIII. annum regni Darii.

4976. *LXII. Olympias.*

III.

Anno III. Darii Hystaspis filii, templum Hierosolymitanum a Zorobabel aedificatur, absolvitur vero annis VI.

IV.

Darius primus subjectis vectigalia imposuit.

V. VI. VII.

LXIII. Olympias.

Harmodius et Aristogiton Hipparchum et Hippiam Atheniensium tyrannos sustulerunt.

VIII.

Exinde a primo anno Cyri, tempus XLVI. annorum aedificationis templi Hierusalem completur: quod quidem tempus servatori dixerunt increduli Judaei, seu potius, cum non intelligerent quod ab illo dictum

να χρόνον τῷ σωτῆρι ἔλεγον ἀπιστοῦντες Ἰουδαῖοι, μᾶλλον δὲ οὐ νοήσαντες τὸ ὑπ' αὐτοῦ εἰρημένον ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ, Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν οἰκοδομήθη ὁ ναὸς οὗτος, καὶ P 146 σὺ λέγεις, ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

Μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον πρῶτος μετὰ τὴν τοῦ ἱε- R 342 ροῦ οἰκοδομὴν ἀρχιερεύσατο Ἰησοῦς ὁ τοῦ Ἰωσέδεκ ἅμα Ζοροβάβελ ἔτη λβ'. οὗτοι τέλος ἐπιτεθείκασιν τῇ τοῦ ἱεροῦ οἰκοδομῇ.

Ἀπ' ἐντεῦθεν τοῦ ἐνιαυτοῦ, ἐν ᾧ ὁ ἐν Ἱεροσολύμοις νεὼς τέλεον ἐπληρώθη, ἕως τελευταίου ἔτους Ὑρκάνου Ἰουδαίων ἀρχιερέως καὶ βασιλέως ὑστάτου γενομένου ἐκ γένους ἱερατικοῦ ἔτη τυγχάνει υπγ', ὁπόσα αἱ ζ' καὶ ξβ' τοῦ Δανιὴλ προφητευό- B μεναι συνάγουσιν ἑβδομάδες.

θ', ι'.

ξδ' Ὀλυμπιάς.

ια', ιβ', ιγ', ιδ'.

ξε' Ὀλυμπιάς.

ιε'.

Ἡλίου ἔκλειψις ἐγένετο.

ις', ιζ', ιη'.

ξς' Ὀλυμπιάς.

2. εὐαγγελίῳ] II. 20. 3. ᾠκοδομήθη P. 9. ἕως τοῦ P sola. 18. ἔκλειψις ἡλίου P.

erat in Joannis Evangelio: *Quadraginta sex annis templum hoc aedificatum est, et tu dicis, in tribus diebus excitabo illud.* Anni a m. c.

Post reditum e Babylone, primus post templi aedificationem Pontificatum gessit Jesus, filius Josedec, cum Zorobabel, annos XXXII. Ii finem imposuere templi aedificationi.

Ab eo deinceps anno, quo Hierosolymis templum tandem confectum est, usque ad ultimum annum Hyrcani summi Judaeorum Pontificis, quique Rex postremus fuit ex genere Sacerdotali, anni sunt CCCCLXXXIII. quot efficiunt VII. et LXII. hebdomades a Daniele praedictae.

IX. X. 4984.

LXIV. Olympias.

XI. XII. XIII. XIV.

LXV. Olympias.

XV.

Eclipsis Solis accidit.

XVI. XVII. XVIII.

LXVI. Olympias.

C ιθ', κ', κα', κβ'.

ξζ' Ὀλυμπιάς.

κγ'.

Ἑλλάνικος ἱστοριογράφος καὶ Δημόκριτος φιλόσοφος καὶ Ἡράκλειτος ὁ σκοτεινὸς καὶ Ἀναξαγόρας φυσικὸς φιλόσοφος ἐγνωρίζοντο.

κδ', κε', κς'.

ξη' Ὀλυμπιάς.

κζ', κη', κθ', λ'.

ξθ' Ὀλυμπιάς.

λα', λβ', λγ', λδ'.

D ο' Ὀλυμπιάς.

λε', λς'.

V 118 Δέον ἐν συντόμῳ μνημονεῦσαι καὶ τῶν προφητῶν καὶ δεῖξαι καὶ αὐτοὺς περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου προειρηκότας καὶ ὅτι πάντες ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ μέχρις Ἰωάννου τοῦ βαπτιστοῦ εἰς τὴν μέλλουσαν κατάστασιν ἀφορῶσιν.

R 344 **Εἰς τὸν Ἠλίαν.**

Οὗτός ἐστιν Ἠλίας ὁ πρῶτος ἀνθρώπων τοῖς ἀνθρώποις ὑπο-

3. κγ' ante v. 7. κδ' ponit P. 4. Ἑλλανικὸς V.

XIX. XX. XXI. XXII.

LXVII. Olympias.

Hellanicus historicus, et Democritus Philosophus, atque Heraclitus tenebricosus, et Anaxagoras Physicus Philosophus agnoscebantur.

XXIII. XXIV. XXV. XXVI.

LXVIII. Olympias.

XXVII. XXVIII. XXIX. XXX.

LXIX. Olympias.

XXXI. XXXII. XXXIII. XXXIV.

LXX. Olympias.

XXXV. XXXVI.

Nunc porro memorandi sunt Prophetae, atque demonstrandum quemadmodum ipsi Christi mysterium praedixerint, et ut omnes ab Adam primo hominum usque ad Joannem Baptistam ad futurum statum respexerint.

De Elia.

Hic est Elias qui primus ex hominibus iis ostendit unicam esse An-

δείξας οὐρανοδρομεῖν, ὁ πρῶτος ἀνθρώπων ὑποδείξας ἀγγέλων καὶ ἀνθρώπων μίαν ὁδόν, ὁ τὴν γῆν λαχὼν οἰκητήριον καὶ τὸν οὐρα- P 147 *νὸν ἀθρόον διατρέχων, ὁ θνητὸς ὑπάρχων καὶ τοῖς ἀθανάτοις ἁμιλλώμενος, ὁ χαμαὶ βαδίζων καὶ ὡς πνεῦμα μετ' ἀγγέλων οὐρανοπολῶν, ὁ διὰ τῆς μηλωτῆς τῷ μαθητῇ Ἐλισσαίῳ διπλᾶ τὰ χαρίσματα μεταδούς, ὁ μακροχρόνιος καὶ ἀγήρως ἄνθρωπος, ὁ τῷ Ἀντιχρίστῳ διατηρούμενος στρατηγός, ὁ ἀντικαθιστάμενος καὶ διελέγχων τὴν ἀπάτην καὶ τὴν ὑπερηφανίαν αὐτοῦ, ὁ πάντας ἀνθρώπους ἐκ τῆς πλάνης αὐτοῦ ἐπὶ τὸν θεὸν ἐν τῇ συντελείᾳ ἐπιστρέφων. οὗτος ὁ τῆς δευτέρας καὶ ἐπιφανοῦς παρουσίας τοῦ δεσπότου Χριστοῦ ἀξιούμενος εἶναι πρόδρομος, ὁ μετὰ διακονιῶν* B *τοῖς ἀγγέλοις ἁμιλλώμενος. δόξα τῷ ταῦτα τοῖς ἀνθρώποις χαριζομένῳ θεῷ. Ἀμήν.*

Εἰς τὸν Ὡσηέ. Σωζόμενος.

Οὗτος Ὡσηὲ τῶν ιβ' προφητῶν ὁ πρῶτος ἀξιωθεὶς εἰπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ οὕτως, Ὅταν θλιβῶσιν, ὀρθρίσουσιν πρός με λέγοντες, Δεῦτε ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς ἥρπακεν, καὶ ἰάσεται ἡμᾶς πλήξας, μοτώσει ἡμᾶς, ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας· ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα ἐνώπιον αὐτοῦ, καὶ γνωσόμεθα. ἐκ ταύτης τῆς χρήσεως ὁ ἀπόστολος λέγει Παῦλος τοῖς Κορινθίοις, Παρέδωκα

1. *οὐρανοδρομεῖν—ἀνθρώπων* om. P. 3. *ἀθρώον* V, *ἀθρῶν* P, unde *καὶ* ante *διατρέχων* addit m. P. 11. *μετὰ*] *μέτρα* V. 12. *ἁμιλλώμενα* RV. 14. *Οσηέ* P sola. 15. *εἰπεῖν*] Hos. VI. 18. *πλήξας—μετὰ*] *μετὰ* P: *βωτώσει* cum dubitatione affertur ex V. 19. *τῇ* alterum om. P. 20. *τῆς* om. P. 21. *λέγει*] I. 15. XI. 3.

gelorum et hominum viam. Qui terram nactus in domicilium, caelum vidit et peragravit. Qui mortalis cum immortalibus contendit. Qui in terra ambulans, velut spiritus cum Angelis coelum sulcavit. Qui per melotem discipulo Elissaeo, bina communicavit gratiarum dona. Longaevus homo ac senectutis expers. Dux adversus Antichristum servatus. Qui contra illum stabit, ejusque fraudes aperiet, ac superbiam. Qui homines omnes ab ejus fallacia, in mundi consummatione ad Deum convertet. Hic qui secundi et visibilis adventus Domini Christi dignatus est esse praecursor. Qui officiis suis cum Angelis contendit. Gloria Deo qui haec hominibus est elargitus.

De Osee. Salvator.

Hic Osee primus ex XII. Prophetis dignatus est de Domino Christc sic loqui: *Cum tribulabuntur, manicabunt ad me dicentes, Venite, revertamur ad Dominum Deum nostrum, quia ipse rapuit, et sanabit nos post duos dies: in die tertia resurgemus coram eo, et cognoscemus.* Ex hoc dicto Apostolus Paulus dixit Corinthiis: *Tradidi enim vobis in pri-*

C γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς. οὐκ ἔστιν ἀλλαχόθεν εὑρεῖν. ἔτι λέγει ὁ προφήτης ἁρμόζων ἐπὶ τοῦ δεσπότου Χριστοῦ, Σάρξ μου ἐξ αὐτῶν. πάλιν λέγει, Ἐκύκλωσάν με ἐν ψεύδει Ἐφραῒμ καὶ ἐν ἀσεβείᾳ οἶκος Ἰσραὴλ καὶ Ἰούδα, νῦν ἔγνω αὐτοὺς ὁ θεός, καὶ λαὸς ἅγιος κεκλήσεται τοῦ θεοῦ, ἀπὸ τῆς φυλῆς διὰ τὸν ἐξ αὐτῆς ἀναδεινύμενον κατὰ σάρκα δεσπότην Χριστὸν λαὸν ἅγιον θεοῦ ὀνομάσας τὸν Ἰούδαν. ἔτι πάλιν ὁ αὐτὸς προφήτης, Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτούς· ποῦ ἡ δίκη
D σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; ταύτῃ τῇ χρήσει ἐχρήσατο ὁ ἀπόστολος Παῦλος ἐπὶ τῆς ἀναστάσεως.

R 346 Οὗτος Ὡσηὲ ἦν ἐκ Βελεμὼθ τῆς φυλῆς Ἰσσάχαρ, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ.

Εἰς τὸν Ἀμώς. Στερέωσις.

Οὗτος ὁ δεύτερος Ἀμὼς καὶ αὐτὸς ἀξιωθεὶς εἰπεῖν περὶ τῆς ἐλεύσεως τοῦ δεσπότου Χριστοῦ οὕτως· Διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ. ἔτι λέγει, Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν
P 148 σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα

4. *λέγει*] IX. 12. 5. *πάλιν*] XI. 12. 9. *πάλιν*] XIII. 14. 11. *ποῦ* om. P. 12. *Παῦλος*] I. Cor. XV. 55. *ibid.* *ἐπὶ*] *ἀπὸ* P. 13. *Βελεμὼν* P. 17. *οὕτως*] Amos IV. 13. 19. *αὐτοῦ*] *αὐτὸν* P. *ib.* *λέγει*] IX. 11. *ib.* *ἀναστήσεται* P. 20. *ἀνῳκοδομήσει* P, *ἀνῳκοδομήσω* V. *ibid.* *τὰ — ἀνοικοδομήσω* om. P.

mis, quod et accepi, Christum mortuum esse pro peccatis nostris secundum scripturas, et sepultum, et resurrexisse tertia die secundum scripturas. Id alibi non reperitur. Ait praeterea Propheta, haec aptans Domino Christo: *Caro mea ex ipsis.* Rursum ait: *Circumdederunt me in mendacio Ephraim, et in impietate Domus Israel et Juda, nunc cognovit eos Deus, et populus sanctus vocabitur Dei.* Ex tribu nempe, propter ostensum ex ea secundum carnem Dominum Christum, populum sanctum Dei nominans Judam. Iterum idem Propheta: *Ex manu inferi liberabo illos: ubi est causa tua, mors? stimulus tuus, inferne?* Hocce dicto usus est Apostolus Paulus de Resurrectione.

Hic Osee erat de Belemon, ex tribu Issachar, et sepultus est in terra sua in pace.

De Amos. **Firmamentum.**

Hic secundus Amos, et ipse dignus habitus qui de adventu Domini Christi ita diceret: *Quia ecce ego firmans tonitruum, et creans spiritum, et annuntians in homines Christum suum.* Praeterea dicit: *In illa die*

αὐτῆς καὶ ἀνοικοδομήσω αὐτήν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ὁ ποιῶν ταῦτα. ταύτης τῆς χρήσεως μέμνηται Ἰάκωβος ὁ ἀπόστολος ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων.

Ἀμὼς ἦν ἐκ Θεκουέ, καὶ Ἀμεσσίας συχνῶς αὐτὸν ἐτυμπάνισεν. V 119 τέλος ἀνεῖλεν αὐτὸν ὁ υἱὸς αὐτοῦ ῥοπάλῳ πλήξας τὸν κρόταφον, καὶ ἔτι ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ, καὶ μεθ' ἡμέρας δύο ἀπέθανεν, καὶ ἐκεῖ ἐτάφη.

Εἰς τὸν Μιχαίαν. Στρατηγός.

Οὗτος Μιχαίας ὁ τρίτος, ὃς ἠξιώθη καὶ αὐτὸς προειπεῖν πε- B ρὶ τῆς ἐλεύσεως τοῦ δεσπότου Χριστοῦ, καί φησιν, *Καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.* ταύτην τὴν χρῆσιν λαβόντες οἱ ἀρχιερεῖς καὶ γραμματεῖς τῶν Ἰουδαίων, Ἡρώδου αὐτοὺς ἀπαιτοῦντος ποῦ ὁ Χριστὸς γεννᾶται, ἔφησαν, Ἐν Βηθλεέμ. ὅθεν καὶ τοὺς μάγους ἐπὶ τὴν Βηθλεὲμ τότε ἀπέστειλεν. ἔτι λέγει αὐτὸς ὁ προφήτης, *Αὐτὸς ἐπιστρέψῃ καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς ἁμαρτίας ἡμῶν καὶ ἀποῤῥίψει εἰς* C *τὰ βάθη τῆς θαλάσσης πάσας τὰς ἀδικίας ἡμῶν, δώσει εἰς ἀλή-*

5. ἐν ταῖς πράξεσι] XV. 17. 12. φησὶν] V. 2. 19. λέγει] VII. 19.

suscitabit tabernaculum David quod cecidit, et instaurabit illud, sicut dies saeculi, ut requirant reliquiae hominum Dominum, et omnes nationes, eo quod invocatum est nomen meum super eos, dicit Dominus faciens haec. Hujus sententiae meminit Jacobus Apostolus in Actis Apostolorum.

Erat Amos ex Thecue, et Amessias crebro illum fustibus cecidit, tandemque interfecit ejus filius, vectis ictu in tempora impacto. Ille vero adhuc spirans venit in terram suam, et post dies duos obiit, ibique est sepultus.

De Michaea. *Dux.*

Iste Michaeas tertius, (ex XII.) qui et ipse dignatus est praedicere de adventu Domini Christi, cum ait: *Et tu Bethleem domus Ephrata, minima es, ut sis in millibus Juda. Ex te mihi egredietur qui sit dominator in Israel, et egressus ejus ab initio a diebus aeternitatis.* Hoc dictum accipientes Pontifices et Scribae Judaeorum, cum ab Herode rogarentur, ubi Christus naturus esset, dixerunt, in Bethleem. Unde et tres Magos in Bethleem tunc misit. Sed et rursum ait idem Propheta: *Ipse revertetur et miserebitur nostri, deponet iniquitates nostras, et projiciet*

θειαν τῷ Ἰακώβ, ἔλεος τῷ Ἀβραάμ, καθότι ὤμοσε τοῖς πατράσιν ἡμῶν κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν.

Μιχαίας ἦν ἀπὸ Μορασθὴ ἐκ φυλῆς Ἐφραΐμ. πολλὰ ποιήσας τῷ Ἀχαὰβ ὑπὸ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀνῃρέθη ἐν κρημνῷ, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ· καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ μόνος, σύνεγγυς πολυανδρίου ἐν Ἀκείμ.

R 348 *Εἰς τὸν Ἰωήλ. Αὐθαίρετος ἰσχύς.*

Οὗτος Ἰωὴλ ὁ τέταρτος καὶ αὐτὸς ἀξιωθεὶς προειπεῖν περὶ
D τοῦ κατὰ τὸν δεσπότην Χριστὸν μυστηρίου· φησὶ γὰρ οὕτως· Καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνυπνίοις ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.

P 149 Ταύτης τῆς χρήσεως μέμνηται ὁ μακαρίτης Πέτρος ἐν ταῖς

1. τῷ] τοῦ bis P. 3. Μωρασθίτης P. 4. Ἀχὰβ P. *ibid.* ἀνῃρέθη Ducangius, ὃς ηὑρέθη V, ὡς ηὑρέθη R. 6. πολυανδρείου R. 9. φησὶ] II. 28. 11. οἱ om. PV. 13. ὅ. καὶ] ὅ. καίγε V. 16. γῆς κάτω P. 20. ἐν ταῖς Πράξεσι] II. 17.

in profundum maris omnia peccata nostra, dabit veritatem Jacob, misericordiam Abraham, sicut juravit patribus nostris in diebus antiquis.

Erat Michaeas ex Morasthite, ex tribu Ephraim. Is cum multa fecisset Achab, a Joram filio ejus, praecipitatus est, quod illum reprehendisset ob impietates patrum suorum: et sepultus est in terra sua solus, et juxta coemeterium in Acim.

De Joel. *Spontanea fortitudo.*

Hic Joel quartus, et ipse dignatus qui mysteria in Domino Christo peracta praediceret: sic enim loquitur: *Et erit, post haec effundam de spiritu meo super omnem carnem, et prophetabunt filii vestri, et filiae vestrae, et seniores vestri somnia somniabunt, et juvenes vestri visiones videbunt, et super servos meos et ancillas meas in diebus illis effundam de spiritu meo, et dabo prodigia in coelo sursum, et in terra deorsum sanguinem, et ignem, vaporem fumi. Sol convertetur in tenebras, et luna in sanguinem, antequam veniat dies Domini magna et manifesta. Et erit, qui invocaverit nomen Domini, salvus erit.*

Hujus sententiae meminit beatus Petrus in Actis Apostolorum, tunc

Πράξεσι τῶν ἀποστόλων πληρουμένης ὅτε ἡ κάθοδος τοῦ ἁγίου πνεύματος ἐπὶ τοὺς ἀποστόλους ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς ἐγένετο.

Ἰωὴλ ἐκ γῆς ἦν τοῦ Ῥουβὴν ἀγροῦ τοῦ Βεθομορῶν, καὶ ἀπέθανεν ἐν εἰρήνῃ, καὶ ἐκεῖ ἐτάφη.

Εἰς τὸν Ἀβδιοῦ. *Δουλεύων κυρίῳ.*

Οὗτος Ἀβδιοῦ πέμπτος φησὶ καὶ αὐτὸς ἀξιωθεὶς εἰπεῖν περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου οὕτως· Διότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη. εἴρηται μὲν κατὰ τὸ πρόχειρον ἐπὶ τῶν B
Σκυθῶν, τουτέστιν τοῦ Γὼγ καὶ Μαγώγ· κυριώτερον δὲ ἁρμόζει ἐπὶ τοῦ δεσπότου Χριστοῦ. ἐπιφέρει γὰρ μετ' ὀλίγα, Ἐν δὲ τῷ ὄρει Σιὼν ἔσται ἡ σωτηρία.

Ἀβδιοῦ ἦν ἐκ γῆς Συχὲμ ἀγροῦ Βιθαχαράμ. οὗτος ἦν μαθητὴς Ἠλία, καὶ πολλὰ ὑπομείνας δι' αὐτὸν περισώζεται. οὗτος ἦν ὁ τρίτος πεντηκόνταρχος, οὗ ἐφείσατο Ἠλίας, καὶ κατέβη πρὸς Ὀχοζίαν, καὶ μετὰ ταῦτα ἀπολιπὼν λειτουργίαν τοῦ V 120
βασιλέως προεφήτευσεν, καὶ ἀπέθανεν, ταφεὶς μετὰ τῶν πατέρων αὐτοῦ.

Εἰς τὸν Ἰωνᾶν.

Δέησις κυρίου, ὁ αὐτὸς βαπτιστής. C

Οὗτος Ἰωνᾶς ἕκτος, ὃς οὐ διὰ λόγων ἀλλ' ἔργῳ καὶ τύπῳ

6. Ἀβδιαν R. 8. κατὰ Χριστὸν] Χριστοῦ P. *ib.* οὕτως] 15. 11. ἐν δὲ] ἐν P.

impletae, cum in die Pentecostes Spiritus sanctus super Apostolos descendit.

Joel e terra Ruben, agri Bethomoron, oriundus, ibidem extinctus est et humatus.

De Abdiu. Qui servit Domino.

Hic Abdiu quintus, et ipse dignatus loqui de Christi mysterio, sic ait: *Quia juxta dies Domini super omnes gentes.* Dictum quidem illud est ex occasione, de Scythis, id est, Gog et Magog: sed magis proprie convenit Christo Domino. Paullo post enim infert: *In monte Sion erit salus.*

Abdiu erat ex terra Sychem, ex agro Bithacharam. Is fuit Discipulus Eliae, qui multa propter illum perpessus, tandem salvus evasit: fuitque tertius Pentecontarchus, sive Quinquagenarius, cui Elias pepercit, et descendit ad Ochoziam, et post haec relicto Regis servitio, prophetavit, obiitque, et sepultus est cum patribus suis.

προεμήνυσε τὴν ἀνάστασιν τοῦ Χριστοῦ. φησὶ γὰρ ὁ κύριος, R 350 Ὥσπερ Ἰωνᾶς ἔμεινεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. ὥσπερ γὰρ τὸ κῆτος ἀδιάφθορον ἐξήμεσε τὸν Ἰωνᾶν, οὕτω καὶ ὁ τάφος τὸν δεσπότην ἐξήμεσεν εἰς κρείττονα ζωήν.

Ἰωνᾶς ἦν ἐκ γῆς Καριαθμαοῦς, πλησίον Ἀζώτου, πόλεως Ἑλλήνων κατὰ θάλασσαν, καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους, καὶ ἀπελθὼν ἐν Νινευῇ, ἀνακάμψας οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ, D ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησε τὴν Σοὺρ, χώραν ἀλλοφύλων ἐθνῶν. ἔλεγε γὰρ ὅτι Οὕτως ἀφελῶ τὸ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας κατὰ Νινευῆ πόλεως τῆς μεγάλης, ἣν τότε Ἠλίας ἐλέγχων καὶ τὸν οἶκον Ἀχαάβ, καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν, ἔφυγεν. καὶ ἐλθὼν ηὗρε τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτῆς, καὶ ἔμεινεν παρ᾽ αὐτοῖς· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων· καὶ ηὐλόγησεν αὐτήν. θανόντα τὸν Ἰωνᾶν πάλιν ἤγειρεν ἐκ νεκρῶν ὁ θεὸς διὰ τοῦ Ἠλία· ἠθέλησε γὰρ δεῖξαι αὐτῷ ὅτι οὐ δύναται ἀποδρᾶσαι θεόν. καὶ ἀναστὰς Ἰωνᾶς μετὰ τὴν λιμὸν ἦλθεν ἐν γῇ Ἰούδα, καὶ ἀποθανοῦσαν τὴν μητέρα αὐ- P 150 τοῦ κατὰ τὴν ὁδὸν ἔθαψεν αὐτήν, ἐχόμενα τῆς Λιβάνου βαλάνου. ἐν γῇ Σαὰρ ἀπέθανεν, καὶ ἐτάφη ἐν σπηλαίῳ Κενεζέου, κριτοῦ γενομένου μιᾶς φυλῆς ἐν ἡμέραις τῆς ἀναρχίας. καὶ ἔδω-

1. ὁ κύριος] Matth. XII. 40. 7. ἐκβραθεὶς P. 8. ἀνακάμψαι P. 9. προλαβὼν P. 18. τὴν λιμὸν] τὸν λιμὸν P. 19. Λιβάνου om. V. 20. Γενεζέου P. 21. τοῦ κριτοῦ P sola. *ib.* τῆς om. P.

De Jona. Precatio Domini, et ipse Baptistes.

Hic Jonas Sextus, qui non verbo, sed opere ac figura Christi Resurrectionem indicavit. Ait enim Dominus: *Quemadmodum Jonas mansit in ventre ceti tribus diebus et noctibus.* Quemadmodum enim cetus illaesum reddidit Jonam, ita quoque sepulchrum reddidit Dominum meliori vitae.

Jonas erat e Cariathmaus, juxta Azotum, Graecorum urbem ad mare sitam, et a ceto ejectus venit Niniven, rediensque, non amplius in terra sua, sed assumpta matre sua, Sur, regionem alienigenarum gentium, incoluit. Aiebat enim: *Sic auferam opprobrium meum, quia mentitus sum, prophetans contra Ninivem urbem magnam, quam tunc Elias coarguit, et domum Achab, et qui fame vocata super terram, fugerat.* Et profectus, invenit viduam, cum filio ejus, et mansit apud eos. Neque enim cum incircumcisis manere poterat: et ei benedixit. Extinctum Jonam rursum a mortuis suscitavit Deus per Eliam: ostendere enim illi voluit, quia nemo potest Deum effugere. Et resuscitatus Jonas, post famem venit in terram Juda, et matrem suam, qaae in via obierat, sepelivit juxta glandem Libani. In terra Saar mortuus est, et sepultus est

κεν τέρας ἐπὶ Ἱερουσαλὴμ καὶ ὅλην τὴν γῆν, ὅτε ἴδωσι λίθον βοῶντα οἰκτρῶς, ἐγγίζει τὸ τέλος, καὶ ὅτε ἴδωσιν ἐν Ἱερουσαλὴμ πάντα τὰ ἔθνη, τότε ἡ πόλις ἀφανισθήσεται.

Εἰς τὸν Ναούμ. Παράκλησις.

Οὗτος Ναοὺμ ἕβδομος ἠξιώθη καὶ αὐτὸς προειπεῖν περὶ τῆς ἀναστάσεως τοῦ δεσπότου Χριστοῦ, καὶ φησίν, Ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος κυρίῳ τὰς εὐχάς σου, διότι οὐ μὴ προσ- B
θῶσιν ἔτι τοῦ διελθεῖν εἰς παλαίωσιν. συντετέλεσται, ἐξῆρται. ἀνέβη ὁ ἐμφυσῶν εἰς πρόσωπόν σου, ὁ ἐξαιρούμενός σε ἐκ θλίψεως.

Ναοὺμ ἦν ἀπὸ Ἐλκεσεὶ πέραν τοῦ εἰς Βηταβαρὴν ἐκ φυλῆς Συμεών. οὗτος μετὰ τὸν Ἰωνᾶν τῇ Νινευῇ τέρας ἔδωκεν ὅτι ἀπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογείου ἀπολεῖται. ὃ καὶ γέγονεν· ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη κατέκλυσεν αὐτὴν ἐν σεισμῷ καὶ ἀπώλεσεν· καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν τὸ ὑψηλότερον αὐτῆς ἐνέπρησεν μέρος. ἀπέθανε δὲ ἐν εἰρήνῃ, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

Εἰς τὸν Ἀμβακούμ. Περίληψις. R 352 C

Οὗτος Ἀμβακοὺμ ὄγδοος καὶ αὐτὸς ἀξιωθεὶς εἰπεῖν περὶ τῆς

5. οὗτος] οὗτος ὁ P. 6. φησὶν] II. 1. 8. συνεπλήσθη, συντετέλεσται P. ib. ἐξῆρται om. P. 9. ὁ alterum om. P sola. 10. Ἑλκέσε P. 12. γλυκέων Epiphanius vol. II. p. 147. A ed. Petav., γλυκίων R, γλυκείων PV. 13. ἐν om. P.

in spelunca Genesei, qui fuit Judex unius tribus in diebus interregni. Et dedit prodigium super Hierusalem et totam terram: *Cum viderint lapidem clamantem lamentabiliter, instat finis: et cum viderint in Hierusalem omnes gentes, tunc civitas delebitur.*

De Naum. *Consolatio.*

Hic Naum septimus, dignatus est et ipse praedicere de Resurrectione Domini Christi, ubi ait: *Celebra, Juda, festivitates tuas, redde vota tua, quia non ultra apponent ut pertranseant vetustatem. Completum est, Confectum est. Ascendit insufflans in faciem tuam eruens te de tribulatione.*

Naum erat ex Helcese, ultra Betabarem, ex tribu Simeon. Hic post Jonam dedit Ninive prodigium: *Ab aquis dulcibus, et igne subterraneo peribit.* Quod et factum est. Nam palus quae illam cingebat, facto terrae motu ipsam inundavit, et pessumdedit: ignisque de eremo erumpens, partes ejus superiores incendit. Mortuus est in pace, et sepultus in terra sua.

De Abacuc. *Comprehensio.*

Hic Abacuc octavus, et ipse dignatus dicere de Resurrectione Chri-

ἀναστάσεως τοῦ Χριστοῦ οὕτως· Ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε καὶ θαυμάσατε καὶ ἀφανίσθητε, διότι ἐγὼ ἔργον ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται. ταύτην τὴν χρῆσιν ἁρμοδίως ὁ Παῦλος ἐπὶ τῆς ἀναστάσεως τοῦ δεσπότου Χριστοῦ ἐξέλαβεν ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας.

V 121 Ἀμβακοὺμ ἦν ἐκ φυλῆς Συμεὼν ἐξ ἀγροῦ Βηθιτουχάρ. οὗτος εἶδεν πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ,
D καὶ ἐπένθησεν. Ναβουχοδονόσορ ὅτε ἦλθεν εἰς Ἱερουσαλήμ, ἔφυγεν εἰς Ὀστρακίνην, καὶ ἦν πάροικος ἐν γῇ Ἰσμαήλ. ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι καὶ οἱ κατάλοιποι οἱ ὄντες εἰς Ἱερουσαλὴμ καὶ κατέβησαν εἰς Αἴγυπτον, ἦν παροικῶν γῆν αὐτοῦ καὶ ἐλειτούργει θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ. ὡς δὲ ἔλαβε τὸ ἔδεσμα, προεφήτευσε τοῖς ἰδίοις εἰπών, Πορεύομαι εἰς γῆν μακράν, καὶ ταχέως ἐλεύσομαι· εἰ δὲ βραδυνῶ, ἐνέγκατε τοῖς θερισταῖς. καὶ γενόμενος ἐν Βαβυλῶνι, καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδὲν εἶπεν τῶν γενομένων. συνῆ-
P 151 κεν δὲ ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἀπὸ Βαβυλῶνος. καὶ πρὸ δύο ἐτῶν ἀποθνήσκει τῆς ἐπιστροφῆς, καὶ ἐτάφη ἐν ἀγρῷ ἰδίῳ μόνος ἐν τῇ Ἰουδαίᾳ. καὶ περὶ συντελείας τοῦ ναοῦ προεῖπεν ὅτι ὑπὸ ἔθνος δυτικὸν γενήσεται. τότε τὸ ἅπλωμα, φησί, τοῦ δαβεὶρ καὶ τὰ ἐπίκρανα τῶν δύο στηλῶν ἀφαιρεθήσονται, καὶ οὐδεὶς

1. οὕτως] I. 5. *ibid.* εἴδετε PV. 4. ὁ Παῦλος] Act. XIII. 41. 5. τῇ Ἀντιοχείᾳ P. 7. Βῆθι τοῦ Χὰρ PV. 10. Ἰσραήλ P. 11. εἰς] ἐν P. 12. καὶ alterum om. P. 15. βραδύνω PV. 16. ἀπέστη R. 18. τάχειον PV. 20. ναοῦ PV, m. R, λαοῦ R. 21. ἔθνους δυτικοῦ P, ἔθνους δυτικὸν R. *ib.* τὸ om. P. 22. στύλων V.

sti, ita: *Videte contemptores, et admiramini, et disperdimini, quia opus ego operor in diebus vestris, quod non credetis, si quis enarraverit.* Hanc sententiam apte omnino usurpavit Paulus de Resurrectione Domini Christi, dum Antiochiae Pisidiae versaretur.

Abacuc erat ex tribu Symeon, ex terra Bethi Char. Hic vidit ante captivitatem, quae eventura erant in expugnatione Hierusalem, et luxit. Quando Nabuchodonosor venit Hierusalem, fugit in Ostracinam, eratque inquilinus in terra Israel. Postquam vero reversi sunt Chaldaei, et qui relicti erant in Hierusalem, in Aegyptum descenderunt, habitavit in terra sua, et messoribus agri sui ministravit. Ut porro cibum sumpsit, suis ita prophetavit: *Abeo in terram longinquam, et confestim redibo. Si autem cunctatus fuero, ferte* (cibum) *messoribus.* Cumque esset Babylone, dedissetque prandium Danieli, rediens adfuit messoribus edentibus, quibus nihil ex iis quae evenerant aperuit. Cognovit etiam populum Babylone quamprimum rediturum. Biennio ante illius reditum mortuus est, ac sepultus est in fundo suo solus in Judaea. Templi excidium, illudque ab gente occidua fieri debere praedixit: *Tunc velum,* inquit, *Da-*

γνώσεται ποῦ ἔσονται. αὐτὰ δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλου, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλους κύριος, καὶ φωτίσει τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως ἐν σκότει, ὡς ἐξ ἀρχῆς.

Εἰς τὸν Σοφωνίαν. Σκοπεύων.

Οὗτος Σοφωνίας ἔνατος καὶ αὐτὸς ἀξιωθεὶς προφητεῦσαι B
περὶ τοῦ δεσπότου Χριστοῦ φησὶν οὕτως· Ἐπιφανήσεται κύριος
ἐπ᾽ αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς
γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶ- R 354
σαι αἱ νῆσοι τῶν ἐθνῶν. πάλιν λέγει ὅτι Μεταστρέψω ἐπὶ λαοὺς
γλῶσσαν εἰς γενεὰς αὐτῆς τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα
κυρίου τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ἐκ περάτων ποτα-
μῶν Αἰθιοπίας οἴσουσι θυσίας μοι. καὶ πάλιν λέγει, Χαῖρε
σφόδρα, θύγατερ Ἱερουσαλήμ, εὐφραίνου καὶ κατατέρπου ἐξ
ὅλης τῆς καρδίας σου, θύγατερ Ἱερουσαλήμ, περιεῖλε κύριος τὰ
ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου βασιλεὺς C
Ἰσραὴλ ὁ κύριος, ἐν μέσῳ σου οὐκ ὄψει κακὰ οὐκέτι. ἅπερ πάν-
τα κυριώτερον ἐπὶ τοῦ δεσπότου Χριστοῦ ἁρμόζει.

Σοφωνίας ἦν ἐκ φυλῆς Συμεὼν ἐξ ἀγροῦ Σαβαρθαθά. οὗτος προεφήτευσε περὶ τῆς πόλεως καὶ περὶ τέλους Ἰσραὴλ καὶ αἰσχύνης ἀσεβῶν· καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

6. ἔννατος PV. 7. φησὶν] II. 11. 10. πάλιν] III. 9. 13. πάλιν] 14. 15. σου] σοῦ θεοῦ P.

bir, et capitella duarum columnarum auferentur, et nemo sciet ubi sint. Ipsa autem in eremo deferentur ab Angelo, ubi initio defixum est tabernaculum testimonii, et in illis cognoscetur tandem Dominus, et illuminabit a serpente oppugnatos in tenebris, sicut ab initio.

De Sophonia. Speculator.

Hic Sophonias nonus, et ipse dignatus prophetare de Domino Christo, sic ait: *Apparebit Dominus super eos, et disperdet omnes Deos gentium terrae, et adorabunt ipsum singuli de loco suo: omnes insulae gentium.* Rursum ait: *Convertam super populos linguam in generationem ejus, ut invocent omnes nomen Domini, ut serviant ei sub jugo uno. De finibus fluminum Aethiopiae adferent victimas mihi.* Et rursum: *Gaude valde, filia Hierusalem, exulta et delectare ex toto corde tuo, filia Hierusalem, abstulit Dominus iniquitates tuas, redemit te de manu inimicorum tuorum Rex Israel, in medio tui non videbit mala ultra.* Quae omnia magis proprie in Dominum Christum conveniunt.

Erat Sophonias ex tribu Symeon, ex agro Sabarthata. Hic prophetavit de civitate, et de fine Israel, et ignominia impiorum: et cum esset mortuus, sepultus est in agro suo.

Εἰς τὸν Ἀγγαῖον. Ἑορτή.

Οὗτος Ἀγγαῖος δέκατος ἠξιώθη καὶ αὐτὸς προειπεῖν περὶ
τοῦ δεσπότου Χριστοῦ ὡς εἰς πρόσωπον Ζοροβάβελ τὰ ἁρμό-
ζοντα τῷ δεσπότῃ Χριστῷ λέγων, Καὶ θήσομαί σε σφραγῖδα,
D διότι σε ᾑρετισάμην, λέγει κύριος παντοκράτωρ, καθάπερ καὶ
Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει, Τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ
θεός.

Ἀγγαῖος νέος ἦλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ, καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσεν. καὶ εἶδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ· καὶ θανὼν ἐτάφη πλησίον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως, ὡς αὐτοί.

V 122 Εἰς τὸν Ζαχαρίαν. Μνήμη θεοῦ.

Οὗτος Ζαχαρίας ἑνδέκατος καὶ αὐτὸς ἀξιωθεὶς προειπεῖν περὶ
τῆς ἐλεύσεως τοῦ Χριστοῦ, λέγων οὕτως· Χαῖρε σφόδρα, θύγατερ
P 152 Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται
δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον
καὶ πῶλον νέον. ὑπερβολικῶς μὲν εἰς τὸν Ζοροβάβελ εἴρηκεν
ταύτην τὴν χρῆσιν· τὴν ἔκβασιν δὲ κυρίως ἔσχεν ἐπὶ τοῦ δεσπό-
του Χριστοῦ. ἔτι λέγει, Καὶ ἐρῶ πρὸς αὐτόν, Τί αἱ πληγαὶ αὗ-
R 356 ται αἱ ἀνὰ μέσον τῶν χειρῶν σου; καὶ ἐρεῖ, Ἐπλήγην ἐν τῷ οἴ-
κῳ τῷ ἀγαπητῷ μου. καὶ μετ' ὀλίγα πάνυ, Πατάξω τὸν ποι-

4. **λέγων**] II. 23. 6. **Ἰωάννης**] VI. 27. 14. **οὕτως**] IX. 9.
16. **πρᾶος** P. 19. **λέγων** P. XIII. 6.

De Aggaeo. Festum.

Hic Aggaeus decimus, dignatus est et ipse praedicere de Domino Christo, velut in persona Zorobabel, quae in Dominum Christum conveniunt, dum ait: *Ponam te signaculum, quia elegi te, dicit Dominus omnipotens.* Quemadmodum et Joannes Evangelista ait: *Hunc enim pater signavit Deus.*

Aggaeus juvenit venit ex Babylone in Hierusalem, et aperte reditum populi praedixit. Vidit etiam ex parte aedificationem templi, et mortuus, juxta sepulcrum Sacerdotum honorifice, ut illi, sepultus est.

De Zacharia. Memoria Dei.

Hic Zacharias undecimus, et ipse dignatus praedicere de adventu Christi, ubi sic ait: *Gaude, filia Sion, praedica, filia Hierusalem, ecce Rex tuus venit tibi justus et salvans, ipse mansuetus, et ascendens super subjugalem et pullum novum.* Hyperbolice quidem de Zorobabel hanc sententiam dixit, sed eventum proprie habet in Domino Christo. Rursum ait: *Et dicam ad eam, Quid plagae istae in medio manuum tuarum? Et dicet, His percussus sum in domo dilectionis.* Et post pauca quae-

μένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. ταύτης τῆς χρήσεως μέμνηται ὁ κύριος ἐν τῷ καιρῷ τοῦ πάθους, ὅτε ἤμελλε παραδίδοσθαι, εἰς ἑαυτὸν αὐτὴν εἰρηκώς.

Ζαχαρίας ἦλθεν ἀπὸ Χαλδαίων ἤδη προβεβηκώς, κἀκεῖ τῷ B *λαῷ πολλὰ προεφήτευσεν, καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν. οὗτος εἶπεν τῷ Ἰωσεδέκ, Καὶ εἰς Ἱερουσαλὴμ ἱερατεύσεις. οὗτος καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ ηὐλόγησεν καὶ τὸ ὄνομα Ζοροβάβελ ἐπέθηκεν. καὶ ἐπὶ Κύρου τέρας ἔδωκεν εἰς νῖκος, καὶ περὶ τῆς λειτουργίας αὐτοῦ προηγόρευσεν ἣν ποιήσει ἐπὶ Ἱερουσαλήμ, καὶ ηὐλόγησεν αὐτὸν σφόδρα. τὰ δὲ τῆς προφητείας εἶδεν ἐν Ἱερουσαλήμ, περὶ τέλους ἐθνῶν καὶ τοῦ ναοῦ καὶ ἀργίας προφητῶν καὶ ἱερέων καὶ περὶ διπλῆς κρίσεως ἐξέθετο. καὶ ἀπέθανεν ἐν γήρει μακρῷ, καὶ ἐτάφη σύνεγγυς τοῦ Ἀγγαίου.* C

Εἰς τὸν Μαλαχίαν. Ἄγγελος.

Οὗτος Μαλαχίας δωδέκατος καὶ αὐτὸς προφητεύειν ἀξιωθεὶς τῶν κατὰ τὴν οἰκονομίαν τοῦ δεσπότου τοῦ Χριστοῦ. λέγει δὲ καὶ αὐτὸς οὕτως. Διότι ἀπὸ ἀνατολῶν ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος παντοκράτωρ. καὶ πάλιν λέγει, Ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσ-

1. *ἐκ τῆς* P. 2. *μέμνηται*] Marc. XIV. 27. 5. *οὗτος* P cum Epiphanio p. 149. A, *ὡς* RV. 6. *ἱερατεύσεις* P, *ἱεράτευσεν* RV. 16. *λέγει*] I. 11. 19. *πάλιν*] III. 1.

dam: *Percutiam pastorem, et dispergentur oves gregis* Hujus loci meminit Dominus in tempore passionis cum tradendus esset, hoc de seipso pronuntiato.

Zacharias ex Chaldaeis venit jam aevo maturus, multaque populo ibi prophetavit, et in praedictionum suarum argumentum prodigia fecit. Et hic dixit Josedeci: *Et in Hierusalem Pontifex eris* Hic et Salathieli in filio benedixit, et nomen Zorobabel imposuit. Ac in Cyro prodigium edidit in victoriae signum, et de ejus ministerio quod in Hierusalem obiturus erat praedixit, ipsique valde benedixit. Prophetias autem vidit in Hierusalem, de fine gentium, ac templi, et de cessatione Prophetarum ac Sacerdotum, ut et de duplici judicio disseruit. Obiit in ultima senectute, et tumulatus est juxta Aggaeum.

De Malachia. Angelus.

Hic Malachias duodecimus, et ipse prophetare dignatus de Incarnatione Domini Christi. Ipse autem sic ait: *Quia ab ortu solis usque ad occasum nomen meum glorificatum est in gentibus, et in omni loco sacrificatur et offertur nomini meo oblatio munda, quia magnum est nomen meum in gentibus, dicit Dominus omnipotens.* Et rursum ait: *Ecce ego*

ώπου σου. ταύτην δὲ τὴν χρῆσιν ὁ κύριος εἰς ἑαυτὸν ἐξέλαβεν D *καὶ εἰς τὸν βαπτιστὴν Ἰωάννην. ἔτι λέγει ὁ αὐτὸς προφήτης, καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ, καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα, καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ἣν ἐγὼ ποιῶ, λέγει κύριος παντοκράτωρ. καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν Ἡλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, καθὼς εἶπεν ὁ κύριος τοῖς Ἰουδαίοις ὅτι καὶ ἐὰν θέλετε δέξασθαι περὶ Ἰωάννου, αὐτός ἐστιν Ἡλίας ὁ μέλλων ἔρχεσθαι.*

R 358 P 153 *Μαλαχίας οὗτος μετὰ τὴν ἐπιστροφὴν τίκτεται ἐν Σοφᾷ· καὶ ἔτι πάνυ νέος ὢν καλὸν βίον ἔσχηκεν· καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πρᾷον, ἐκάλεσαν αὐτὸν Μαλαχίαν, ὃ ἑρμηνεύεται ἄγγελος. ἦν γὰρ καὶ τῷ εἴδει εὐπρεπής, ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ὀφθεὶς ἄγγελος κυρίου* V 123 *ἐπεδευτέρωσεν, ὡς ἐγένετο ἐν ἡμέραις ἀναρχίας, ὡς γέγραπται ἐν Σφερτελλείμ, τουτέστιν ἐν βίβλῳ Κριτῶν. καὶ ἔτι νέος ὢν προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν ἀγρῷ αὐτοῦ.*

B *Λοιπὸν ἐπὶ τοὺς τέσσαρας μεγάλους βαδιοῦμεν, πληρώσαν-*

1. *δὲ* om. P. *ib* *καὶ ὁ* R. 2. *λέγει*] IV. 2. 12. *κεῖται* RV. *τίκτεται* P cum Epiphanio. *ib.* *σοφίᾳ* R. 17. *τῆς ἀναρχίας — ἐν* ex Epiphanio addidit P : *τῆς* om. V. 18. *Σφερετελλείμ* P. 20. *εἰς τοὺς τέσσαρας μεγάλους προφήτας* praeponit P. *ib.* *μεγάλους* om. R.

mittam Angelum meum, et praeparabit viam ante faciem tuam. Huncce locum Dominus sibi aptavit, et Joanni Baptistae. Ait praeterea idem Propheta: *Et orietur vobis timentibus nomen meum sol justitiae, et sanitas in pennis ejus. Egrediemini et salietis sicut vitulus de armento, et calcabitis ipsos cum fuerit cinis sub planta pedum vestrorum in die quam ego facio, dicit Dominus omnipotens. Ecce ego mitto vobis Eliam Thesbitem, antequam veniat dies Domini magnus et horribilis.* Quemadmodum dixit Dominus Judaeis. Quod si velitis haec accipere de Joanne, ipse est Elias qui venturus est.

Malachias iste, post reditum (e Babylone) nascitur in Sopha: et cum admodum adhuc esset adolescens, praeclaram vitam egit: cumque propter vitae sanctitatem et mansuetudinem a populo coleretur, Malachiae nomen ei datum est, quod idem valet ac Angelus. Erat enim decenti pulcritudine: sed et quaecumque ipse dum prophetaret dicebat, ipsomet die apparens Angelus Domini iterabat, quemadmodum in diebus interregni, ut scriptum est in Spheretellim, hoc est in libro Judicum, contigit. Juvenis adhuc appositus est ad patres suos in agro suo.

De quatuor magnis Prophetis.

Duodecim (Prophetis) juvante Deo explicitis, superest ut de quatuor

τες σὺν θεῷ τοὺς ιβ'. πάντες μὲν οἱ προφῆται προεφήτευον καὶ ὑπεμίμνησκον τοὺς Ἰουδαίους περὶ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ ὧν πρὸς τοὺς πατέρας ἐποιήσατο, ὅπως πάντα τὰ ἔθνη εὐλογεῖν ὑπέσχετο ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ διὰ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας, καὶ ὅπως ἐλυτρώσατο αὐτοὺς ὁ θεὸς πρώην ἐκ τῆς δουλείας τῶν Αἰγυπτίων μετὰ βραχίονος ὑψηλοῦ· καὶ δέδωκεν αὐτοῖς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ὅπως αἰχμάλω- C τοι εἰς Βαβυλῶνα ὑπὸ Ναβουχοδονόσορ ἀπαχθήσονται, καὶ πάλιν ἐνδόξως ἐπανήξουσι, καὶ πάλιν πείσονται κακὰ ὑπὸ Ἀντιόχου καὶ τῶν πέριξ ἐθνῶν, καὶ ὅπως καὶ τούτων δυνάμει θείᾳ περιγένωνται, καὶ τότε ὁ προσδοκώμενος ἐκ τοῦ σπέρματος Ἀβραὰμ ἥξει ἐπὶ σωτηρίᾳ παντὸς τοῦ κόσμου κατὰ τὰς ἄνωθεν ἐπαγγελίας. τοῦτο τὸ ἔργον τῶν προφητῶν. τινὲς μὲν οὖν ἐξ αὐτῶν ἑαυτοῖς συνέγραψαν τὰς ἰδίας βίβλους, οἷον ὁ Δαβίδ, συνθεὶς τὴν βίβλον τῶν Ψαλμῶν, καὶ Δανιήλ, ἐν τῇ αἰχμαλωσίᾳ κελευσθεὶς γράψαι ἅπερ αὐτῷ δι' ὁράσεων ἀπεκαλύφθη, ἢ καὶ ἄλλοι τινές. οἱ δὲ λοιποὶ οὐχ ἑαυτοῖς συνέγραφον, ἀλλὰ γραμματεῖς ἦσαν ἐν D τῷ ἱερῷ, οἳ ἔγραφον ἑκάστου προφήτου ὡς ἐπὶ ἡμερολογίου λόγον. καὶ ἡνίκα ἀπεστέλλετο ὑπὸ τοῦ θεοῦ προφήτης κηρῦξαι ἢ περὶ Ἱερουσαλὴμ ὅτι μέλλει αἰχμαλωτίζεσθαι ἢ περὶ Σαμαρείας ἢ περὶ ἑτέρων τόπων ἢ περὶ τῆς ἐπανόδου ἢ περὶ Ἀντιόχου ἢ περὶ τῶν πέριξ ἐθνῶν ἢ περὶ αὐτοῦ τοῦ δεσπότου Χριστοῦ, καθ'

13. οὖν om. P. 14. ὁ om. P.

magnis agamus. Omnes quidem Prophetae prophetarunt, et Judaeos de promissionibus subinde monuerunt, quas Deus eorum patribus fecerat, quove pacto gentes universas benedictione sua donare erat pollicitus in semine Abraham per Domini Christi dispensationem: et quomodo Deus ex Aegyptiorum servitute prius illos cum brachio excelso liberaverit, et dederit eis terram repromissionis: quave ratione captivi Babylonem a Nabuchodonosor abducti, rursum gloriose reversi sunt: et ut mala iterum patientur ab Antiocho gentibusque circumvicinis: quo etiam pacto divina potentia iis superiores evaserint, et ut tunc expectatus ex semine Abraham venturus erat pro salute mundi totius, secundum praedictas repromissiones. Hoc prophetarum opus fuit Atque ex iis quidam suos sibi ipsis libros conscripsere, quemadmodum David Psalmorum librum composuit, et Daniel in captivitate scribere jussus est quaecunque sibi per visiones revelata fuerant: ita et alii quidam. Reliqui vero non sibi scripserunt, sed erant in templo scribae qui uniuscujusque Prophetae verba, in modum Kalendarii, describerent. Et cum a Deo mittebatur Propheta, ut quippiam nuntiaret, vel de Hierusalem, quod scilicet esset expugnanda: vel de Samaria, aut de locis aliis, vel de reversione, aut de Antiocho, aut de circumvicinis nationibus, aut de ipso Domino Christo, quo die prophetabant, in istius Prophetae sermone ea describebant quae de

R 360 ἣν ἡμέραν προεφήτευεν, ἔγραφον ἐν τῷ λόγῳ τοῦ προφήτου ἐκεί-
νου ὃ ἐκήρυττεν περὶ ἑνὸς πράγματος. καὶ πάλιν μετὰ καιρόν, εἰ
ἐκήρυξεν περὶ ἑτέρου πράγματος, πάλιν ἔγραφον ὑποτάσσοντες
P 154 εἰς τὸν αὐτοῦ λόγον, ὡς ἀρχὴν κεφαλαίου ποιούμενοι ἐκήρυττον.
καὶ οὕτω πᾶσαν τὴν βίβλον αὐτοῦ συνετίθεσαν. ὅθεν ἔστιν εὑ-
ρεῖν ἐν ταῖς αὐτῶν βίβλοις κεφάλαιον ἁρμόζον εἰς τὴν αἰχμαλω-
σίαν Βαβυλῶνος ἢ εἰς τὴν ἐπάνοδον, καὶ εὐθέως περὶ Χριστοῦ
ἕτερον καὶ αὖθις περὶ τῆς αἰχμαλωσίας καὶ τῆς ἐπανόδου λέγοντα.
καὶ ἁπλῶς εἰπεῖν, ἐὰν μὴ παρατετηρημένως ἀναγνῷς, συγκεχυ-
μένα τὰ πάντα εὑρήσεις. οὐ μόνον δέ, ἀλλὰ καὶ αἱ βασιλεῖαι
τούτῳ τῷ τρόπῳ ἐγράφησαν ἐν τῷ ἱερῷ κατὰ μέρος ἐν τῷ και-
ρῷ τοῦ Σαοὺλ τὰ ἕως τοῦ Σαοὺλ καὶ ἐν τῷ καιρῷ τοῦ Δαβὶδ
B τὸ ἕως Δαβίδ. ὁμοίως καὶ τὰ ἑκάστου βασιλέως κατὰ τὸν ἴδιον
καιρὸν ἐγράφοντο. ὁμοίως ἔγραφον καὶ ἐν τοῖς σκρινίοις τῶν
βασιλέων, ἃς καλοῦμεν Παραλειπομένας. τὴν δὲ Πεντάτευ-
χον ὁ Μωϋσῆς ἔγραψεν ἱστορίαν προγεγονότων καὶ γινομέ-
νων καὶ ἐσομένων. Ἰησοῦς πάλιν τὴν ἰδίαν βίβλον, τοὺς Κριτὰς
πάλιν ἐν τῷ ἱερῷ, ἤγουν τῇ σκηνῇ, ὁμοίως καὶ τὴν Ῥούθ. Σο-
V 124 λομὼν πάλιν τὰ ἴδια ἔγραψεν, τάς τε Παροιμίας καὶ τὰ Ἄισμα-
τα καὶ τὸν Ἐκκλησιαστήν· σοφίας γὰρ χάριν εἰληφὼς παρὰ
θεοῦ, καὶ πάντα ἄνθρωπον νουθετῶν σοφῶς ἀναστρέφεσθαι ἐν
C τῷδε τῷ βίῳ· προφητείας γὰρ χάριν οὐκ εἰλήφει. ὅσους οὖν
ηὕρομεν προφήτας ἀξιωθέντας εἰπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ

1. προεφήτευον P. 2. εἰ] ἢ PV. 10. εὑρήσει V. ibid. αἱ om. P. 11. τῷ om. P. 13 τὸ om. P. ib. τὸ ἕως Δαβίδ] ἕως τοῦ Δαβίδ P. 14. δὲ καὶ P. 18. τὴν σκήνην P. 20. vel 22. dele γάρ.

re aliqua nuntiaverat. Rursum si post aliquod tempus de re alia quidpiam praedixisset, tum in illius sermone superioribus subjiciebant, facto capitis initio. Atque hac ratione totum illius librum compegere. Unde reperire est in illorum libris caput quod captivitati Babylonis convenit, vel reversioni, et statim aliud quod de Christo, ac rursum de captivitate vel reditu agit. Atque ut uno verbo dicam, nisi haec attente legeris, omnia confusa reperies. Neque Prophetiae duntaxat, sed et libri Regnorum eadem ratione in templo particulatim conscripti sunt, veluti Saüle regnante, quae Saülem, quae Davidis tempestate, quae Davidem spectabant. Atque eodem modo uniuscujusque Regis acta, suo quoque tempore, scribebantur. Sed et pariter scribebant in Regum scriniis quae Paralipomena appellamus. Pentateuchum vero Moyses conscripsit, historiam scilicet rerum praeteritarum, praesentium et futurarum. Jesus etiam singularem librum confecit; Judices rursum in templo, seu Tabernaculum, similiter et librum Ruth. Solomon suos perinde conscripsit libros, Proverbia, et Cantica, et Ecclesiastem. Donatus enim a Deo sapientiae gratia, cunctos homines adhortatus est ut in hac vita sapienter sese gererent, Prophetiae tamen gratiam non adeptus. Quotquot igitur inve-

ἐτάξαμεν. ἔτι δὲ γράφωμεν καὶ περὶ τῶν ἄλλων τεσσάρων προφητῶν, ὅσα ἠξιώθησαν εἰπεῖν περὶ τῆς κατα τὸν δεσπότην Χριστὸν οἰκονομίας, ἐν ᾗ ἀφορᾷ πᾶς ὁ σκοπὸς τῆς θείας γραφῆς. προφέρωμεν τοίνυν πρῶτον τὸν μεγαλοφωνότατον Ἠσαΐαν, ὃς καὶ τύπῳ καὶ λόγῳ ἠξιώθη ἰδεῖν καὶ προειπεῖν περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου.

Εἰς τὸν Ἠσαΐαν.

Οὗτος ὁ μέγας Ἠσαΐας ὁ υἱὸς τοῦ Ἀμώς, ὃς τύπῳ μὲν εἶδεν
τὰ κατὰ τὸ μυστήριον τοῦ Χριστοῦ, ὅτε εἶδεν τὸν κύριον καθή- R 362 D
μενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνὶ ἑαυτὰ κατακαλύπτοντα, καὶ ἔκραζον ἕτερος πρὸς τὸν ἕτερον, Ἅγιος ἅγιος ἅγιος, κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. ἐπὶ τούτοις ἀπεστάλη ἓν τῶν σεραφείμ, καὶ ἔλαβεν τῇ λαβίδι ἄνθρακα ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τῶν χειλέων αὐτοῦ λέγων, Τοῦτο ἀφελεῖ τὰς ἁμαρτίας σου, σαφῶς διὰ τῆς ὄψεως τῆς δειχθείσης καὶ τοῦ ὕμνου καὶ τοῦ τύπου διδαχθεὶς
προμηνῦσαι τὸ κατὰ Χριστὸν μυστήριον. ἔτι δὲ πάλιν καὶ λόγῳ P 155
φησὶν οὕτως· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. ταύτην τὴν χρῆσιν ὁ Αἰθίοψ

2. Χριστὸν τὸν δεσπότην P. 4. ὃς] ὃς δὲ P. 11. καὶ — ἑνὶ om. P. 12. τὸν om. P. 14. ἓν] εἷς ἐκ P. 17. δειχθείσης] δειχείας P. δειλίας m. P. 19. οὕτως] LIII. 7. 20. ὁ Αἰθίοψ] Act. VIII. 35.

nimus Prophetas, qui dignati sunt de Domino Christo praedicere, hactenus sumus executi. Nunc porro videtur operaepretium ut de quatuor aliis prophetis scribamus, et quaecunque de Christi Domini humanitate dicere dignati sunt, quo divinae Scripturae scopus omnis spectat. Producamus igitur magniloquum illum Isaiam, qui et figura et sermone dignatus est videre, et praedicere peractum in Christo Sacramentum.

De Isaia.

Hic est magnus ille Isaias, filius Amos, qui in figura quidem vidit mysterium Christi, cum scilicet Dominum conspexit sedentem in throno excelso ac sublimi, quem Seraphim in orbem circumstabant. Singulis erant sex alae quibus se tegerent, et clamabat alter ad alterum: *Sanctus, Sanctus, Sanctus, Dominus Sabaoth, plena est omnis terra gloria ejus.* Deinde missus est unus ex Seraphim, et accepit forcipe carbonem ex altari, et tetigit labia ejus, dicens: *Hoc auferet peccata tua.* Per visionem verecundiae, et hymni, ac figurae perspicue edoctus est praenunciare peractum in Christo Sacramentum. Sed et rursum ita loquitur: *Tanquam ovis ad occisionem ductus est, et sicut agnus coram tundente se*

εὐνοῦχος ἀναγνοὺς τὸν Φίλιππον παρεκάλει ἑρμηνευθῆναι αὐτῷ αὐτήν· ὃς τάχιστα περὶ τοῦ δεσπότου Χριστοῦ αὐτὴν ἑρμήνευσεν εἰρῆσθαι ὑπὸ τοῦ προφήτου. ἔτι πάλιν λέγει, Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν. καὶ πάλιν, Ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς καὶ δεῖξαι αὐτῷ φῶς. καὶ πάλιν οὕτω λέγει κύριος· Ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρογωνιαῖον ἔντιμον εἰς
B *τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ μὴ καταισχυνθῇ. καὶ πάλιν, Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι. καὶ πάλιν, Πνεῦμα κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. τοῦτο ἀναγνοὺς ὁ κύριος ἐν τῇ συναγωγῇ τοῖς σάββασιν εἶπεν, Ἀμὴν λέγω ὑμῖν, σήμερον ἐπληρώθη ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.*

Ἠσαΐας ἦν ἀπὸ Ἱερουσαλήμ· θνήσκει δὲ ὑπὸ Μανασσοῦ πρισθεὶς εἰς δύο, καὶ ἐτέθη ὑποκάτω δρυὸς Ῥογήλ, ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς χώσας αὐτά. καὶ ὁ θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ ἐποίησεν διὰ τὸν προφήτην,
C *ὅτι πρὸ τοῦ ἀποθανεῖν ὀλιγωρήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ· διὰ τοῦτο ἐκλήθη Σιλωάμ, ὅπερ ἑρμηνεύεται ἀπεσταλμένος. καὶ ἐπὶ τοῦ Ἐζεκία πρὸ τοῦ ποιῆσαι*

3. *λέγει*] LIII. 3. 4. *πληγῇ*] *τιμῇ* V. *ibid.* *πάλιν*] 9. 7. *πάλιν*] XXVIII. 16. 8. *Σιὼν* -- *θεμέλια* om. P. 10. *πάλιν*] XI. 10. 12. *πάλιν*] LXI. 1. 13. *σάβασιν* V. *ibid.* *εἶπεν*] Luc. IV. 21. 18. *δι᾽ αὐτὸν προφήτην* P. 21. *Ἐζεκίου* P.

obmutuit. Hunc locum Eunuchus Aethiops cum legisset, rogavit Philippum ut hunc sibi interpretaretur, qui statim de Domino Christo a Propheta dictum respondit. Iterum praeterea ait: *Homo in plaga existens, et sciens ferre infirmitatem.* Et rursum: *Quoniam peccatum non fecit, nec inventus est dolus in ore ejus.* Et, *Dominus vult mundare eum a plaga, et ostendere illi lumen.* Deinde sic dicit Dominus: *Ecce ego injiciam in fundamenta ejus, et qui crediderit in eum, non confundetur.* Et rursum: *Erit in die illa radix Jesse, et qui surgit ex ea reget gentes, in ipsum gentes sperabunt.* Et rursum: *Spiritus Domini super me, eo quod unxerit me.* Hoc cum Dominus in Synagoga in Sabbatis legisset, dixit: *Amen dico vobis, hodie impleta est scriptura in auribus vestris.*

Erat Isaias ex Hierusalem: moritur autem, a Manasse in duas partes dissectus, et positus est subter quercum Rogel, juxta transitum aquarum, quas Ezechias Rex, iis obstructis, disperdidit. Et fecit Deus signum Siloam propter ipsum Prophetam: priusquam enim moreretur, animo deficiens, petiit aquam sibi dari quam biberet, statimque ex eo illi allata est, ac propterea Siloam appellatur, quod idem valet ac missus. Et sub Ezechia, priusquam fierent fossae ac piscinae, ad preces Isaiae

τοὺς λάκκους καὶ τὰς κολυμβήθρας ἐπὶ εὐχῇ τοῦ Ἡσαΐου μικρὸν
ὕδωρ ἐξῆλθεν, ὅτι ἦν ὁ λαὸς ἐν συγκλεισμῷ ἀλλοφύλων, καὶ ἵνα
μὴ διαφθαρῇ ἡ πόλις, ὡς μὴ ἔχουσα ὕδωρ. ἠρώτων γὰρ οἱ R 364
πολέμιοι πόθεν πίνουσι· καὶ χαρακώσαντες τὴν πόλιν παρεκαθέ-
ζοντο τῷ Σιλωάμ. ὅταν οὖν ἤρχοντο σὺν τῷ Ἡσαΐᾳ οἱ Ἰουδαῖοι,
ἐξήρχετο τὸ ὕδωρ· διὸ ἕως τῆς σήμερον αἰφνιδίως ἐξέρχεται, ἵνα V 125
δειχθῇ τὸ μέγα τοῦτο μυστήριον. καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου
τοῦτο γέγονε, μνήμης χάριν καὶ ὁ λαὸς τῶν Ἰουδαίων πλησίον
αὐτὸν τοῦ Σιλωὰμ ἔθαψαν ἐπιμελῶς καὶ ἐνδόξως, ἵνα διὰ τῶν D
ὁσίων αὐτοῦ προσευχῶν καὶ μετὰ θάνατον αὐτοῦ ὡσαύτως ἔχω-
σι τὴν ἀπόλαυσιν τοῦ ὕδατος, ὅτι καὶ χρησμὸς ἐδόθη αὐτῷ περὶ
αὐτοῦ τοῦ ποιῆσαι οὕτως. ἔστι δὲ ὁ τάφος ἐχόμενος τοῦ τάφου τῶν
βασιλέων, ὄπισθεν τοῦ τάφου τῶν Ἰουδαίων ἐπὶ τὸ μέρος τὸ πρὸς
νότον. Σολομῶν γὰρ ἐποίησε τοὺς τάφους τοῦ Δαβίδ, διαγράψας
κατὰ ἀνατολὰς τῆς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαὼν μήκοθεν
τῆς πόλεως σταδίους εἴκοσιν. ἐποίησεν δὲ ταύτην σκολιάν, σύν-
θετον, ἀνυπονόητον· καὶ ἔστιν ἡ εἴσοδος ἕως τῆς σήμερον τοῖς
πολλοῖς ἀγνοουμένη τῶν ἱερέων καὶ ὅλῳ τῷ λαῷ. ἐκεῖ εἶχεν ὁ P 156
βασιλεὺς Σολομῶν τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα.
καὶ ἐπειδὴ ἔδειξεν Ἐζεκίας τὸ μυστήριον Δαβὶδ καὶ Σολομῶν τοῖς
ἔθνεσι καὶ ἐμίανεν ὀστᾶ τῶν προπατόρων αὐτοῦ, διὰ τοῦτο ὁ θεὸς

1. *κολυμβήτρας* P. 2. *συγκλεισμῷ* P cum Epiphanio, *συκαῖς μωὰμ* V, *Συκαῖς Μωάβ* R. 5. *εἴρχοντο* PV. *ibid.* *Ἰουδαῖοι*] *ἀντλεῖν* addit P ex Epiphanio. 10. *ὁσίων αὐτοῦ προσ* om. P. *ib.* *καὶ μετὰ θάνατον* om. P. 12. *ἐχομένως* P. 16. *σταδίων* P, *σταδίου* m. R. 21. *τῶν προπατόρων* Symeon Logotheta, *τόπου πατέρων* PV.

ibi modicum aquae exivit, cum populus ab alienigenis undique concluderetur, ne ex aquae penuria periret. Quaesierant enim hostes unde ii biberent: ex quo, urbe circumvallata, Siloam etiam circumsederunt. Quoties igitur una cum Isaia veniebant ut aquam haurirent, illa exibat, unde ad hunc usque diem, in magni miraculi argumentum etiamnum subito erumpit. Postquam autem id per Isaiam peractum est, hunc magnifice ac studiose juxta Siloam Judaeorum populus sepeliit, ut ejus precibus aquae perinde copia iis suppeteret, cum praeterea, ut ita agerent, ex oraculo iis praeceptum esset. Jacet autem ejus sepulcrum juxta Regum tumulos, ad Austrum, pone Judaeorum tumulos. Solomon quippe Davidis sepulcra ita constituit, ut Orienti Sion obversarentur. quae aditum habet a Gabaon procul ab urbe, stadiis xx. quem quidem aditum obliquum ac occultum ita confecit ut a nemine perciperetur, adeo ut ejus introitus plerisque Sacerdotum atque ipsi populo etiam hodie ignotus sit. Ibi Solomon Rex aurum ex Aethiopia sibi allatum, et aromata recondidit. Sed cum Ezechias Davidis et Solomonis arcanum gentibus aperuisset, et ossa patrum suorum inquinasset, eapropter Deus ejus semen hostium

ἐπηράσατο εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ, καὶ ἄκαρπον αὐτὸν καὶ ἄγονον ἐποίησεν ὁ θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης.

Εἰς τὸν Ἱερεμίαν.

Οὗτος Ἱερεμίας ἀξιωθεὶς καὶ αὐτὸς προειπεῖν περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου, λέγων οὕτως· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ,
B *καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι κύριος. ταύτης δὲ τῆς χρήσεως καὶ ὁ εὐαγγελιστὴς μέμνηται Ματθαῖος, πληρωθείσης ἐν καιρῷ τοῦ πάθους. πάλιν λέγει ὁ αὐτὸς προφήτης, Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ῇ ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, φησὶ κύριος, διδοὺς νόμους μου ἐπὶ διά-*
C *νοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι*
R 366 *αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν, καὶ οὐ μὴ διδάξουσιν ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, λέγων, Γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.* καὶ

1. ἐπηράσατο] ἐπειράσατο V, ἐπειρώσατο R. 3. ἡμέρας om. P. 9. δὲ om. P. 10. *Ματθαῖος*] XXVII. 9. *ib.* πάλιν] XXXVIII. 31. 13. ῇ om. V. 18. εἰς θεὸν αὐτοῖς P. 22. οὐ μιμνησθῶ V, οὐ μνησθῶ P.

servituti addixit, ab illoque die infoecundum et sterilem hunc fecit Deus.

De Hieremia.

Hic Hieremias dignatus est, et ipse de peracto in Christo mysterio praedicere, cum ita ait: *Et acceperunt triginta argenteos pretium appretiati, quem appretiaverunt a filiis Israel, et dederunt eos in agrum figuli, sicut constituit mihi Dominus.* Sententiae istius meminit Evangelista Matthaeus, quae impleta est tempore Passionis. Rursum ait idem Propheta: *Ecce dies veniunt, dicit Dominus, et disponam domui Israel, et domui Juda testamentum novum, non secundum testamentum quod feci patribus eorum, in die in qua apprehendi manum eorum, ut educerem illos de terra Aegypti. Quia ipsi non manserunt in testamento meo, et ego neglexi eos, dicit Dominus, dans leges meas in mentem eorum, et in corde eorum inscribam eos, et ero eis in Deum, et ipsi erunt mihi in populum, et non docebunt ultra unusquisque fratrem suum, et unusquisque proximum suum, dicens: Cognosce Dominum, quia omnes scient me a*

ταύτης τῆς χρήσεως μέμνηται ὁ ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ.

Ἱερεμίας ἦν ἐξ Ἀναθώθ, καὶ ἐν Τάφναις Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει. κεῖται δὲ ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργετηθέντες δι' αὐτοῦ· ηὔχετο γὰρ αὐτοῖς. τῶν γὰρ ὑδάτων οἱ θῆρες, οὓς D *καλοῦσιν οἱ Αἰγύπτιοι μενεφώθ, Ἕλληνες δὲ κροκοδείλους, καὶ ὅσοι εἰσὶ πιστοὶ θεοῦ ἕως σήμερον εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀνθρώπων θεραπεύουσι, καὶ πολλοὶ αὐτὰ τὰ θηρία τὰ ἐν τῷ ὕδατι φυγαδεύουσιν. ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου, γερόντων ἀνδρῶν, ὅτι Ἀλέξανδρος ὁ τῶν Μακεδόνων, ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου καὶ ἐπιγνοὺς τὰ εἰς αὐτὸν μυ-* V 126 *στήρια, εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα, περιθεὶς αὐτὰ ἐνδόξως κύκλῳ, καὶ ἐκωλύθη ἐκ τῆς γῆς ἐκείνης τὸ γένος* P 157 *τῶν ἀσπίδων, καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως, καὶ οὕτως ἐνέβαλεν τοὺς ὄφεις τοὺς λεγομένους ἀργολάους, ὅ ἐστιν ὀφιομάχους, οὓς ἤνεγκεν ἐκ τοῦ Ἄργους τοῦ Πελοποννησιακοῦ, ὅθεν καὶ ἀργόλαοι*

1. *ταύτης* om. P. 3. *ἐν* addidit P cum Epiphanio, om. RV. *ib.* *λίθοις δὲ ὑποβληθεὶς* PV. Correxit Ducangius. 6. *τῶν γὰρ*] *ἐλλιπές τι* m. R. 7. *μενεφαὶθ*] *νεφώθ* Epiphanius p. 139. B, ut scribendum sit *μὲν νεφώθ*. *ib.* *κορκοδ.* PV. 8. *θεὸν* P. 9. *τῶν ἀνθρώπων* P. 11. *ὅρα* m. P. 12. *ὁ τῶν Μακεδόνων*] Rarior ellipsis nominis *βασιλεύς* non eripienda erat Diodoro Exc. Vat. p. 36. 3. ed. nostrae. 13. *τάφῳ*] *τόπῳ* PV. 16. *τῶν* om. P. *ibid.* *ἐνέβαλεν* P cum Suida v. *ἀργόλαι*, *ἐνέβαλλον* RV. 18. *Ἄργου* P. *ib.* *Πελοπονικοῦ* V, *Πελοποννησιακοῦ* P. *ib.* *ὅθεν καὶ ἀργόλαοι καλοῦνται* om. P, *ὅθεν καὶ ἀργόλαοι* addit m. R.

parvo usque ad magnum, quia propitius ero iniquitatibus eorum, et peccatorum eorum non ero memor amplius. Et istius sententiae meminit Apostolus in Epistola ad Hebraeos.

Hieremias erat ex Anathoth, et in Thaphnis Aegypti lapidibus a populo impetitus interiit, jacetque in loco habitationis Pharaonis, cum magna illum veneratione prosequerentur Aegyptii ob accepta ab eo beneficia, et quod pro iis Deum deprecatus esset, cum ab animalibus aquaticis, quae Aegyptiis Menephot, Graecis vero Crocodili dicuntur, infestarentur. Unde quotquot Deo sunt fideles, usque hodie hoc in loco preces fundunt, et accepto de loco isto terrae pulvillo, ex eorum morsibus homines curant, multique crocodilos ex aquis fugant. Nos vero ex Antigoni et Ptolemaei posteris accepimus, iisque viris aetate gravibus, Alexandrum Macedonem, cum ad Prophetae sepulcrum accessisset, audiissetque arcana quae de se is praedixerat, illius reliquias Alexandriam transtulisse, hasque magnifico apparatu circumdedisse, unde accidit ut a loco isto, uti pariter a fluvio, aspides arcerentur, sicque serpentes Argolaos nuncupatos, (hoc est serpentum hostes) quos ex Argo Peloponnesi

καλοῦνται, τουτέστιν Ἄργους δεξιοί. λαλιὰν δὲ ἔχουσιν ἡδυτάτην καὶ πανευώνυμον.

Οὗτος ὁ Ἱερεμίας σημεῖον ἔδωκεν τοῖς ἱερεῦσιν Αἰγύπτου ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν διὰ σωτῆρος παιδὸς ἐκ παρθένου γενομένου, ἐν φάτνῃ δὲ κειμένου. διὸ καὶ ἕως νῦν θεοποιοῦσιν παρθένον λοχὸν καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσ-
B κυνοῦσιν. καὶ Πτολεμαίῳ τῷ βασιλεῖ τὴν αἰτίαν πυνθανομένῳ ἔλεγον ὅτι πατροπαράδοτόν ἐστιν μυστήριον ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν.

R 368 Οὗτος ὁ προφήτης Ἱερεμίας πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ, καὶ ἐποίησεν αὐτὰ κατατεθῆναι ἐν πέτρᾳ, καὶ εἶπεν τοῖς παρεστῶσιν, Ἀπεδήμησε κύριος ἐκ Σινᾶ εἰς οὐρανόν, καὶ πάλιν ἐλεύσεται νομοθέτης ἐκ Σιὼν ἐν δυνάμει, καὶ σημεῖον ὑμῖν ἔστω τῆς παρουσίας αὐτοῦ, ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνήσουσιν. εἶπεν δὲ ὅτι Τὴν κιβωτὸν ταύτην οὐδεὶς ἐκβαλεῖ εἰ μὴ Ἀαρών, καὶ τὰς ἐν αὐτῇ πλά-
C κας οὐδεὶς ἀναπτύξει οὐκέτι ἱερέων ἢ προφητῶν, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς τοῦ θεοῦ. καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως πρώτη ἡ κιβωτὸς ἀναστήσεται, καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας, καὶ τεθήσεται ἐν ὄρει Σινᾷ. καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὴν συναχθήσονται, ἐκεῖ ἐκδεχόμενοι κύριον, τὸν ἐχθρὸν φεύγοντες, ἀνελεῖν

1. Ἄργους δεξιοί] ἀργόλαι οὖν ἐκ τοῦ Ἄργους λαιοί Suidas v. ἀργόλαι. Post δεξιοὶ addit καλοῦνται P. 8. παράδοτον P. 21. ἀνέλετε αὐτὸν ἐλθόντα] ἀνελόντες τε αὐτὸν ἐλθόντα P sola: scribe ἀνελεῖν αὐτοὺς θέλοντα.

regione attulerat, illic injecit. Ita porro dicti, quasi segnes dextris: loquelam autem habent suavissimam, sed infaustam.

Hic Hieremias signum dedit Aegyptiis Sacerdotibus, quo futurum praedixit, ut eorum idola concuterentur et conciderent per Salvatorem puerum ex Virgine natum, et in praesepi jacentem. Quapropter etiamnum ut Deam colunt virginem puerperam, et infantem in praesepi adorant. Ptolemaeo autem Regi causam sciscitanti, responderunt se accepisse arcanum istud ab sancto Propheta patribus suis fuisse traditum.

Idem Propheta Hieremias, ante templi eversionem, arcam legis, quaeque in ea recondita erant, abripuit, ac reposuit illam in rupe, dixitque circumstantibus: *Migravit Dominus ex Sina in coelum, et rursum veniet legislator ex Sion cum virtute, et signum vobis sit adventus ejus, cum omnes gentes lignum adoraverint.* *Dixitque: arcam illam nemo extrahet praeter Aaronem, nec tabulas in ea reconditas nemo ex Sacerdotibus aut Prophetis aperiet, praeter Moysem dilectum Dei. In die porro Resurrectionis arca resurget prima, et egredietur ex rupe, et in monte Sina reponetur. Omnes vero Sancti ad illam sese congregabunt, ibi expectantes Dominum, hostemque fugientes, occident illum venientem.*

αὐτοὺς θέλοντα. ἐν τῇ πέτρᾳ ἐκείνῃ ἐσφράγισεν τῷ δακτύλῳ τὸ ὄνομα τοῦ θεοῦ, καὶ ἐγένετο ὁ τύπος ὡς γλυφὴ σιδήρου, καὶ νεφέλη φωτεινὴ ἐσκέπασε τὸ ὄνομα, καὶ οὐδεὶς νοεῖ τὸν τύπον, οὐδὲ ἀναγνῶναι αὐτὸν δύναταί τις ἕως σήμερον καὶ ἕως τῆς συντελείας. ἔστιν δὲ ἡ πέτρα ἐν τῇ ἐρήμῳ, ὅπου πρῶτον ἡ κιβωτὸς γέγονεν μεταξὺ τῶν δύο ὀρέων, ἐν οἷς κεῖνται Μωϋσῆς καὶ Ἀα- D ρών. καὶ ἐν νυκτὶ νεφέλη ὡς πῦρ γίνεται περὶ τὸν τόπον κατὰ τὸν τύπον τὸν ἀρχαῖον, ὅτι οὐ μὴ παύσηται ἡ δόξα τοῦ θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. διὰ τοῦτο ἔδωκεν ὁ θεὸς τῷ Ἱερεμίᾳ χάριν, ἵνα τὸ τέλος τοῦ μυστηρίου αὐτοῦ αὐτὸς ποιήσῃ, ἵνα γένηται συγκοίνωνος Μωϋσέως καὶ Ἀαρών· καὶ ὁμοῦ εἰσιν ἕως σήμερον, ἐπειδὴ καὶ ὁ Ἱερεμίας ἐστὶν ἐκ σπέρματος ἱερατικοῦ.

Εἰς τὸν Ἰεζεκιήλ.

Οὗτος Ἰεζεκιὴλ ἐν Βαβυλῶνι προφητεύων καὶ αὐτὸς ἠξιώθη προειπεῖν περὶ τῆς κατὰ Χριστὸν οἰκονομίας, καί φησι, Καὶ ῥύσομαι αὐτοὺς ἀπὸ πασῶν τῶν ἀνομιῶν αὐτῶν, καὶ καθαριῶ P 158 αὐτούς, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ ὁ δοῦλός μου Δαβὶδ ἄρχων ἐν μέσῳ αὐτῶν καὶ ποιμὴν εἷς ἔσται πάντων, ὅτι ἐν τοῖς προστάγμασίν μου πορεύσονται. καὶ πάλιν λέγει, Καὶ εἶπε πρός με, Τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμε- R 370 νον εἰς τὴν Γαλιλαίαν τὴν πρὸς ἀνατολάς, καὶ κατέβαινεν ἐπὶ

10. ποιήσει V. *ibid.* γέννηται PV. 12. καὶ] δὲ P. 21. πάλιν] XLVII. 8. 22. Γαλιλαίαν] θάλασσαν V.

In rupe illa digito suo nomen Domini impressit, et forma ejus velut ferri scalptura facta est, nubesque lucida nomen texit, ac nemo figuram intelligit, vel legere potest ad hunc usque diem, et usque ad mundi consummationem. Est autem illa petra in solitudine, ubi primum fuit arca, intra duos montes, in quibus jacent Moyses et Aaron. Per noctem vero nubes ut ignis circa locum apparet, juxta figuram antiquam, quoniam non desinet gloria Dei ex lege ejus. Propterea hanc Hieremiae gratiam dedit Deus, ut mysterii sui finem ipse faceret, ut Moysis etiam et Aaronis socius fieret, sicut simul sunt usque hodie, si quidem Hieremias erat ex stirpe sacerdotali.

De Ezechiele.

Iste Ezechiel Babylone prophetans, et ipse dignatus est praedicere de Christi humanitate, ubi ait: *Et liberabo eos ab omnibus iniquitatibus suis, et mundabo eos, et erunt mihi in populum, et ego ero eis in Deum, et servus meus David Princeps in medio eorum, et pastor erit unus omnium, quia in praeceptis meis ambulabunt.* Et rursum dicit: *Et dixit ad me, Haec aqua quae egreditur in Galilaeam Orientem versus, et quae descen-*

τὴν Ἀραβίαν, καὶ ἤρχετο ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς, καὶ ὑγιάσει τὰ ὕδατα· καὶ ἔσται, πᾶσα ψυχὴ τῶν ζώων τῶν ἐκζεόντων καὶ ἐπὶ πάντα ἐφ' ἃ ἂν ἐπέλθῃ ἐκεῖ ὁ ποταμός, ζήσεται.

V 127 B Ἰεζεκιὴλ οὗτός ἐστιν ἐξ Ἀριρὰ τῶν ἱερέων, καὶ ἀπέθανεν ἐν γῇ Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας, πολλὰ προφητεύσας τοῖς ἐν τῇ Ἰουδαίᾳ. ἀπέκτεινεν δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ λαοῦ Ἰσραὴλ ἐκεῖ, ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασι. καὶ ἔθαψεν αὐτὸν ὁ λαὸς ἐν ἀγρῷ Μαοὺρ ἐν τάφῳ Ἰωσὴφ καὶ Ἀρφαξὰδ πατέρων Ἀβραάμ. καὶ ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι Ἀβραὰμ ἐν Χεβρῶν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησεν τὸν τάφον Σάῤῥας. διπλοῦν δὲ λέγεται, ὅτι εἱλικτόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου, καὶ ἔστιν ὑπερῷον ἐπὶ γῆς ἐν πέτρᾳ κρεμάμενον.

Οὗτος ὁ προφήτης τέρας ἔδωκε τῷ λαῷ, ὥστε προσέχειν τῷ ποταμῷ Χοβάρ, ὅτε ἐκλείποι, ἐλπίζειν τὸ δρέπανον τῆς C ἐρημώσεως εἰς πέρας τῆς γῆς, καὶ ὅτε πλημμυρήσει, τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον. καὶ γὰρ ἐκεῖ κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ πρὸς αὐτὸν συνήγοντο. καί ποτε πλήθους συνόντος αὐτῷ ἔδησαν οἱ Χαλδαῖοι τοὺς Ἑβραίους, μὴ ἀναταράξωσι καὶ ἐπέλθωσιν αὐτοῖς εἰς ἀναίρεσιν. καὶ ἐποίησεν ὁ προφήτης διαστῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν. οἱ δὲ κατατολμήσαντες τῶν ἐχθρῶν ἐπιδιώξαντες κατεποντίσθησαν.

3. καὶ om. P. *ib.* ἀπέλθῃ P. *ib.* ὁ om. P. 12. ἐπιπεδίου R. 15. ἐλπίζειν P cum Epiphanio p. 141. A, ἐπελθὼν R, et omisso τὸ, ἐπελθόντα m. R, ἐπελθότα V. 16. πέρας Epiphanius, πέτρας PV. *ib.* εἰς om. RV. 18. αὐτῷ om. P.

dit in Arabiam, et venit usque ad mare ad aquam exitus, et sanabit aquas: et erit, omnis anima animalium bullientium in omnibus in quae abierit illic fluvius, vivet.

Hic Ezechiel ortus est ex Arira, ex filiis Sacerdotum, et obiit in terra Chaldaeorum, tempore captivitatis, multa prophetans in Judaea. Hunc porro ibi interfecit dux populi Israel, quod ab eo ob idolorum cultum coargueretur. Illumque sepeliit populus in agro Maür, in sepulcro Joseph et Arphaxath patrum Abraham. Estque sepulcrum spelunca duplex, quia Abraham in Chebron ad sui similitudinem fecit sepulcrum Sarrae. Duplex vero dicitur, quod in plano sinuosa sit, et occulta, in parte vero superiore supra terram a petra quodammodo pendeat.

Hic Propheta prodigium dedit populo, ut observaret fluvium Chobar, quando deficiet, tunc falcem desolationis ad petras fines terrae sperarent; cum vero inundaverit illius aqua, reditum in Hierusalem. Hic enim habitabat vir sanctus, et complures ad eum confluebant. Porro cum aliquando multi cum eo essent, Chaldaei Hebraeos ligaverunt, ne tumul-

Οὗτος ὁ προφήτης διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν ἰχθύων παρέσχεν, καὶ πολλῶν ἐκλειπόντων ζωὴν αὐτοῖς ἐκ θεοῦ ἐλθεῖν παρεκάλεσεν.

Οὗτος ἀπολλυμένου τοῦ λαοῦ σημεῖα ποιήσας ἔπαυσε τοὺς D
πολεμίους, καταπλήξας αὐτοὺς οὐρανόθεν, ὅτε ἔλεγεν ὁ Ἰσραὴλ ὅτι διαπεφωνήκαμεν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν. καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν ὅτι ἐστὶν ἐλπὶς τῷ Ἰσραὴλ καὶ ὧδε καὶ ἐπὶ τοῦ μέλλοντος, οὗτος κρίνων τῷ Ἰσραὴλ ἐδείκνυεν τὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ ναῷ γενόμενα. οὗτος ἡρπάγη R 372
ἐκεῖθεν, καὶ ἦλθεν εἰς Ἱερουσαλήμ, καὶ εἶπεν τὰ ἐν τῷ ναῷ γενόμενα κατ' αὐτὴν τὴν ὥραν εἰς ἔλεγχον τῶν ἀπειθούντων τῷ θεῷ.

Οὗτος κατὰ τὸν Μωϋσῆν εἶδε τὸν τύπον τοῦ ναοῦ καὶ τὸ P 159
τεῖχος καὶ περίτειχος καὶ τὴν πύλην ἐν ᾗ κύριος εἰσελεύσεται καὶ ἐξελεύσεται. καὶ ἔσται ἡ πύλη κεκλεισμένη, καὶ εἰς αὐτὸν ἐλπιοῦσι πάντα τὰ ἔθνη.

Οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δὰν καὶ τοῦ Γάδ, ὅτι ἠσέβουν πρὸς κύριον διώκοντες τοὺς τὸν νόμον φυλάσσοντας, καὶ ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ βρέφη αὐτῶν καὶ πάντα τὰ κτήνη αὐτῶν διὰ τὴν ἀσέβειαν αὐτῶν. καὶ εἴρηκεν ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ,

2. ἐκλιπόντων P. 6. ἡ ἐλπὶς om. R. 10. γενόμενα] Post haec οὗτος—Ἱερουσαλὴμ repetit V. 11. ἔλεγον R. 13. περὶ τεῖχος PV. 19 κτῆνα R. 20. ἐπιστρέφει RV.

tu excitato ab iis insurgentibus interficerentur. Fecitque Propheta ut aqua divideretur, quo in ulteriorem ripam evaderent Hebraei. Ex hostibus vero qui illos persequi sunt ausi, demersi sunt.

Hic Propheta precibus suis, amplas ipsis ex piscibus epulas sponte praebuit, pluribusque ex iis deficientibus, escas a Deo impetravit.

Hic pereunte populo, signis editis, hostium conatus compressit, iis caelitus perterritis, quando dicebat Israel, *Quia dissensimus, periit spes nostra: et in prodigiis ossium mortuorum ad fidem reduxit eos, et erit spes Israeli hic et in futuro saeculo.* Hic cum judicaret Israel, ostendit ea quae in Hierusalem et in templo fiebant. Hic inde raptus est, et venit Hierusalem, ac dixit quae in Templo facta sunt eadem hora, ad redargutionem eorum qui Deo non credebant.

Hic, perinde ac Moyses, vidit figuram Templi, et murum, et circa murum portam per quam Dominus ingredietur, et egredietur, eritque porta occlusa, et in ipsum sperabunt omnes gentes.

Hic Babylone judicavit tribum Dan et Gad. Quod vero impie se gererent erga Dominum, divexatis iis qui legem observabant, ingens illis prodigium fecit: serpentes enim illorum infantes ac jumenta propter eorum impietates consumpserunt. Dixitque propter illos non reversurum

ἀλλ᾽ ἐν Μηδίᾳ ἔσονται ἕως συντελείας πλάνης αὐτῶν, καὶ ἐξ αὐ- B τῶν ἦν ὁ ἀνελὼν αὐτὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Εἰς τὸν Δανιήλ.

Οὗτος Δανιὴλ ἐν Βαβυλῶνι προφητεύων καὶ αὐτὸς ἀξιωθεὶς προειπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ φησιν οὕτως· Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναί σοι καὶ τοῦ οἰκοδομηθῆναι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα δύο, καὶ τὰ ἑξῆς. καὶ πάλιν, Καὶ ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα, καὶ ἐγένετο ὁ λίθος εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε τὴν γῆν. καὶ πάλιν, Καὶ ἰδοὺ V 128 μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ C ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ ἡ ἐξουσία καὶ τὰ λοιπὰ ὅσα ἐῤῥέθη.

Δανιὴλ οὗτος ἦν ἐκ φυλῆς Ἰούδα τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας, ἀλλ᾽ ἔτι νήπιος ὢν ἤχθη ἐν τῇ αἰχμαλωσίᾳ ἐκ τῆς Ἰουδαίας εἰς γῆν Χαλδαίων. ἐγενήθη δὲ ἐν Βεθωρὼμ τῇ ἀνωτέρᾳ, καὶ ἦν ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα.

Πολλὰ ἐπένθησεν οὗτος τὸν λαὸν καὶ ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ, καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς,

5. οὕτως] IX. 25. 6. συνήσεις καὶ P: quod ita scriptum in V ut vel ς vel καὶ erasum videatur. *ib.* ἀπὸ — λόγου om. V. 8. πάλιν] II. 45. 10. πάλιν] VII. 13. 16. γῆν] τὴν P. *ibid.* Βεθερὼμ P, Βεθερὼν R. 20 νηστείᾳ P.

populum in terram suam, sed in Media mansurum usque ad finem erroris sui, et ex illis futurum qui tollet illum omnibus diebus vitae suae.

De Daniele.

Hic Daniel Babylone prophetans, et ipse dignatus praedicere de Domino Christo, sic ait: *Et cognosces et intelliges ab exitu sermonis, ut respondeatur tibi, et ut aedificetur Hierusalem usque ad Christum ducem hebdomades septem, et hebdomades sexaginta duae*, etc. Rursum: *Et abscissus est lapis sine manibus, et percussit statuam, et factus est in montem magnum, et implevit totam terram.* Et rursum: *Et ecce cum nubibus caeli, tanquam filius hominis veniens, et usque ad antiquum dierum pervenit, et datus est illi honor, et potestas*, et reliqua quae dicta sunt.

Erat Daniel ex tribu Juda, ex praecipuis Regis ministris. Admodum puer ductus est in captivitatem ex Judaea in terram Chaldaeorum: natus est autem in Betherom superiori, adeoque castus fuit, ut Eunuchus ab Judaeis existimaretur.

Is plurimum deflevit pro populo, et pro Hierusalem, vitamque egit

σπέρματα γῆς ἐσθίων. καὶ ἦν ἀνὴρ ξηρὸς καὶ σπανός, τὴν ἰδέαν D
ὡραῖος, ἐν χάριτι ὑψίστου. οὗτος πολλὰ ηὔξατο ὑπὲρ τοῦ Να- R 374
βουχοδονόσορ, παρακαλοῦντος αὐτὸν Βαλτάσαρ τοῦ υἱοῦ αὐτοῦ,
ὅτι ἐγένετο θηρίον καὶ κτῆνος, ἵνα μὴ ἀπόληται. ἦν γὰρ τὰ ἔμ-
προσθεν ὡς βοῦς σὺν τῇ κεφαλῇ, καὶ οἱ πόδες σὺν τοῖς ὄπισθεν
λέων. ἀπεκαλύφθη δὲ τῷ ὁσίῳ περὶ τοῦ μυστηρίου τούτου ὅτι
κτῆνος γέγονε διὰ τὴν ἄλογον αὐτοῦ φιληδονίαν καὶ σκληροτρα-
χηλίαν, καὶ ὅτι ὡς βοῦς ὑποζύγιον γενήσεται τοῦ Βελιᾶ, λέων δὲ
διὰ τὸ ἁρπακτικὸν καὶ τυραννικὸν καὶ θηριῶδες τοῦ τρόπου.
ταῦτα ἔχουσιν οἱ δυνάσται ἐν νεότητι, ἐπὶ τέλει δὲ θῆρες γίνον- P 160
ται, ἁρπάζοντες, ὀλοθρεύοντες, πατάσσοντες, ἀναιροῦντες, τυ-
ραννοῦντες, ἀσεβοῦντες, τὰς δὲ τούτων ἀμοιβὰς παρὰ τοῦ δι-
καιοκρίτου θεοῦ ἀπολαμβάνοντες. ἔγνω δὲ διὰ τοῦ θεοῦ ὁ ἅγιος
ὅτι ὡς βοῦς ἤσθιε χόρτον, καὶ ὅτι οὐκ ἐγένετο αὐτῷ ἀνθρωπίνης
φύσεως τροφῆς ἐπιθυμία. διὰ τοῦτο καὶ ὁ αὐτὸς Ναβουχοδονό-
σορ μετὰ τὴν πέψιν τῆς τροφῆς ἐν καρδίᾳ ἀνθρωπίνῃ γινόμενος
ἔκλαιε καὶ ἠξίου κύριον πᾶσαν τὴν ἡμέραν καὶ νύκτα τεσσαρα-
κοντάκις δεόμενος. δαίμων δὲ ἐπεγίνετο αὐτῷ, καὶ ἐλάνθανεν
ὅτι γέγονεν ἄνθρωπος. ἤρθη δὲ ἡ γλῶσσα αὐτοῦ τοῦ μὴ λα-
λεῖν, καὶ νοῶν εὐθὺς ἐδάκρυεν, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἦσαν ὡς B
νεκρὸν κρέας ἐν τῷ κλαίειν· πολλοὶ γὰρ ἐξιόντες ἐκ τῆς πόλεως
ἐθεώρουν αὐτόν.

1. τῆς γῆς P. 2. ὕψιστος P. *ibid.* ηὔξετο PV. 10. ἐν τῇ νεότητι P. 11. ἀπατάσσοντες R. 12. κριτοῦ P. 20. οἱ om. P.

Primum ergo Pascha legale cum Discipulis suis, postquam baptizatus est, celebravit Dominus, anno VIII. naturalis decemnovennalis cycli lunae, et XXI. naturalis vigintioctennalis cycli solis, cum summus esset Pontifex Hierosolymis Ismael Baphi.

Sunt autem discipulorum quos elegit Dominus nomina haec.

I. Simon Petrus, Apostolorum Princeps.
II. Andreas, frater Petri.
III. Jacobus, Zebedaei frater.
IV. Joannes, frater ejus, quem dilexit Jesus, qui fuit Evangelista.
V. Philippus.
VI. Bartholomaeus.
VII. Thomas.
VIII. Jacobus Alphaei, frater Domini secundum carnem, qui dictus est justus.

ι'. Θαδδαῖος ὁ καὶ Λεβαῖος, ὁ ἐπικληθεὶς Βαρσαβάς.
V 171 ια'. Σίμων ὁ Κανανίτης ὁ ἐπικληθεὶς Ἰούδας, Ἰακώβου.
B ιβ'. Ἰούδας Ἰσκαριώτης.

R 506 Τούτους τοὺς ιβ' μαθητὰς ἔχων ὁ κύριος τῶν λοιπῶν αὐτοῦ μαθητῶν κατά τι γέρας ἐξαίρετον ἀποστόλους ὠνόμασεν.

Καὶ αὖθις ἀναδείκνυσιν ἑτέρους ο', ὧντινων καὶ αὐτῶν αἱ προσηγορίαι εἰσὶν αὗται.

α'. Ματθίας, ὃν ἀνέδειξεν ὁ κύριος, ὁ καὶ συγκαταριθμηθεὶς μετὰ τῶν ια' ἀποστόλων μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἀντὶ Ἰούδα τοῦ Ἰσκαριώτου, ὡς περιέχουσιν αἱ Πράξεις.
β'. Σωσθένης, οὗ μέμνηται Παῦλος Κορινθίοις ἐπιστέλλων.
C γ'. Κηφᾶς, ὁμώνυμος Πέτρου, ᾧ καὶ ἐμαχήσατο Παῦλος κατὰ ἰουδαϊσμοῦ.
δ'. Λίνος, οὗ μέμνηται Παῦλος Τιμοθέῳ γράφων.
ε'. Κλεωπᾶς, οὗ μέμνηται εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.
ϛ'. Ἀκύλας.
ζ'. Ἐπαίνετος.
η'. Ἀνδρόνικος.
θ'. Ἀμπλίας.
ι'. Οὐρβανός.

2. ὁ Κανανίτης] Κανανίτης P. 3. ιβ'] ιβ' καὶ V. 4. κύριος] Χριστὸς P. 7. εἰσὶν om. P. 9. ια'] ιβ' P sola. 13. Πέτρῳ P.

IX. Matthaeus Evangelista.
X. Thaddaeus, qui et Lebaeus, cognominatus Barsabas.
XI. Simon Cananites, dictus Judas, Jacobi F.
XII. Judas Iscariotes.

Hos XII. discipulos cum haberet Christus, hos prae caeteris suis Discipulis, singulari quadam praerogativa Apostolos nominavit.

Rursum alios LXX. designavit, quorum pariter haec sunt nomina.

I. Matthias, quem Dominus designavit, qui aliis XI. Apostolis annumeratus est, postquam Dominus est assumptus, loco Judae Iscariotae, ut Acta continent.
II. Sosthenes, cujus meminit Paulus ad Corinthios scribens.
III. Cephas, Petro cognominis, cum quo congressus est Paulus de Judaïsmo.
IV. Linus, cujus meminit Paulus ad Timotheum scribens.
V. Cleopas, cujus meminit Evangelium secundum Matthaeum.
VI. Aquilas.
VII. Epaenetus.
VIII. Andronicus.
IX. Amplias.
X. Urbanus.

ια΄. Στάχυς. D
ιβ΄. Ἀπελλῆς.
ιγ΄. Ἡρωδίων.
ιδ΄. Ἀριστόβουλος.
ιε΄. Νάρκισσος.
ιϛ΄. Ῥοῦφος.
ιζ΄. Ἀσύγκριτος.
ιη΄. Φλέγων.
ιθ΄. Ἑρμᾶς.
κ΄. Πατροβᾶς.
κα΄. Ἑρμῆς.
κβ΄. Φιλόλογος.
κγ΄. Νηρεύς. P 21
κδ΄. Ὀλυμπᾶς.
κε΄. Λούκιος.
κϛ΄. Ἰάσων.
κζ΄. Σωσίπατρος.
κη΄. Τέρτιος.
κθ΄. Γάϊος.
λ΄. Ἔραστος.
λα΄. Κούαρτος, ὧν μέμνηται Παῦλος Ῥωμαίοις ἐπιστέλλων.

1. Νιρεύς V. 10. Πατρωβᾶς PV. 21. ὧν] οὗ P, ὃν V.

XI. Stachys.
XII. Apelles.
XIII. Herodion.
XIV. Aristobulus.
XV. Narcissus.
XVI. Rufus.
XVII. Asyncritus.
XVIII. Phlegon.
XIX. Hermas.
XX. Patrobas.
XXI. Hermes.
XXII. Philologus.
XXIII. Nereus.
XXIV. Olympas.
XXV. Lucius.
XXVI. Jason.
XXVII. Sosipater.
XXVIII. Tertius.
XXIX. Gaius.
XXX. Erastus.
XXXI. Quartus, cujus meminit Paulus ad Romanos scribens.

λβ'. Ἀπολλῶς.

λγ'. Στεφανᾶς.

B λδ'. Φουρτουνᾶτος.

λε'. Ἀχαϊκος, ὧν μέμνηται Παῦλος εἰς τὴν πρὸς Κορινθίους α' ἐπιστολήν.

R 508 λς'. Τύχικος, οὗ μέμνηται Παῦλος Ἐφεσίοις γράφων.

λζ'. Κλήμης, οὗ μέμνηται Παῦλος εἰς τὴν πρὸς Φιλιππησίους.

λη'. Ἐπαφρόδιτος.

λθ'. Ὀνήσιμος.

μ'. Ἀρίσταρχος.

μα'. Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος.

μβ'. Δημᾶς.

C μγ'. Νυμφᾶς.

V 172 μδ'. Ἄρχιππος, ὧν μέμνηται Παῦλος εἰς τὴν πρὸς Κορινθίους.

με'. Ὀνησίφορος.

μς'. Κρήσκης.

μζ'. Ἔραστος.

μη'. Τρόφιμος.

μθ'. Εὔβουλος.

2. *Στέφανος* P. 4. *οὗ* P, *ὃν* RV. 5. *α'* om. P. 6. *οὗ* P, *ὃν* V. 7. *Φιλιππισίους* P. 15. *οὗ* P, *ὃν* V. *ibid.* *τοὺς Κορινθίους* P. Scribe *Κολοσσαεῖς* (IV. 15. 17.).

XXXII. Apollo.
XXXIII. Stephanus.
XXXIV. Fortunatus.
XXXV. Achaicus, cujus meminit Paulus in Epistola ad Corinthios.
XXXVI. Tychicus, cujus meminit Paulus ad Ephesios scribens.
XXXVII. Clemens, cujus meminit Paulus in Epistola ad Philippenses.
XXXVIII. Epaphroditus.
XXXIX. Onesimus.
XL. Aristarchus.
XLI. Jesus, dictus Justus.
XLII. Demas.
XLIII. Nymphas.
XLIV. Archippus, cujus meminit Paulus in Epistola ad Corinthios.
XLV. Onesiphorus.
XLVI. Crescens.
XLVII. Erastus.
XLVIII. Trophimus.
XLIX. Eubulus.
L. Pudens, cujus meminit Paulus in Epistola secunda ad Timotheum.

ν'. Πούδης, ὧν μνημονεύει Παῦλος εἰς τὴν πρὸς Τιμόθεον β' ἐπιστολήν.

να'. Ἀρτεμᾶς.

νβ'. Τύχικος.

νγ'. Ζηνᾶς ὁ νομικός, ὧντινων εἰς τὴν πρὸς Τίτον ἐπιστολὴν D
Παῦλος ἐμνημόνευσεν.

νδ'. Φιλήμων.

νε'. Ἐπαφρᾶς.

νς'. Δημᾶς, ὧντινων καὶ αὐτῶν εἰς τὴν πρὸς Φιλήμονα Παῦλος ἐπεμνήσθη.

Τοὺς δὲ λοιποὺς ιδ' εὑρίσκεις ἅμα Παύλῳ συνανειλημμένους μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου.

Ἀπὸ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη ͵βσξβ'.

Ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὴν ἔξοδον ἔτη ͵αφοε'.

Ἀπὸ τῆς διὰ Μωϋσέως ἐξ Αἰγύπτου πορείας ἐπὶ τὴν πρώ- P 215
την οἰκοδομὴν τοῦ ναοῦ, ἥτις ἀρχὴν ἔλαβε μετὰ τὸ τρίτον ἔτος Σολομῶνος, ἔτη χιδ'.

Ἀπὸ τετάρτου ἔτους Σολομῶνος, ἤγουν τῆς πρώτης ἐπισκευῆς τοῦ ναοῦ ἐπὶ Κῦρον βασιλέα Περσῶν ἔτη υπ' καὶ μῆνες γ'.

Ἀπὸ Κύρου βασιλέως Περσῶν ἐπὶ Ἀλέξανδρον Μακεδόνα ἔτη σμη' καὶ μῆνες θ'.

Ἀπὸ Ἀλεξάνδρου Μακεδόνος ἕως τοῦ παρόντος ιε' ἔτους

1. ὧν] ὃν PV. 6. ὁ Παῦλος P. 11. συναναλελημμένους P, συναλειλημμένους R, συνειλημμένους m. R. 14. ἔτη om. P.

LI. Artemas.
LII. Tychicus.
LIII. Zenas, Jurisperitus; quorum Paulus meminit in Epistola ad Titum.
LIV. Philemon.
LV. Epaphras.
LVI. Demas, quorum meminit Paulus in Epistola ad Philemonem.

Reliquos XIV. invenies comprehensos una cum Paulo post Domini in coelum ascensum.

Ab Adam usque ad diluvium, anni II. MCCLXII.

A diluvio usque ad exitum ex Aegypto, MDLXXV.

A profectione duce Moyse ex Aegypto usque ad primam templi aedificationem, quae post tertium annum Solomonis coepta est, anni DCXIV.

A quarto anno Solomonis, sive prima aedificatione templi, usque ad Cyrum Persarum Regem, an. CCCCLXXX. et menses III.

A Cyro Persarum Rege usque ad Alexandrum Macedonem, anni CCXLVIII. et menses IX.

Τιβερίου Καίσαρος καὶ τὴν καταρχὴν τοῦ σωτηρίου κηρύγματος,
B *ἣ γέγονε κατὰ τὸ παρὸν ἔτος ιε', ἔτη τνς'.*

R 510 *Ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως τοῦ παρόντος ἔτους πεντεκαιδεκάτου Τιβερίου Καίσαρος, ἤγουν τῆς εἰκάδος καὶ αὐτῆς τοῦ μαρτίου μηνός, ἔτη ,εφλζ' πλήρη.*

Μετὰ τὸ βάπτισμα ἐνδιέτριψεν ὁ κύριος εἰς τὰς ἰάσεις ἕτερα γ' ἔτη συναναστρεφόμενος τοῖς μαθηταῖς αὐτοῦ. καὶ τὰ περὶ τούτου Λουκᾶς φανεροῖ, λέγων ὅτι Εἶπεν ὁ κύριος διὰ Ἡρώδην, Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, Ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι, διὰ τούτων τὰ τρία ἔτη σημαίνων. τὸ δὲ εἰπεῖν Σήμερον δείκνυ-
C *σιν ὅτι τῷ πρώτῳ ἐνιαυτῷ τῶν ἰάσεων αὐτοῦ ταῦτα ἐδήλωσεν τῷ Ἡρώδῃ. τοῦτο δὲ αὐτὸ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς δηλοῖ ἀπὸ πάσχων εἰς πάσχα τρία ἔτη καὶ αὐτὸς ἐν ταῖς ἰάσεσιν αὐτοῦ.*

Ἰνδ. β'. ις'. ὑπ. Οὐεννικίου καὶ Λογγίνου.

Ἐν τῷ παρόντι ,εφλη' ἔτει γενέσεως κόσμου, ἀρχὴν εἰληφότι ἀπὸ κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, δεύτερον νομικὸν ἐπετέλεσε πάσχα μετὰ τὸ βαπτισθῆναι ὁ κύριος κατὰ τὸ ἔνατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κατὰ τὸ κβ' ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου.

1. *Τιβερίου — σωτηρίου*] (*Τιβερίου*) *καὶ εἰς τὴν καταρχὴν τοῦ σωτηρίου* P, solum (*Τιβερίου*) R. *Ἕως* simul cum genitivo et accusativo est etiam p. 283. B. 4. *ἀπὸ τῆς* P sola. 5. *πλήρης* V, *πλήρεις* P, om. R. Conf. p. 306. B. 7. *γ' ἔτη*] *ἔτη τρία* P. 8. *λέγων*] XIII. 32. *ib.* *ὁ* om. P. 14. *πάσχων εἰς* om. P. 19. *ἔννατον* P. 20. *ἔτος* om. P. *ibid.* *η' καὶ κ' ετηρίδος* P.

Anni a m. c. Ab Alexandro Macedone usque ad praesentem xv. (Tiberii) annum, et initium praedicationis Christi hoc an. xv. coeptae, anni CCCLVI.

Ab Adam vero usque ad praesentem annum xv. Tiberii Caesaris, sive ad ipsum xx. mensis Martii, colliguntur anni integri v. MDXXXVII.

Post Baptismum, tres alios annos morbis curandis insumpsit Dominus, dum cum discipulis suis conversaretur. Atque haec de eo declarat Lucas, ubi ait: *Dominus dixit de Herode, Euntes, dicite vulpi illi, ecce ejicio daemonia, et sanitates perficio hodie et cras, et tertia die consummor.* Per haec, tres annos indicans. Quod autem dixit, *Hodie*, ostendit quod primo anno suarum curationum haec renuntiavit Herodi. Idipsum etiam indicat Joannes Evangelista, dum a Paschate tres annos et ipse in illius sanationibus statuit.

A. C.
5537. 40. XVI. Ind. II. Vennicio et Longino Coss.

Hoc praesenti v. MDXXXVIII. anno a mundo condito, qui initium sumit a XXI. secundum Romanos mensis Martii, secundum legale Pascha celebravit Dominus postquam est baptizatus, anno IX. naturalis novendecennalis cycli lunae, et XXII. naturalis vigintioctennalis cycli solis.

Θέλοντες δὲ γνῶναι πόστῃ τοῦ μηνὸς ἔφθασεν ἡ ιδʹ τοῦ V 173 D πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ παρὸν ἔτος, εὑρίσκομεν εἰς τὸ ἔνατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος προσκειμένας ἐπακτὰς κηʹ. ταύταις προστίθεμεν ιγʹ τὰς πρὸ τῶν φωστήρων καὶ προσελήνους ζʹ καὶ ιαʹ τὰς ἀπὸ καʹ καὶ αὐτῆς τοῦ μαρτίου μηνός, ἀπριλίου ιεʹ· γίνονται οδʹ. ἔκβα δὶς λʹ· γίνονται ξʹ· λοιπὸν ιδʹ. ἔγνωμεν οὖν ὡς κατὰ τὸ παρὸν ἔτος ἔφθασεν ἡ ιδʹ τῆς σελήνης τῇ ιεʹ τοῦ ἀπριλίου μηνός.

Εἶτα θέλοντες γνῶναι καὶ τὴν ἡμέραν, ἐν ᾗ ἔφθασεν ἡ ιδʹ, εὑρίσκομεν κατὰ τὸ κβʹ ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος προσκει- P 216 μένας ἐπακτὰς εʹ, ταύταις συνάπτομεν τὰς πρὸ τῶν φωστήρων γʹ καὶ ιαʹ ἀπὸ καʹ τοῦ μαρτίου καὶ ἀπριλίου ιεʹ· γίνονται λδʹ. ταύτας ἀνάβαλε εἰς ζʹ· ζʹ δʹ γίνονται κηʹ· λοιπὸν ϛʹ. ἔγνωμεν οὖν ὡς ἡ ιδʹ τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ παρὸν ἔτος ἔφθασεν ἐν ἡμέρᾳ ἕκτῃ.

Τοῦτο τὸ δεύτερον πάσχα φαίνεται δηλῶν ὁ θεῖος εὐαγγελιστὴς Ἰωάννης μετὰ τὸ δεύτερον θαῦμα ὃ ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, ἰασάμενος τὸ παιδίον τοῦ βασιλικοῦ, γράφων οὕτως, Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. B

1. θέλοντες δὲ] εἶτα θέλοντες P, θέλοντες R. 3. ἔννατον PV. *ib.* ιθʹ ετηρίδος P. 4. πρὸ] πρὸς V. 9. εἶτα] εἰ P. 10. ηʹ καὶ κʹ ετηρίδος P. 11. φωτήρων V. 12. Μαρτίου μηνὸς P. 16. δεύτερον om. P. 18. βασιλικοῦ] βασιλίσκου P. 19. οὕτως] IV. 54.

Si nosse velimus quota mensis occurrat XIV. primi mensis lunae hoc praesenti anno, inveniemus anno naturalis decemnovennalis cycli adjunctas epactas XXVIII. His addimus anteluminares XIII. et antelunares VII. et XI. a XXI. Martii mensis, Aprilis vero XV. fiunt LXXIV. deme ex his bis XXX. reliqua sunt XIV. Colligimus igitur hoc anno XIV. lunae XV. mensis Aprilis occurrisse.

Si velimus praeterea nosse etiam et diem (seu feriam) qua occurrit XIV. inveniemus XX. anno vigintioctennalis cycli adscriptas epactas V. his addimus anteluminares III. et XI. a XXI. Mensis Martii, et Aprilis XV. fiunt XXXIV. Has divide per VII. septies IV. efficiunt XXVIII. reliqua sunt VI. Intelligimus ergo XIV. primi mensis hoc praesenti anno occurrisse die VI.

Hocce Pascha videtur indicare divinus Evangelista Joannes, post secundum miraculum quod fecit Jesus in Cana Galilaeae, cum reguli puerum sanavit, ubi ita scribit: *Hoc iterum secundum signum fecit Jesus, cum venisset ex Judaea in Galilaeam. Post haec erat festum Judaeorum, et ascendit Jesus Hierosolymam.*

Ἐπειδὴ γὰρ ἐπίσημον καὶ ἐξαίρετον καὶ πρώτην ἑορτὴν Ἰουδαῖοι τὴν τοῦ πάσχα εἶχον, διὰ τοῦτο ὁ εὐαγγελιστὴς ποτὲ μὲν μετὰ προσδιορισμοῦ ταύτης μέμνηται, λέγων, Ἐγγὺς ἦν τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων, ποτὲ δὲ ἀπροσδιορίστως γράφων, Ἦν ἑορτὴ τῶν Ἰουδαίων.

Τὸ β′ τοίνυν πάσχα δοκεῖ μοι σημαίνειν ἐνταῦθα εἰπών, Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔνθα γὰρ ἑτέρας μνημονεύει τῶν Ἰουδαίων ἑορτῆς, μετὰ προσδιορισμοῦ πάντως ταύτης μέμνηται, ὥσπερ καὶ τῆς ἑορτῆς τῶν σκηνοπηγιῶν, λέγων, Καὶ ἦν ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰου-
C *δαίων ἡ σκηνοπηγία, ὄντος ἀρχιερέως Ἐλεαζάρου υἱοῦ Ἀνάνου.*

Ἰνδ. γ′. ιζ′. ὑπ. Τιβερίου Καίσαρος τὸ ε′ μόνον.

Πάλιν τρίτον νομικὸν πάσχα μετὰ τὸ βαπτισθῆναι ἑορτάζει ὁ κύριος ἐν τῷ ι′ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κγ′ τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου. καὶ θέλοντες γνῶναι πόστη τοῦ μηνὸς ἔφθασεν κατὰ τὸ παρὸν ͵εφλθ′ ἔτος ἀρξάμενον ἀπὸ κα′ καὶ αὐτῆς τοῦ μαρτίου μηνός, εὑρίσκομεν κατὰ τὸ δέκατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος ἐπακτὰς τῆς σελήνης θ′, ταύταις συνάπτομεν τὰς πρὸ τῶν φωστήρων ιγ′, προσελήνους ζ′, καὶ ια′ τὰς ἀπὸ κα′ τοῦ μαρτίου μηνὸς καὶ ἀπριλίου δ′· γίνονται μδ′. ἔκβα λ′· λοιπὸν
D *ιδ′. ἰδοὺ ἔφθασεν ἡ ιδ′ τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ*

3. *λέγων*] VI. 4. 6. *εἰπὼν*] V. 1. 10. *λέγων*] VII. 2. 11. *Ἀνανίου* P. 14. 18. *ιθ′ ετηρίδος* P. 15. *η′ καὶ κ′ ετηρίδος* P. 16. *κατὰ — ἀρξάμενον* om. P. 21. *ἔκβα*] *ἔκβαλε* PV.

Anni a m. c. Cum igitur pro celebri et singulari, ac primario festo Pascha apud Judaeos haberetur, ideo Evangelista quidem interdum illius praecise meminit, dum ait: *Prope erat Pascha festum Judaeorum.* Interdum etiam generatim, ut cum scribit: *Erat festum Judaeorum.*

Secundum ergo Pascha is videtur mihi significare, cum hoc loco dicit: *Post haec erat festum Judaeorum, et ascendit Jesus Hierosolymam.* Ubi enim Judaeorum festi alterius meminit, semper illud designat nominatim, ut cum de festo Scenopegiorum loquitur: *Et erat prope festum Judaeorum*, cum Eleazarus, Ananiae filius, esset Pontifex.

A. C. [Ol. Iph.]

5538. 31. XVII. Ind. III. Tiberio Caesare V. Cos. 3.

Rursus tertium legale Pascha post baptismum peregit Dominus anno x. naturalis decemnovennalis cycli lunae, et XXIII. naturalis vigintioctennalis cycli solis. Si velimus nosse quota mensis occurrit a XXI. mensis Martii, reperiemus incidisse in x. annum naturalis decemnovennalis cycli epactas lunae IX. His adjungimus anteluminares XIII. antelunares VII. et XI. ab XXI. Martii mensis, et IV. Aprilis: fiuntque XLIV. abjice XXX. relinquuntur XIV. ecce occurrit XIV. primi mensis lunae hoc praesenti

παρὸν ἔτος τῇ δʹ τοῦ ἀπριλίου μηνός. εἶτα καὶ τὴν ἡμέραν γνῶ-
ναι βουλόμενοι ἐν ᾗ ἔφθασεν αὐτή, εὑρίσκομεν κατὰ τὸ κγʹ ἔτος
τῆς ὀκτωκαιεικοσαετηρίδος ἐπακτὰς ϛʹ. ταύταις προστίθεμεν τὰς
πρὸ τῶν φωστήρων γʹ καὶ ιαʹ τὰς ἀπὸ καʹ καὶ αὐτῆς τοῦ μαρτίου,
δʹ ἀπριλίου· γίνονται κδʹ. ταύτας παρὰ τὸν ζʹ· ζʹ γʹ γίνονται
καʹ· λοιπὸν γʹ. ἔγνωμεν οὖν ὅτι ἡ ιδʹ τοῦ πρώτου μηνὸς τῆς R 514
σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, κα-
τὰ τὸ παρὸν ͵εφλθʹ ἔτος ἔφθασεν τῇ δʹ τοῦ ἀπριλίου μηνὸς καὶ
ἐν ἡμέρᾳ γʹ.

Τοῦτο τὸ τρίτον πάσχα σημαίνων ὁ θεῖος εὐαγγελιστὴς Ἰω- P 217
άννης, μέλλων τὸ θαῦμα διηγεῖσθαι, ὃ ἐποίησεν ὁ κύριος ἐκ
πέντε ἄρτων πεντακισχιλίους ἄνδρας κορέσας, λέγει, Μετὰ ταῦ- V 174
τα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τι-
βεριάδος, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων τὰ ση-
μεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. ἀνέβη δὲ εἰς τὸ ὄρος ὁ Ἰη-
σοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς
τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ λώῳ κθʹ ὁ ἅγιος Ἰωάννης ὁ πρό-
δρομος καὶ βαπτιστὴς τὴν κεφαλὴν ἀποτέμνεται ὑπὸ Ἡρώδου τοῦ
βασιλέως τῆς Ἰουδαίας, υἱοῦ ὄντος τοῦ πρώτου Ἡρώδου, ἀδελ-
φοῦ Ἀρχελάου, δέσμιος εἰς τὸν Μαχαιροῦντα φρούριον πεμφθεὶς B
διὰ Ἡρωδιάδα, περὶ οὗ μνημονεύει ἡ θεία τῶν εὐαγγελίων γρα-

2. ἐν om. P. 3. ηʹ καὶ κʹ ετηρίδος P. 4. Μαρτίου μηνὸς P. 5. τὸν] τῶν RV. 8. ἔτος ͵εφλθʹ P. 12. λέγει] VI. 1. 18. Λόῳ PV. 21. Μαχεροῦντα PV. 22. γραφή] „Matth. XIV. Marc. VI. Luc. III.“ m. P.

anno IV. Aprilis mensis. Deinde si voluerimus diem nosse seu feriam, qua illa occurrit, invenimus XXIII. anno decemnovennalis cycli epactas VI. his addimus anteluminares III. et XI. hasque a XXI. mensis Martii, et IV. Aprilis, fiuntque XXIV. has per VII. dividimus, septem ter faciunt XXI. supersunt III. Colligimus ergo XIV. primi mensis lunae, qua legale Pascha peragi praecipitur, hoc praesenti anno V. MDXXXIX. in IV. Aprilis incidisse, et in feriam III.

Hoc tertium Pascha indicans divinus Evangelista Joannes, miraculum narraturus, quod fecit Dominus, cum quinque panibus quinque hominum millia saturavit, dicit: *Post haec abiit Jesus trans mare Galilaeae Tiberiadis, et secuta est eum turba multa, quia videbant signa quae faciebat super aegros. Ascendit autem in montem Jesus, et ibi sedebat cum discipulis suis. Erat autem prope Pascha, festum Judaeorum.*

Hoc anno, mense Loo, (Augusto) die XXIX. Sanctus Joannes Praecursor et Baptista capite truncatur ab Herode Rege Judaeae, primi Herodis filio, Archelai fratre: cum vinctus in Macherunta castrum missus fuisset propter Herodiadem: de quo meminit sacra Evangeliorum scriptura. Narrat autem Josephus libro XVIII. Antiquitatum Judaicarum, ut

φή. ἱστορεῖ δὲ καὶ ὁ Ἰώσηππος ἐν ιη' τῆς Ἀρχαιολογίας αὐτοῦ βίβλῳ ὡς διὰ Ἡρωδιάδα, γυναῖκα οὖσαν Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἡρώδου, ὁ ἅγιος Ἰωάννης ἀποτέμνεται. ἀθετήσας γὰρ ἔτι ζῶσαν τὴν προτέραν αὐτοῦ γυναῖκα ὁ Ἡρώδης, κατὰ νόμους αὐτῷ γεγαμημένην, Ἀρέτα δὲ ἦν αὕτη τοῦ Πετραίων βασιλέως θυγάτηρ, τὴν δὲ Ἡρωδιάδα ἔτι ζῶντος διαστήσας τοῦ ἀνδρός, δι' ἣν καὶ τὸν Ἰωάννην ἀνεῖλεν, πόλεμον αἱρεῖται ὁ Ἀρέτας πρὸς τὸν Ἡρώδην, ὡς ἠτιμασμένης αὐτοῦ τῆς θυγατρός, ἐν ᾧ πολέμῳ πάντα φασὶ τὸν Ἡρώδου στρατὸν διαφθαρῆναι, καὶ
C ταῦτα πεπονθέναι τῆς ἐπιβουλῆς ἕνεκα τῆς γενομένης κατὰ τοῦ Ἰωάννου. ὁ δὲ αὐτὸς Ἰώσηππος ἱστορεῖ τῆς βασιλείας ἀποπεπτωκέναι τὸν Ἡρώδην διὰ Ἡρωδιάδα· μεθ' ἧς αὐτὸν καὶ εἰς τὴν ὑπερόριον ἀπεληλάσθαι, Λουγδόνον τῆς Σπανίας πόλιν οἰκεῖν καταδικασθέντα, ὄντος ἀρχιερέως ἐν Ἱερουσαλὴμ Σίμωνος τοῦ Καμαθεὶ υἱοῦ.

Ἰνδ. δ'. ιη'. ὑπ. Περσικοῦ καὶ Βετελλίου.

R 516 Ἰησοῦς ὁ Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς τρεῖς ἐνιαυτοὺς καὶ ος' ἡμέρας μετὰ τὸ βάπτισμα τοῖς ἑαυτοῦ μαθηταῖς τὰ σωτήρια καὶ
D ἐπουράνια μαθήματα παραδοὺς καὶ τὰς περὶ ἑαυτοῦ προφητείας ἐπὶ τὸ πάθος παρῄει τῷ ιθ' ἔτει τῆς Τιβερίου μοναρχίας, ἀρχὴν εἰληφότι τῇ κα' τοῦ μαρτίου μηνὸς τῆς ἐνισταμένης δ' ἰνδικτιῶ-

1. ὁ om. P. 2. τοῦ om. P. 5. Πετρέων PV. 6. Ἡρωδιάδαν V. 11. Ἰώσηππος] Arch. XVIII. 5. 12. τὴν Ἡρωδιάδα P. 13. ὑπερορίαν P. 14. Ἱεροσολύμοις P. 16. Βιτελλίου P sola. 17. ὁ Χριστὸς] Χριστὸς P. 20. παρίει P. 21. τῇ P, τὴν RV.

Anni a m. c. propter Herodiadem, uxorem Philippi fratris Herodis, capite truncatus fuerit Sanctus Joannes. Dimiserat enim Herodes adhuc superstitem priorem uxorem suam, legitimis sibi nuptiis copulatam: erat autem illa Aretae Petraeorum Regis filia. Herodiadem porro a conjuge adhuc in vivis divulsit, ob quam Joannem sustulit. Herodi vero bellum intulit Aretas, ob injuriam filiae illatam, quo in bello universum Herodis exercitum profligatum, idque ob structas Joanni insidias esse passum aiunt. Idem denique Josephus refert ob Herodiadem regno excidisse Herodem, illumque cum ea relegatum, Lugduni Hispaniae urbe habitare jussum, cum summus esset Pontifex Simon Camathi filius.

A. C. [Ol. Iph.]
5539. 32. XVIII. Ind. IV. Persico et Vitellio Coss. 2. 203.

Jesus Christus, Dei filius, cum annis III. et diebus LXXVI. post baptismum discipulis suis salutaria et coelestia praecepta, editasque de se prophetias tradidisset, ad passionem transiit, Imperii Tiberii anno XIX. initium sumente a Martii mensis XXI. praesente IV. Indictione, et anno XI. naturalis decemnovennalis cycli lunae, et XXIV. anno naturalis vigintioctennalis cycli solis.

νος καὶ ια´ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κδ´ ἔτει τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου.

Τοῦτο δὲ τὸ δ´ πάσχα ἐστίν, ἐν ᾧ πέπονθεν ὑπὲρ ἡμῶν Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν. τοῦτο τὸ πάσχα δηλῶν ὁ εὐαγγελιστὴς Ἰωάννης μετὰ τὸ θαῦμα ὃ ἐποίησεν ὁ κύριος ἐγείρας τὸν Λάζαρον ἐκ νεκρῶν, εἴρηκεν οὕτως, Ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. Ἰησοῦς οὖν P 218 οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραΐμ λεγομένην πόλιν, κἀκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ᾽ ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες, Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; δεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὴν ἵνα ἐάν τις γνῷ ποῦ ἐστιν, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν. ὁ οὖν Ἰησοῦς πρὸ ς´ ἡμερῶν B τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. εἶτα οἱ μακάριοι τοῦ κυρίου μαθηταὶ ἠρώτησαν αὐτὸν λέγοντες ὅτι Ἰδοὺ μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται· ποῦ οὖν θέλεις ἑτοιμάσωμέν σοι; δῆλον οὖν ὅτι οὐ κατὰ V 175 τὸν αὐτὸν χρόνον, ἀλλὰ μέλλοντος ἔσεσθαι τοῦ πάσχα μετὰ δύο ἡμέρας. ὅτι δὲ οὐ κατὰ τὴν ιδ´ ἐπετέλεσεν τὸ πάσχα, ἀλλὰ πρὸ

1. ιθ´ ετηρίδος P. 2. η´ καὶ κ´ ετηρίδος P. 4. ὁ κύριος ἀληθινὸς P sola. 5. ὁ om. P. 6. οὕτως] XI. 53. *ib.* τῆς om. R. 21. ἔδεσθαι P. 22. ἐτέλεσεν R.

Hoc est autem quartum Pascha, quo passus est pro nobis Christus Dominus verus Deus noster. Istud Pascha indicans Evangelista Joannes, post miraculum quod fecit Dominus cum Lazarum a mortuis excitavit, sic dixit: *Ab illo ergo die cogitaverunt quomodo interficerent eum. Jesus ergo jam non palam ambulabat apud Judaeos, sed abiit illinc in regionem juxta desertum, in civitatem quae dicitur Ephrem, et ibi morabatur cum Discipulis suis. Erat autem prope Pascha Judaeorum, et ascenderunt multi Hierosolymam de regione ante Pascha, ut sanctificarent seipsos. Quaerebant ergo Jesum. et colloquebantur ad invicem in templo stantes: Quid vobis videtur, quia non venit ad diem festum? Dederunt autem Pontifices et Pharisaei mandatum, ut si quis cognoverit ubi sit, indicet, ut apprehendant eum. Jesus ergo ante sex dies Paschae venit Bethaniam, ubi Lazarus fuerat mortuus, quem suscitavit ex mortuis.* Deinde beati Domini discipuli interrogaverunt ipsum, dicentes: *Ecce post biduum Pascha fit, ubi vis ergo ut paremus tibi?* Patet igitur non eodem tempore Pascha peregisse, cum Pascha manducandum esset post duos dies. Quod vero XIV. non celebravit Pascha, sed prius typicam peregit coenam, quando sanctificatio Azymorum, et festi praeparatio age-

*τούτου τὸ τυπικὸν ἐτέλεσεν δεῖπνον, ὅτε καὶ ὁ ἁγιασμὸς τῶν ἀζύ-
μων καὶ ἡ προετοιμασία τῆς ἑορτῆς ἐγίνετο, εὑρίσκεται τοῖς μα-
θηταῖς μεταδιδοὺς οὐ θύματος οὐδὲ ἀζύμων, ἀλλ' ἄρτου καὶ πο-
τηρίου· ὅτε καὶ τῶν μαθητῶν ἀπένιψεν τοὺς πόδας, καθὰ τὰ
C θεόπνευστα διδάσκει λόγια, ὅπερ οὐ κατὰ τὴν Μωσαϊκὴν πρόσ-
ταξιν ἐπετελεῖτο. εἰ γὰρ μὴ αὐτὸς ἐγίνετο ἀντὶ τοῦ ἀμνοῦ τοῦ
R 518 κατὰ τύπον καὶ σκιὰν θύματος τοῦ πάλαι παρὰ Μωϋσέως προσ-
ταχθέντος θύεσθαι τοῖς εἰς ὕστερον θῦμα, οὐκ ἂν παρῆλθεν
τὰ τοῦ Ἰσραὴλ νόμιμα, ἀλλ' εἶχεν ἂν καὶ πρόβατον θύσασθαι
καὶ μεταδοῦναι τοῖς μαθηταῖς, καθὰ καὶ εἰς τοὺς πρότερον ἐποι-
εῖτο χρόνους, εἰ μὴ ἐπέστη ὁ καιρὸς τῆς συμπληρώσεως τοῦ κατ'
αὐτῶν μυστηρίου, καὶ παύσας τὸν τυπικὸν ἀμνὸν τῇ κβʹ τοῦ κα-
τὰ Ῥωμαίους μαρτίου μηνός, αὐτῇ τῇ ἡμέρᾳ σελήνης ἐχούσης
ιγʹ ὥρᾳ νυκτερινῇ εʹ τῇ ἐπιφωσκούσῃ εἰς εἰκάδα τετάρτην, ὄντος
Ἡρώδου τοῦ τετράρχου βασιλέως, ὡς δηλοῖ Λουκᾶς ὁ εὐαγγελι-
D στής. ἀποθανόντος γὰρ Ἡρώδου τοῦ τὰ νήπια ἀνελόντος ἡ τού-
του μετέπεσεν ἀρχὴ εἰς τοὺς υἱοὺς αὐτοῦ, ὡς ἱστορεῖ Ἰώσηππος,
καὶ γίνεται βασιλεὺς τῆς Ἰουδαίας Ἀρχέλαος, βασιλεύσας ἔτη θʹ.
καὶ μετὰ τὴν τούτου τελευτὴν Ἡρώδης ὁ τετράρχης, ἀδελφὸς αὐ-
τοῦ, βασιλεύει τῆς Γαλιλαίας ἔτη κδʹ, ἕως τῆς τελευτῆς Τιβε-
ρίου. τῆς δὲ Ἰουδαίας Πόντιος Πιλᾶτος ἦν βασιλεύς. Πόντιος
δὲ Πιλᾶτος κατὰ τοῦτο ἐπικέκληται, καθότι νῆσός ἐστιν κατὰ
θάλασσαν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην καλουμένη Πόντος, ἐξ*

13. *αὐτῇ δὲ τῇ* P. *ib.* *τῆς σελήνης* P. 15. *τοῦ* om. R. *ib.* *Λουκᾶς*] XXIII. 17. *Ἰώσηππος*] Arch. XVII. 8. 23. *καλουμένην* P.

batur, inde colligitur neque discipulis tradidisse incensum, neque Azyma, sed panem et calicem, quando etiam discipulorum pedes lavit, quemadmodum a Deo inspirata docent oracula, quod quidem ex praecepto Mosaïco non agebatur. Etenim si ille non fuisset loco agni typici et sacrificii, cum olim a Moyse praescriptum esset iis qui venturi erant, ut hostiam immolarent, minime transgressus fuisset leges Israel, sed ovem sacrificasset, et discipulis communicasset, quemadmodum prioribus annis fecerat, nisi horum mysterii explendi tempus adfuisset, quo scilicet agnus typicus desiit, secundum Romanos Martii mensis XXII. ipso vero die lunae habentis XIII. hora nocturna V. illucescente in XXIV. regnante Herode Tetrarcha, ut indicat Lucas Evangelista Extincto enim Herode, qui infantes sustulerat, in ejus filios regnum est devolutum, ut narrat Josephus, factusque est Rex Judaeae Archelaus, qui annos IX. regnavit. Post illius vero mortem, Herodes Tetrarcha ejus frater regnavit in Galilaea annos XXIV. usque ad mortem Tiberii. Porro Judaeae Pontius Pilatus imperabat. Pontius autem appellatus est Pilatus, ab insula maritima versus Romam veterem, quae Pontus nuncupatur, ex qua Pilatus prodiit, isque a patria Pontius Pilatus vocatus est.

ἧς ὁ Πιλᾶτος ὥρμητο, καὶ ὡς ἀπὸ τῆς πατρίδος Πόντιος Πιλᾶτος ἐχρημάτισεν.

Οὗτος Πόντιος Πιλᾶτος ἀνέκρινε τὸν κύριον· καὶ μαθὼν P 219
ὅτι ἀπὸ τῆς ἐξουσίας ἐστὶν Ἡρώδου, τουτέστιν ἀπὸ τῆς Γαλιλαίας, ὥς φησιν ὁ εὐαγγελιστὴς Ματθαῖος, ἀνέπεμψεν αὐτὸν τῷ Ἡρώδῃ, καὶ πάλιν Ἡρώδης ἔπεμψεν τῷ Πιλάτῳ. κἀκεῖνος πάλιν ἀνέπεμψεν αὐτὸν πρὸς Ἄνναν· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα. καὶ οὗτος Καϊάφας, ὡς ὢν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ τούτου, συνεβούλευσεν τοῖς Ἰουδαίοις λέγων ὅτι Συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. εἶτα πάλιν Ἄννας ἀπέστειλεν τὸν Ἰησοῦν δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον. ἦν δὲ πρωΐ, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς πραιτώριον, ἵνα μὴ μιανθῶ- B
σιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα· κἀκεῖθεν παρεδόθη τῷ Πιλάτῳ. ἦν δὲ παρασκευή· ὥρα ἦν ὡσεὶ τρίτη, καθὼς τὰ ἀκριβῆ βιβλία περιέχει, αὐτό τε τὸ ἰδιόχειρον τοῦ εὐαγγελιστοῦ Ἰωάν- R 520
νου, ὅπερ μέχρι νῦν πεφύλακται χάριτι θεοῦ ἐν τῇ Ἐφεσίων ἁγιωτάτῃ ἐκκλησίᾳ καὶ ὑπὸ τῶν πιστῶν ἐκεῖσε προσκυνεῖται.

Καὶ εὐθέως ἡ γυνὴ τοῦ Πιλάτου ἐδήλωσεν αὐτῷ, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ διὰ αὐτόν. καὶ γνόντες τοῦτο οἱ Ἰουδαῖοι ἐστασίαζον, κράζοντες, Ἆρον ἆρον, σταύρωσον αὐτόν. καὶ εἰσαγαγὼν τὸ ἀλη-

1. *Πόντιος Πιλᾶτος ἐχρημάτισεν* om. R. 5. *Ματθαῖος*] Immo Lucas I. 5. 6. *ἀνέπεμψεν* P. 11. *πρὸς τὸν Κ.* P. 17. *τοῦ θεοῦ* P. 20. *κατὸν ἀρδι* (α superscr.) V, *κατὰ τὸν ἄνδρα* P. 22. *τὸ*] *δὲ* P, om. R.

Hic Pontius Pilatus de Domino cognovit, quem cum intellexisset esse ex Herodis ditione, ex Galilaea scilicet, ut ait Evangelista Matthaeus, hunc misit ad Herodem, Herodes vero remisit ad Pilatum, ille vero ad Annam: erat enim socer Caïphae. Hic Caïphas, utpote Pontifex anni illius, conspiravit cum Judaeis, dicens: *Expedit unum hominem mori pro populo.* Deinde Annas misit Jesum vinctum ad Caïpham Pontificem. Ducunt ergo Jesum a Caïpha in Praetorium. Erat autem mane, et ipsi non introierunt in Praetorium, ut non contaminarentur, sed ut manducarent Pascha, et illic traditus est Pilato. Erat autem Parasceve, hora quasi tertia, quemadmodum accurati libri continent, ipsumque Evangelistae Joannis autographum, quod usque ad haecce tempora, divina gratia, in sanctissima Ephesiorum Ecclesia servatur, et a fidelibus ibi colitur.

Et statim uxor Pilati nunciavit illi: *Nihil tibi et justo illi, multa enim passa sum hodie per visum propter eum.* Hisce perceptis, Judaei, seditione excitata, clamarunt, *Tolle, tolle, crucifige eum.* Ac introducto

C θινὸν πάσχα κατὰ τὰς θείας γραφὰς αὐτὸς πάσχει ὑπὲρ ἡμῶν
τῇ ϛʹ τῆς ἑβδομάδος ἡμέρᾳ, καὶ θύεται, ὡς ἀμνὸς ἀληθὴς
ὑπάρχων καὶ πάσχα ἀληθινὸν ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς
Χριστός. καὶ ἐσκοτίσθη ὁ ἥλιος εἰς ὅλον τὸν κόσμον ἀπὸ ἕκτης
V 176 ὥρας· περὶ οὗ σκότους μέμνηται καὶ Διονύσιος ὁ Ἀρειοπαγίτης
ἐν τῇ πρὸς Πολύκαρπον ἐπιστολῇ τῆς κατὰ τόδε τὸ ἔτος γενομέ-
νης καινοπρεποῦς τοῦ ἡλίου ἐκλείψεως. καὶ οἱ ἔξωθεν δὲ τὸν
ἐνιαυτὸν τοῦτον ἐπεσημήναντο ἀσφαλῶς, εἰπόντες καὶ τὸν γενό-
μενον σεισμόν, καὶ κατ᾽ ἐξαίρετον Φλέγων ὁ τὰς Ὀλυμπιάδας
συναγαγών. λέγει γὰρ ἐν τῷ τρισκαιδεκάτῳ συγγράμματι οὕ-
D τως. „τῷ δὲ τετάρτῳ ἔτει τῆς σβʹ Ὀλυμπιάδος ἐγένετο ἔκλειψις
ἡλίου μεγίστη τῶν ἐγνωσμένων πρότερον· καὶ νὺξ ὥρᾳ ϛʹ τῆς
ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι, σεισμός
τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέ-
ψατο." ταῦτα ὁ δηλωθεὶς ἀνήρ, γνοὺς τὸ παράδοξον τῆς ἐκ-
λείψεως τοῦ ἡλίου. οὔτε γὰρ ἠκούσθη οὐδὲ γέγονεν τοῖς ἔμ-
προσθεν αἰῶσιν περὶ τὴν πανσέληνον ἔκλειψις ἡλίου, ἐπειδὴ
μηδὲ τῇ ἀστρῴᾳ τοῦτο συμβαίνει κινήσει. καὶ τῶν οὕτως ἐπι-
σήμων καὶ ἀπίστοις ἐνιαυτῶν ἡμᾶς τοὺς πιστοὺς σφάλλεσθαι οὐ
καλὸν οὐδὲ δίκαιον· δι᾽ ἡμᾶς γὰρ οὗτος ὁ ἐνιαυτός.

P 220 Περὶ ταύτης τῆς ἡμέρας προεφήτευσε Ζαχαρίας υἱὸς Ἰω-

3. **καὶ θεὸς**] **ὁ θεὸς** P. 4. **ὁ Χ.** R. *ib.* **ἕκτης τῆς** R. 5. **Ἀρεοπαγίτης** P. 6. **τόδε** om. P. 8. **ἐπισημήναντο** P. *ib.* **σεισμὸν γενόμενον** P. 11. **σβʹ**] **οβʹ**, supra scripto ab alia manu **σ**, V. 13. **ὥστε**] **ὡς** R. 14. **τὰ —κατεστρέψατο** om. R. 16. **οὐδὲ**] Fort. **οὔτε**: conf. ad Malal. p. 136. 18. 20. **διὰ γὰρ ἡμᾶς** P, **διὰ ἡμᾶς γὰρ** R.

vero Paschate, juxta sacras Scripturas, ipse pro nobis patitur VI. hebdomadis die, et immolatur, ut qui erat verus agnus, et verum Pascha, Dominus Deus noster Jesus Christus. Et obscuratus est sol per universum mundum a VI. hora. Quarum quidem tenebrarum meminit Dionysius Areopagita in Epistola ad Polycarpum, cum hoc anno insolita contigisset solis defectio. Sed et scriptores Pagani annum hunc diserte notant, scribuntque terrae motum extitisse, ac prae caeteris Phlegon qui Olympiades collegit: Sic enim ait in libro XIII. *Quarto autem anno Olympiadis CCII. facta est solis defectio maxima quanta nunquam antea contigisse legitur, noxque hora diei VI. tanta fuit, ut etiam astra in coelo apparerent, terraeque motus circa Bithyniam, magnam Nicaeae urbis partem evertit.* Haec supra laudatus vir, qui in hac solis defectione quidpiam extraordinarium observarat. Neque enim unquam id fuerat auditum, neque retro ante saeculis acciderat ut in plenilunio solis facta fuisset defectio, quandoquidem id juxta astrorum motus contingere nequit. Qui quidem anni cum ipsis gentilibus insignes adeo extiterint, nos fideles haud par, neque aequum est decipi, cum propter nos is annus acciderit.

*δαὲ λέγων, Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψῦχος καὶ
πάγος ἔσται μίαν ἡμέραν· καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ,
καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.*

Ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς παρέδωκε τὸ πνεῦμα τῇ αὐ- R 522
*τῇ παρασκευῇ ὥραν ἐνάτην. καὶ εὐθέως ἐγένετο εἰς ἅπαντα τὸν
κόσμον σεισμὸς μέγας καὶ τάφοι ἠνεῴχθησαν καὶ νεκροὶ ἀνέστη-
σαν, καθὰ ταῖς θείαις ἐμφέρεται γραφαῖς· ὥστε λέγειν τοὺς Ἰου-
δαίους, Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος, ὃν ἡμεῖς ἐσταυρώσαμεν.
ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τοῦ πάσχα συμφώνως καὶ οἱ λοιποὶ εὐαγγε-* B
λισταὶ σταυρωθῆναι τὸν κύριον δηλοῦσιν.

*Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώμα-
τα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἡ ἡμέρα
ἐκείνου τοῦ σαββάτου, ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν
αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶται, καὶ
τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου ὁμοίως τοῦ
συσταυρωθέντος αὐτῷ. ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον
αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς
τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, καὶ εὐθέως
ἐξῆλθεν αἷμα καὶ ὕδωρ, τὰ δύο καθάρσια τοῦ τε βαπτίσματος* C
*καὶ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων. ἄλ-
λως δὲ τὴν σωτήριον ταύτην ἐπιτελοῦμεν ἑορτὴν μετὰ τὴν ἐκ
νεκρῶν αὐτοῦ ἀνάστασιν, ἥτις τῇ τρίτῃ ἡμέρᾳ μετὰ τὸ σταυρω-*

1. *λέγων*] XIV. 6. 2. *καὶ ἔσται μία ἡμέρα* P. 3. *οὐκ* V. 5. *ἐννάτην* P. *ib.* *τὸν* om. R. 13. *ἐκείνη* P. 20. *ἄλλως*] *ἀλλ' ὥστε* PV. 21. **σωτηρίαν** P, *σωτήριαν* R.

De hoc porro die prophetavit Zacharias filius Jodae, cum ait: *In illa die non erit lux, sed frigus et gelu, et erit dies una: et haec dies illa nota Domino, non dies neque nox, et in tempore vesperi erit lux.*

Dominus vero Jesus Christus animam edidit ipso die Parasceves, hora nona, et statim in universo mundo magnus terrae motus contigit, tumulique sunt aperti, ac mortui resurrexerunt, quemadmodum continetur in sacris Scripturis, ita ut Judaei dicerent: *Vere Dei filius erat iste, quem nos crucifiximus.* In ipso autem Paschatis festo, pari consensu, caeteri quoque Evangelistae Dominum fuisse crucifixum docent.

Judaei ergo ut non manerent in cruce corpora in Sabbato; quoniam Parasceve erat (erat enim magnus ille dies Sabbati), rogaverunt Pilatum, ut frangerentur eorum crura, et tollerentur. Venerunt ergo milites, et primi quidem crura fregerunt, et alterius perinde una cum illo crucifixi. Postquam autem venerunt ad Jesum, ut viderunt illum jam mortuum, non fregerunt crura ejus, sed unus militum lancea latus ejus aperuit, et continuo exivit sanguis et aqua, duo purgatoria, baptismi nempe, et intemeratorum mysteriorum participationis. Sed ut salutarem hunc diem festum peragamus, post illius ex mortuis resurrectionem, quae tertio postquam crucifixus est die contigit, secundum divinas scripturas, primi

θῆναι κατὰ τὰς θείας γραφὰς ἐπιτελεῖται τῇ ιϛ´ τοῦ πρώτου
μηνὸς τῆς σελήνης· ἡ γὰρ ιδ´ εὑρίσκεται οὐχ ἡ ἀνάστασις, ἀλλ᾽
ὁ καιρὸς τῆς σωτηριώδους προσηλώσεως τῆς ἐν τῷ σταυρῷ. καὶ
ἐκ τούτου φαίνονται τοὐναντίον Ἰουδαῖοι ποιοῦντες· ὅτε γὰρ
ἔδει νηστεύειν καὶ μηδαμῶς πανηγυρίζειν, οὗτοι φαίνονται καὶ
εὐφραινόμενοι καὶ ἑορτάζοντες, οὐδαμῶς τὸν καιρὸν τῆς ὄντως
D τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναστάσεως ἐκ νεκρῶν εἰδό-
τες, καὶ ἐκ τούτου μηδὲ ταῖς θείαις γραφαῖς ἑπόμενοι, ἀλλ᾽ οἰ-
κείοις τισὶν ἔθεσιν.

Εἶτα θέλοντες παραστῆσαι ὡς κατὰ τὸ παρὸν πεντακισχι-
λιοστὸν πεντακοσιοστὸν τεσσαρακοστὸν ἔτος γενέσεως κόσμου,
V 177 ἀρξάμενοι ἀπὸ κα´ καὶ αὐτῆς τοῦ μαρτίου μηνός, πόστῃ τοῦ
μηνὸς καὶ ποίᾳ ἡμέρᾳ ἔφθασεν ἡ ιδ´ τοῦ πρώτου μηνὸς τῆς σελή-
νης, εὑρίσκομεν τὰ ,εφλθ´ ἔτη ποιοῦντες παρὰ τὸν ιθ´. ιθ´ σ´
R 524 γίνονται ,γω´, ιθ´ ϟ´ γίνονται ,αψι´, ιθ´ α´ γίνονται ιθ´· λοιπὸν
ι´· καὶ εὑρίσκομεν κατὰ τὸ φύσει μὲν ι´ ἔτος τῆς ἐννεακαιδεκαε-
P 221 τηρίδος, θέσει δὲ ια´ προσκειμένας ἐπακτὰς κα´. ταύταις προσ-
τίθεμεν ιγ´ τὰς πρὸ τῶν φωστήρων, προσελήνους ἑπτά, καὶ γ´
τὰς ἀπὸ κα´ καὶ αὐτῆς τοῦ μαρτίου μηνός, καὶ τοῖς κβ´ λεπτοῖς
ἄλλα λεπτὰ με´ πρόσθες, ὡς τρίτου ἔτους ὄντος μετὰ τὸ βίσεκστον,
καὶ ἐκ τῶν ξζ´ λεπτῶν λαμβάνομεν μίαν, καὶ γίνονται μδ´· ἔκβα

3. τῆς alterum om. R. 5. φαίνονται τοὐναντίον Ἰουδαῖοι ποιοῦντες καὶ P. 7. εἰδότες om. R. 12. ἀρχόμενοι P, ἀρχάμενοι R. 14. τῶν RV, τὸ P. 16. ἐννεακαιδεκα] ιθ´ PV. 20. βίσεκτον P. 21. λαμβάνωμεν PV.

mensis lunae sexta decima celebratur: nam quarta decima, non Resurrectionis sed tempus fuit salutaris crucifixionis. Et ex hoc Judaeos contrarium facere apparet: quando enim jejunium celebrandum est, neque festivitas agi debet, illi contra facere, et se ad laetitiam componere videntur, nullo plane modo tempus vere servatoris nostri Jesu Christi resurrectionis a mortuis celebrantes, cum se minime sacris literis, sed propriis quibusdam ritibus insistere sciant.

Deinde si velimus ostendere quemadmodum hoc praesenti anno a mundi conditu v. MDXL. capto initio a XXI. mensis Martii, in quotam mensis, quamve feriam inciderit XIV. primi mensis lunae, invenimus v. MDXXXIX. quos dividimus per XIX. (hoc modo). Ducantur XIX. in C. prodibunt III. MDCCC. ducantur XIX. in XC. fient MDCCX. ducantur XIX. in I. fient XIX. reliqua sunt X. Unde colligimus anno juxta naturam X. decemnovennalis cycli, secundum vero positionem XI. adjunctas epactas XXI. His addimus XIII. anteluminares, et antelunares VII. et III. a XXI. mensis Martii, et XXII. minutis minuta alia XLV. adjice, cum sit tertius annus post bisextum: et ex LXVII. minutis accipimus I. et fiunt XLIV. abjice XXX. reliqua sunt XIV. et ecce intelligimus uti XIV. primi mensis lunae oc-

λ'· λοιπὸν ιδ'. καὶ ἰδοὺ ἔγνωμεν ὡς ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης ἔφθασεν τῇ κγ' τοῦ μαρτίου μηνός. εἶτα καὶ τὴν ἡμέραν ζητοῦντες γνῶναι, καθ' ἣν ἔφθασεν ἡ ιδ', τοῖς ,εφλθ' προστίθεμεν τὸ τέταρτον ,ατπδ', γινόμενα ὁμοῦ ,ϛϡκγ'· ταύτας παρὰ τὸν ζ'· ζ' ϡ' γίνονται ,ϛτ', ζ' π' γίνονται φξ', ζ' η' νϛ'· B λοιπὸν ζ'. ταύταις προσβάλλομεν γ' τὰς πρὸ τῶν φωστήρων καὶ γ' τὰς ἀπὸ κα' τοῦ μαρτίου μηνός· γίνονται ιγ'· ἔκβα ζ'· λοιπὸν ϛ'.

Καὶ δέδεικται ὡς ἡ ιδ' κατὰ τὸ παρὸν ,εφμ' ἔτος τῆς τοῦ κόσμου γενέσεως καὶ ιθ' τῆς Τιβερίου Καίσαρος μοναρχίας, ἀρχὴν εἰληφὸς ἀπὸ κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἰνδ. δ', καθ' ὃ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν ἑκούσιον καὶ ζωοποιὸν ὑπέμεινε σταυρόν, ἔφθασεν τῇ κγ' τοῦ μαρτίου μηνὸς καὶ ἐν ἡμέρᾳ παρασκευῇ. ἐν ἡμέρᾳ δὲ παρασκευῇ σταυρωθῆναι τὸν κύριον διδάσκουσιν τὰ θεόπνευστα λόγια, ἐν τῇ τοῦ πάσχα C ἑορτῇ, καθὼς ἔμπροσθεν εἴρηται. τριῶν οὖν πάσχα μετὰ τὸ βαπτισθῆναι τὸν κύριον τελεσθέντων, καὶ ἐν τῷ τετάρτῳ ἔτει τῆς τοῦ πάσχα ἑορτῆς ὑπὲρ ἡμῶν σταυρωθέντος τοῦ κυρίου, δείκνυται σαφῶς ὅτι τρία ὁλόκληρα ἔτη τὸ σωτήριον ἐδίδαξεν κήρυγμα καὶ ἡμέρας οϛ', τινὰς μὲν αὐτῶν πρὸ τοῦ πάσχα τοῦ πρώτου κατὰ τὸ ιε' ἔτος τῆς Τιβερίου Καίσαρος μοναρχίας, τινὰς δὲ πρὸ τοῦ κατὰ τὸ παρὸν ἔτος ,εφμ' γεγονότος σωτηριώδους

3. ἔφθασεν] Post haec lacunam habet V. 5. τὸν] τῶν R. 9. ἡ ιδ' om. RV. *ib.* ἔτος ,εφμ' P. 12. ὁ alterum om. P. 14. παρασκευῆς bis P. 18. τῆς om. R. 20. πρώτου τοῦ πάσχα P.

currat XXIII. mensis Martii. Si deinde quaeramus diem, seu feriam, qua occurrit XIV. anni V. MDXXXIX. addimus quartam partem MCCCLXXXIV. et existunt VI. MDCCCCXXIII. his per X. partitis, septies DCCCC. efficiunt VI. MCCC. septies LXXX. efficiunt DLX. VII. VIII. LVI. reliqua sunt VII. quibus addimus III. a XXI. mensis Martii, et fiunt XIII. abjice VII. relinquuntur VI.

Ita igitur demonstratum est quemadmodum decima quarta lunae hoc praesenti a mundi conditu an. V. MDXL. et XIX. Imperii Tiberii Caesaris, anni initio sumpto a XXI. mensis Martii, Ind. IV. quando Dominus noster Jesus Christus salutarem crucem ultro subiit, inciderit in XXIII. mensis Martii, et in diem Parasceves. Die autem Parasceves crucifixum fuisse Dominum docent divinitus inspirata oracula, die scilicet festo, uti superius dictum est. Tribus ergo Paschatis festis, postquam Dominus baptizatus est, exactis, annoque quarto, Paschali festo, pro nobis crucifixo Domino, evidenter ostenditur totos tres integros annos salutarem praedicationem exercuisse, diesque praeterea LXXVI. ac horum quidem ante primum Pascha, anno XV. Imperii Tiberii Caesaris, aliquot vero ante Pascha hujus praesentis an. V. MDXL. quo salutare Pascha contigit. Quod autem Dominus praedicato per tres annos Evangelio, ad voluntariam et

πάσχα. ὅτι δὲ τρεῖς ἐνιαυτοὺς κηρύξας τὸ εὐαγγέλιον ὁ κύριος
D ἐπὶ τὸν ἑκούσιον καὶ ζωοποιὸν ἦλθε σταυρὸν διδάσκει καὶ Ἰγνά-
R 526 τιος ὁ θεοφόρος καὶ μάρτυς, ὁ Ἰωάννου τοῦ θεολόγου γνήσιος
μαθητὴς γεγονώς, τῆς δὲ ἐν Ἀντιοχείᾳ ἁγιωτάτης ἐκκλησίας
ἐπίσκοπος ὑπὸ τῶν ἀποστόλων κατασταθείς. ἐν τῇ πρὸς Τραλ-
λιανοὺς τοίνυν ἐπιστολῇ γέγραφεν ἐπὶ λέξεως οὕτως. „ἀληθῶς
τοίνυν ἐγέννησε Μαρία τὸ σῶμα θεὸν ἔχον ἔνοικον, καὶ ἀλη-
θῶς ἐγεννήθη ὁ λόγος ἐκ τῆς παρθένου Μαρίας, σῶμα ὁμοιο-
παθὲς ἡμῖν ἠμφιεσμένος. ἀληθῶς γέγονεν ἐν μήτρᾳ ὁ πάντας
ἀνθρώπους ἐν μήτρᾳ διαπλάττων, καὶ ἐποίησεν ἑαυτῷ σῶμα
P 222 ἐκ τῶν τῆς παρθένου σπερμάτων, πλὴν ὅσον ὁμιλίας ἀνδρὸς ἄνευ.
ἀληθῶς ἐκυοφορήθη, ὡς καὶ ἡμεῖς, χρόνων περιόδοις, καὶ
ἀληθῶς ἐτέχθη, ὡς καὶ ἡμεῖς. ἀληθῶς ἐγαλακτοτροφήθη, καὶ
τροφῆς κοινῆς καὶ ποτοῦ μετέσχεν, ὡς καὶ ἡμεῖς, καὶ τρεῖς δε-
κάδας ἐτῶν πολιτευσάμενος ἐβαπτίσθη ὑπὸ Ἰωάννου ἀληθῶς καὶ
V 178 οὐ δοκήσει. καὶ γ' ἐνιαυτοὺς κηρύξας τὸ εὐαγγέλιον καὶ ποιήσας
σημεῖα καὶ τέρατα ὑπὸ τῶν ψευδοϊουδαίων καὶ Πιλάτου ἡγεμόνος
ὁ κριτὴς ἐκρίθη, ἐμαστιγώθη ὑπὸ δούλων, ἐπὶ κόῤῥης ἐῤῥαπίσθη,
ἐνεπτύσθη, ἀκάνθινον στέφανον καὶ πορφυροῦν ἱμάτιον ἐφόρε-
σεν, κατεκρίθη, ἐσταυρώθη ἀληθῶς, οὐ δοκήσει, οὐ φαντασίᾳ, οὐκ
ἀπάτῃ. ἀπέθανεν ἀληθῶς, καὶ ἐτάφη, καὶ ἠγέρθη ἐκ τῶν νεκρῶν."
B Ἰδοὺ φανερῶς ὁ τοιοῦτος καὶ τηλικοῦτος τῆς ἐκκλησίας δι-
δάσκαλος τρεῖς ἐνιαυτοὺς κηρῦξαι τὸ εὐαγγέλιον τὸν σωτῆρα
λέγει.

8. ἠμφιεσμένον R. 18. κόρης ἐραπίσθη PV.

vivificam crucem venerit, docet Ignatius ille Deifer et Martyr, qui Joannis Theologi genuinus discipulus fuit, sanctissimaeque Antiochenae Ecclesiae Episcopus ab Apostolis constitutus. Is quippe in Epistola ad Traillianos sic verbo tenus scripsit: *Vere etenim peperit Maria corpus, Deo in ea habitante, et vere natus est Deus Verbum ex Virgine: corpus similiter nobis passibile sine peccato induens: vere conceptus est in utero, et factus est in vulva, (qui omnes homines in vulva fingit) formans et faciens sibi corpus ex Virgine, sine semine scilicet et consuetudine viri: portatusque in utero, sicut et nos tempore portati sumus: et vere lactatus est, et nutritus sicut nos, et cibo et potu sicuti et nos usus est: et triginta annos agens baptizatus est a Joanne, in veritate et non in phantasmate: et tribus annis praedicavit Evangelium, et fecit signa et prodigia coram falsis Judaeis: et a Pilato Praeside Judex judicatus est, flagellatus est, colaphis caesus est, consputus est, spineam coronam purpureamque vestem portavit, condemnatus est, crucifixus est vere, sepultus est, et resurrexit a mortuis.*

Ecce aperte omnino talis ac tantus Ecclesiae doctor triennio a servatore praedicatum Evangelium dicit.

Οἱ δὲ κατὰ τῶν ἑορτῶν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας γράψαι τολμήσαντες τέσσαρας ἐνιαυτοὺς ὁλοκλήρους καὶ ἡμέρας τινὰς κηρῦξαι τὸν κύριον τὸ εὐαγγέλιον ἀπεφήναντο, ἐναντιούμενοι τῷ ῥηθέντι θεοφόρῳ καὶ μάρτυρι καὶ ταῖς ἁγίαις γραφαῖς.

Ὅτι δὲ τρεῖς ἐνιαυτοὺς ὁ σωτὴρ ἐδίδαξε τὸ κήρυγμα δείκνυται καὶ ἐξ ἑτέρων ἀναγκαίων λόγων, ἔκ τε τῶν ἱερῶν εὐαγγελίων καὶ ἐκ τῶν Ἰωσήππῳ τῷ παρ᾽ Ἑβραίοις σοφῷ γραφέντων καὶ ἐξ ὧν, ὡς πρόκειται, ὁ παρὰ τοῖς Ἕλλησι χρονογράφος ἱστόρησε C Φλέγων ὁ τὰς Ὀλυμπιάδας τεθεικώς, λέγων, Τῷ δὲ τετάρτῳ ἔτει τῆς σβ′ Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωσμένων R 528 πρότερον· καὶ νὺξ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι, σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο. ταῦτα ὁ δηλωθεὶς ἀνήρ. τὰ μέντοι ἱερὰ εὐαγγέλια ἄρξασθαι τὸν κύριόν φασι τοῦ σωτηρίου κηρύγματος ἐπὶ Ἄννα ἀρχιερέως, σταυρωθῆναι δὲ ἐπὶ Καϊάφα λέγουσιν. ὁ δὲ Ἰώσηππος ἐν τῷ ιη′ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας γράφει τρεῖς ἀρχιερεῖς μετὰ τὸν Ἄνναν γεγονέναι, Ἰσμάηλον τὸν τοῦ Βαφεὶ καὶ Ἐλεάζαρον τὸν τοῦ Ἀνάνου υἱὸν καὶ Σίμωνα τὸν τοῦ Καμαθεί, καὶ τότε μετ᾽ ἐκείνους τὸν Καϊάφαν ἀρχιερέα γενέσθαι. ἐνιαύσιος δὲ ὁ τῆς ἑκάστου D ἀρχιερωσύνης ἦν χρόνος. ἐξ ὧν δῆλον ὅτι τρεῖς ἐνιαυτοὺς

9. *χρονογράφοις* P. 10. *τεθηκώς* PV. 11. *σβ′*] *οβ′* V. 13. *τῷ οὐρανῷ* P. 17. *ιη′*] 3. 18. *Ἄννα* PV. 20. *Ἀννάνου* P. 21. *ἐνιαυτὸς* P.

Qui ergo adversus Sanctae Catholicae et Apostolicae Ecclesiae dies festos ausi sunt scribere, quadriennio toto, diebusque aliquot a Domino Evangelium fuisse praedicatum, sancto Deifero Martyri, et sacris literis contraire deprehenduntur.

Quod vero Servator per tres annos Evangelium praedicaverit, patet praeterea ex aliis necessariis rationibus, et sacris Evangeliis, et ex scriptis Josephi, viri inter Judaeos docti: atque adeo ex iis, ut ante dictum est, quae inter Graecos chronologos celebris Phlegon narravit, qui Olympiadum rationem conscripsit, hisce verbis: *Quarto autem anno CCII. Olympiadis magna et insignis inter omnes, quae ante eam acciderant, defectio solis contigit: dies hora sexta in tenebrosam noctem ita versus est, ut stellae in coelo visae sint, terraeque motus in Bithynia Nicaeae urbis multas aedes subvertit.* Haec supradictus vir. Salutare quidem praedicationis munus a Christo coeptum, Anna Pontificatum obtinente, Christum vero crucifixum sub Caïpha, docent sacra Evangelia. Josephus vero lib. XVIII. Antiq. Judaïc. scribit tres Pontifices post Annam fuisse, Ismaëlem Baphi F. Eleazarum Annani F. et Simonem Camathi F. post hos autem Caïpham Pontificatum obtinuisse. Singulorum porro unius anni fuit Pontificatus. Unde liquet tribus annis integris Ismaëlis, Elea-

τοῦ Ἰσμαήλου καὶ τοῦ Ἐλεαζάρου καὶ τοῦ Σίμωνος ὁλοκλήρους
ἐκήρυξεν ὁ σωτὴρ τὸ εὐαγγέλιον τῆς βασιλείας, ἡμέρας δέ τινας
ἐκ τοῦ τέλους τῆς ἀρχιερωσύνης τοῦ Ἄννα καὶ ἡμέρας τινὰς ἐκ
τῆς ἀρχῆς τῆς τοῦ Καϊάφα ἀρχιερωσύνης. τῇ τεσσαρεσκαδεκά-
τῃ οὖν, ὡς πρόκειται, τοῦ πρώτου μηνὸς τῆς σελήνης ἐσταυ-
ρώθη ὁ κύριος καὶ ἐν ἡμέρᾳ ἕκτῃ τῆς ἑβδομάδος.

Κἀντεῦθεν δείκνυται ὅτι καθ' ἣν ἡμέραν ἔπλασε τὸν ἄνθρω-
πον αὐτὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, αὐτὸς ἐπὶ συντελείᾳ τῶν αἰώ-
P 223 νων ἐσταυρώθη ἐν ἡμέρᾳ ἕκτῃ δι' ἡμᾶς τοὺς ἐξ αὐτοῦ ὑπὸ τὴν
ἀπόφασιν τοῦ θανάτου διὰ τὴν ἁμαρτίαν γενομένους, ἵνα ἡμῖν
τῷ οἰκείῳ πάθει τὴν ἀπάθειαν χαρίσηται, καθά φησιν ὁ μέγας
Βασίλειος. καὶ τῇ ιϛ' κατὰ σελήνην, ἐν ᾗ τὸ δράγμα προσέτα-
ξεν ὁ θεῖος νόμος προσφέρεσθαι ἀπαρχὴν θερισμοῦ, καὶ πρὸ τοῦ
ἐπελθεῖν δρέπανον ἐπ' ἀμητὸν ἀνέστη ἐκ νεκρῶν, ἀπαρχὴ τῆς
ἀνθρωπότητος γενόμενος ὁ κύριος ἡμῶν καὶ σωτὴρ ὁ Χριστὸς
πρὸ τοῦ ἐπελθεῖν τὸ τῆς συντελείας δρέπανον τῷ κόσμῳ. καὶ
καθὼς προδιέγραψεν ἐν τῇ προσφορᾷ τοῦ δράγματος τῆς ἀπαρ-
B χῆς, οὕτως ἀνέστη, λυτρωσάμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν,
ἐν ᾗ προσήνεγκεν τὸ δράγμα τῆς ἀπαρχῆς τοῦ ἡμετέρου φυράμα-
τος τῷ θεῷ καὶ πατρὶ τὴν ἐξ ἀναστάσεως τῶν νεκρῶν ἀπαρχὴν
κατὰ τὰς ὑπ' αὐτοῦ περὶ ἑαυτοῦ προῤῥηθείσας γραφάς.

Ἐκ ταύτης δὲ τῆς ἡμέρας, τουτέστιν τῆς ιϛ' καὶ αὐτῆς τοῦ

3. τοῦ τέλους — ἐκ om. P. 12. προέταξεν R, alterum in m. ponens. 14. ἀπελθεῖν P. 19. ἐν om. P. 21. περὶ ἑαυτοῦ om. P. ib. προρηθείσας PV.

zari, ac Simonis, Evangelium de regno coelesti praedicasse Salvatorem, et diebus aliquot ex initio Pontificatus Caïphae. Decima quarta igitur, ut supra dictum est, primi mensis lunae cruci affixus est Dominus, et feria VI. hebdomadis.

Hinc pariter patescit, eodem die quo hominem olim formarat verus Deus noster, eundem in saeculorum consummatione, die sexto, crucifixum pro nobis, qui ex eo procreati per sententiam propter peccatum morti addicti fueramus, ut morte sua impassibilitatem nobis compararet, quemadmodum ait magnus Basilius. Et sexta decima luna mensis, qua divina lex manipulum primitiarum ex messe offerri praeceperat, et antequam falx mitteretur in messem, surrexit ex mortuis, in primitias factus humanitatis Dominus noster et Salvator Christus, antequam falx consummationis in mundum mitteretur. Et quemadmodum praescripserat in oblatione manipuli primitiarum, ita surrexit, asserta nostra ex corruptione vita, in qua manipulum primitiarum nostri fermenti obtulit Deo Patri, ex mortuorum resurrectione primitias, secundum ab eo praenuntiatas scripturas.

Ab hoc porro die, hoc est XVI. ipsius scilicet primi mensis, prae-

πρώτου μηνός, ἀριθμεῖν τὰς ν' ἡμέρας τῆς πεντηκοστῆς ὁ θεῖος παρεκελεύσατο νόμος. καὶ τῇ τεσσαρακοστῇ ἡμέρᾳ τῆς ἀναστά- R 530 V 179
σεως αὐτοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀνελήφθη εἰς τοὺς οὐρανοὺς τῇ τρίτῃ τοῦ ἀρτεμισίου μηνὸς ἐν ἡμέρᾳ πέμπτῃ τῆς ἑβδομάδος, καὶ καθὼς γέγραπται, Ἀνάστηθι, κύριε, εἰς C
τὴν ἀνάπαυσίν σου σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. καὶ ὁ ἅγιος Ἀθανάσιος ἑρμηνεύων τὸν ρλα' ψαλμὸν ἔγραψεν οὕτως· „Ἀνάστηθι, κύριε, εἰς τὴν ἀνάπαυσίν σου· τὴν εἰς οὐρανοὺς ἀνάληψιν ἐπισπεύδουσιν αὐτοῦ. Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου τὴν ἁγίαν αὐτοῦ σάρκα φησί· μετ' αὐτῆς γὰρ ἀνελήφθη. οὐ γὰρ ἀποσαρκοῦται εἰς τοὺς ἀγηράτους αἰῶνας τῶν αἰώνων."

Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν ἀποβολὴν τοῦ ἔθνους τῶν Ἰουδαίων, ὅσοι τῆς τοῦ δεσπότου Χριστοῦ κλήσεως δι' οἶκτον φιλανθρωπίας γεγόναμεν ἄξιοι, τὸ σκιῶδες πάσχα οὐκέτι ἐπετελέσαμεν· παρῆλθε γὰρ ἡ σκιὰ τοῦ νό- D
μου τῆς χάριτος ἐπελθούσης. καὶ τῇ ιγ' τοῦ ῥηθέντος ἀρτεμισίου μηνὸς ἐν ἡμέρᾳ κυριακῇ, αὐτῇ τῇ πεντηκοστῇ ἡμέρᾳ τῆς σωτηριώδους ἀναστάσεως, ἐπεδήμησε τοῖς ἀποστόλοις ἐν πυρίναις γλώσσαις τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. πλησθέντες δὲ οἱ ἀπόστολοι πνεύματος ἁγίου ἤρξαντο κηρύσσειν τὸ εὐαγγέλιον τῆς βασιλείας. ἐξ ἧς κανονίζοντες τὴν διὰ τὴν ἡμετέραν σωτηρίαν γενομένην ἀνάστασιν ἐν τῇ ἁγίᾳ κυριακῇ, ἑορτάζομεν τὸ ἐκκλησιαστικὸν κήρυγμα η' ἡμέρας,

cepit lex divina ut dies Pentecostes putarentur: quadragesimo vero die post resurrectionem suam Dominus noster Jesus Christus in coelum assumptus est tertio die Artemisii, seu Maii mensis, feria quinta hebdomadis, et quemadmodum scriptum est: *Surge, Domine, in requiem tuam, tu et arca sanctificationis tuae.* Et Sanctus Athanasius in CXXXI. Psalmi explanatione hunc in modum scripsit: *Surge Domine in requiem tuam: ascensum in coelum ipsius accelerant: Tu et arca sanctificationis tuae: sanctum ipsius corpus dicit, cum hoc enim assumptus est; neque enim humanitatis naturam unquam in omnes aeternitates exuit.*

Post Assumptionem Domini nostri Jesu Christi, et dejectionem gentis Judaeorum, quotquot Domini nostri, ex illius clementia et misericordia, digni facti sumus vocatione, umbraticum illud Pascha non amplius celebravimus: legis enim umbra, gratia adveniente, praeteriit. Et XIII. dicti mensis Artemisii, die Dominica, ipsa quinquagesima die post salutarem resurrectionem, spiritus Sanctus in ignitarum linguarum specie ad Apostolos venit, et sedit super unum quemque eorum. Repleti ergo Spiritu sancto coeperunt praedicare Evangelium regni (Dei). Ex quo tempore celebrantes propter nostram salutem factam Resurrectionem die

P 224 ὥς φησιν ὁ ἅγιος Ἰωάννης. καὶ ἐκ τούτου τοῦ ἐνιαυτοῦ ἠρξάμεθα ἡμεῖς οἱ χριστιανοὶ ἑορτάζειν τὴν ζωοποιὸν ἀναστάσιμον ἑορτὴν τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Εἰσὶν δὲ καὶ οἱ ἐπίσημοι τῶν ἀποστόλων γεγονότες μετὰ τοὺς προγεγραμμένους ιβʹ μαθητὰς τοῦ κυρίου κατὰ τὸ ιεʹ ἔτος τῆς Τιβερίου Καίσαρος μοναρχίας, οἵτινες μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, καὶ αὐτοί εἰσιν οἵδε.

νζʹ. Βαρνάβας.

νηʹ. Μάρκος ὁ εὐαγγελιστής.

νθʹ. Σιλᾶς.

ξʹ. Λουκᾶς ὁ ἰατρὸς καὶ εὐαγγελιστὴς γενόμενος, περὶ οὗ Παῦλος ἐν τῇ πρὸς Κολοσσαεῖς ἐμνημόνευσεν ἐπιστολῇ.

ξαʹ. Τιμόθεος.

ξβʹ. Σιλουανός.

ξγʹ. Τίτος.

R 532 Εἰσὶν δὲ καὶ οἱ κατασταθέντες διάκονοι μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου ζʹ.

B ξδʹ. Στέφανος ὁ πρῶτος μάρτυς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ ἀνῃρέθη λιθοβοληθεὶς ὑπὸ Ἰουδαίων.

ξεʹ. Φίλιππος.

ξϛʹ. Πρόχωρος.

ξζʹ. Νικάνωρ.

ξηʹ. Τίμων.

5. οἱ om. P. 8. Ante καὶ addit m. R ἤνθησαν. 19. μάρτυρ P. 22. Πρόχορος P.

Dominica, festum agimus praedicationis Ecclesiasticae octo diebus, ut ait Sanctus Joannes. Et ab hoc anno nos Christiani coepimus colere diem vivificae Resurrectionis Domini Jesu Christi vere Dei nostri, cui gloria in saecula, Amen.

ultabundus et certus agit, et veluti (cum Christo) consurrexerit ac consederit, dicens: *In coelestibus spei dati sumus;* et alia infinita, quae nunc commemorare haud promptum est. Quorundam tamen mentionem faciemus, ne sermonem protrahamus. Scribit ergo in Epistola I. ad Corinthios in haec verba: *Si in vita hac sperantes in Christo sumus tantum, miserabiliores omnibus hominibus sumus.* Sedenim, Paule, post hanc vitam, quae spes alia speranda est? *Sane*, inquit, *melior vita restat, firma et coelestis, jurejurando nobis a Deo promissa. Dicit enim: In quo abundantius volens Deus ostendere haeredibus promissionis immobilitatem consilii sui, interposuit jusjurandum, ut per duas res immobiles, in quibus impossibile est mentiri Deum, fortem consolationem habeamus, qui confugimus, ad tenendam propositam spem, quam sicut ancoram habemus animae, tutamque ac firmam et ingredientem in interius velaminis, ubi praecursor pro nobis introivit Jesus secundum ordinem Melchisedec, Pontifex factus in aeternum.*

Et rursum: *Scientes habere vos meliorem substantiam et permanentem.* Et iterum: *Quapropter regnum immobile accipientes.* Et rursum:

νοντες. καὶ πάλιν, Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ D
τὴν μέλλουσαν ἐπιζητοῦμεν. καὶ πάλιν, Παράγει γὰρ τὸ σχῆμα R 556
τοῦ κόσμου τούτου. καὶ πάλιν, Ἡ δὲ εὐσέβεια πρὸς πάν-
τα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς
μελλούσης. καὶ πάλιν, Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογί-
ζομαι κατειληφέναι, ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος,
τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βρα-
βεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ὅσοι οὖν
τέλειοι, τοῦτο φρονῶμεν. καὶ πάλιν, Ἡμῶν δὲ τὸ πολίτευμα
ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον
Ἰησοῦν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ
γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. καὶ πά-
λιν, Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δό- P 236
ξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ
πάλιν, Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ V 189
Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος, τὰ ἄνω φρονεῖτε,
μὴ τὰ ἐπὶ τῆς γῆς. καὶ πάλιν, Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ
κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν
τοῦ κυρίου, οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ
κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ
καταβήσεται ἀπὸ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσον-

1. *πάλιν*] Hebr. XIII. 14. 2. *καὶ — τούτου* om. P. *ibid. πάλιν*] I. Cor. VII. 31. 3. *πάλιν*] I. Timoth. IV. 8. 5. *πάλιν*] Philip. III. 13. 7. *διώκων* R. 9. *πάλιν*] 20. 12. *αὐτῷ* R. *ib. τῷ σώματι* om. P, addit m. R. *ib. πάλιν*] Tit. II. 13. 15. *πάλιν*] Coloss. III. 1. 17. *πάλιν*] I. Thessalon. IV. 15. 19. *ὁ* om. P.

Non enim habemus hic manentem civitatem, sed futuram inquirimus. Rursum: *Pietas ad omnia utilis est, quae promissionem habet et praesentis vitae et futurae.* Rursum: *Fratres, ego meipsum non arbitror comprehendisse, unum autem, quae quidem retro obliviscens, ad ea vero quae sunt priora extentus, ad scopum destinatum persequor ad bravium supernae vocationis Dei in Christo Jesu. Quicunque ergo sumus perfecti, hoc sentiamus.* Et rursum: *Nostra autem conversatio in coelis est, unde etiam Salvatorem expectamus Dominum Jesum, qui reformabit corpus humilitatis nostrae configuratum corpori claritatis suae.* Et iterum: *Expectantes beatam spem, et revelationem gloriae magni Dei, et Salvatoris nostri Jesu Christi.* Et rursum: *Si ergo consurrexistis cum Christo, quae sursum sunt quaerite, ubi Christus est in dextera Dei sedens, quae sursum sunt sapite, non quae super terram.* Et alio loco: *Hoc enim vobis dicimus in verbo Domini, quod nos qui vivimus, qui residui sumus in adventum Domini, non praeveniemus eos qui dormierunt. Quoniam ipse Dominus, in jussu, in voce Archangeli, in tuba Dei descendet de coelo, et qui mortui in Christo sunt, exurgent primum, deinde nos, qui vivimus,*

ται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα αὐτοῖς B *ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα· ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. καὶ πάλιν, οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσιν. καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευσαν, ἀφ᾽ ἧς ἐξέβησαν, εἶχον ἂν καιρὸν ἀνακάμψαι, νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. καὶ πάλιν, Ἐξεδέχοντο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. καὶ πάλιν, Τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθείας ἣν ἔπηξεν ὁ* C *κύριος καὶ οὐκ ἄνθρωπος. ἀλλὰ καὶ ἐν ταῖς Πράξεσιν, ὅταν τῷ Φήστῳ καὶ τῷ Ἀγρίππᾳ ἐπὶ βήματος διελέγετο, ταῦτά φησι·* R 558 *Περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ· τί; ἄπιστον κρίνεται παρ᾽ ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; καὶ πάλιν, Ἕνεκα τούτου Ἰουδαῖοι συλλαβόμενοι ὄντα ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς ἀπὸ τοῦ θεοῦ ἄχρι τῆς ὥρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι καὶ Μωϋσῆς, εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσιν.*

3. *ἀλλήλοις* V. 4. *πάλιν*] Hebr. XI. 16. 9. *πάλιν*] 10. *ib.* *ἐξεδέχετο* P. 10. *πάλιν*] VIII. 2. 12. *ταῖς Πράξεσιν*] XXVI. 7. 15. *ἐγείρει τοὺς νεκρούς* P. *ib.* *πάλιν*] 21. 18. *μαρτυρούμενος* P, *μαρτυρώμενος* V. 19. *μελλόντων*] *μετ᾽ ὀλίγον* P. 20. *εἰ πρῶτος*] *ἢ πρῶτος* V.

qui relinquimur, simul cum ipsis rapiemur in nubes, in occursum Domini in aëra, et sic semper cum Domino erimus. Itaque consolamini invicem in verbis istis. Et rursum: *Qui enim haec dicunt, significant se patriam inquirere. Et si quidem ipsius meminissent, de qua exierunt, habebant utique tempus revertendi, nunc autem meliorem appetunt, id est, coelestem. Ideo non confunditur Deus, Deus vocari eorum: paravit enim illis civitatem.* Et alibi: *Expectabat enim fundamenta habentem civitatem, cujus artifex et conditor Deus.* Et alio loco: *Sanctorum minister et tabernaculi veritatis, quod fixit Dominus, et non homo.* Quin et in Actis Apostolorum, quando ad Festum et Agrippam pro tribunali sedentes verba fecit, haec dixit: *De qua spe, Rex, accusor a Judaeis? Quid incredibile judicatur apud vos, si Deus mortuos suscitat?* Et rursum: *Hac ex caussa me Judaei, cum essem in templo, comprehensum tentabant occidere. Auxilio autem adjutus a Deo usque ad hanc horam, testificans minori et majori, nihil extra dicens, quam ea quae Prophetae locuti sunt paulopost futura esse, et Moyses, si passibilis Christus, si primus ex resurrectione mortuorum, lumen annunciaturus est populo et gentibus.*

Καὶ εἰ θελήσομεν πάσας τὰς τοῦ ἀποστόλου χρήσεις ἀναλέξασθαι [D] περὶ τούτου, σχεδὸν τὰς ι' καὶ δ' αὐτοῦ ἐπιστολὰς ὅλας δι' ὅλου εὑρήσομεν περὶ τούτου λεγούσας ὅτι ἐκ ταύτης τῆς καταστάσεως ἐπὶ τὴν μέλλουσαν ἐπειγόμεθα δραμεῖν. ὅθεν καὶ παραγγέλλει λέγων, Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, Κατάπαυσιν αὐτὴν εἰρηκώς, ὡς ἑτέρας μὴ οὔσης μετ' αὐτήν, ἀλλὰ καὶ βασιλείαν ἀσάλευτον. ἰδοὺ δέδεικται διὰ τῶν ἀρχαίων ἀνθρώπων καὶ τῶν προφητῶν πάντων, εὐαγγελιστῶν τε καὶ ἀποστόλων, ὡς προειρήκασιν ἅπαντες ὡς ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ μέχρις Ἰωάννου τοῦ βαπτιστοῦ εἰς τὴν μέλλουσαν κατάστασιν ἀφορῶσιν. τοῦτο πεποιήκαμεν ὅπερ καὶ ὁ [P 237] δεσπότης Χριστὸς καὶ οἱ τούτου μαθηταὶ καὶ ἀπόστολοι διαῤῥήδην λοιπὸν ἐκήρυξαν ὡς ἔστιν τις μέλλουσα κατάστασις κρείττων τῆς ἐνταῦθα πολύ, ἣν ἐν ἑαυτῷ πρῶτος ἡμῖν ἔδειξεν ὁ δεσπότης Χριστὸς ἀναστὰς ἐκ τῶν νεκρῶν καὶ εἰς οὐρανὸν ἀνεληλυθώς, ἣν καὶ οἱ πρῶτοι σκοπῷ τινι ἐμήνυσαν καὶ οἱ μετὰ ταῦτα σαφῶς διαγγέλλουσιν, καὶ ὅτι οὐδεὶς αὐτῶν ποτε οὔτε τῶν νεωτέρων οὔτε τῶν ἀρχαίων ἑτέραν ποτὲ κατάστασιν ἢ πρεσβυτέραν ἢ μεταγενεστέραν τούτων τῶν δύο ἐκήρυξαν ἢ ἐφαντάσθησαν, ἀλλ' ὅτι ἀρξάμενος ὁ θεὸς ποιῆσαι τὴν κτίσιν πᾶσαν τὰς δύο ταύτας μόνον καταστάσεις ἐποίησεν, ταύτην πρῶτον ὁρίσας πο- [B] λιτεύεσθαι, εἶθ' οὕτω τὴν μέλλουσαν, εἰς ἣν ἀφορᾷ πᾶς ὁ σκο-

1. θελήσωμεν PV. 4. ἐπειγώμεθα PV. *ibid.* παραδραμεῖν P. 5. λέγων] Hebr. IV. 11. 12. οἱ διαῤῥήδην P. 13. κρείττω V. 14. ἐν om. P. 16. οἱ prius om. P. 20. τὰς — ἐποίησεν om. P.

Quod si omnia Apostoli hac de re dicta velimus excerpere, quatuordecim ejus Epistolas fere integras ubique de illo loqui animadvertemus, et quod de hoc praesenti ad futurum statutum currere contendimus. Unde hortatur, cum ait: *Festinemus ergo ingredi in illam requiem.* Ubi, *Requiem illam* dixit, tanquam post eam nulla alia sit, sed regnum immobile. Ecce demonstratum est per priscos illos, et per cunctos Prophetas, Evangelistas et Apostolos, quemadmodum omnes praedixere, ut a primo homine creato Adam, usque ad Joannem Baptistam, ad futurum vitae statum respiciant. Hoc fecimus quod et Dominus Christus, ejusque discipuli et Apostoli, qui disertis verbis praedicarunt futurum, praesenti vitae statu longe esse potiorem, quem in seipso primus nobis exhibuit Dominus Christus, cum ex mortuis resurrexit, et in coelum ascendit, quem priores collineatione quadam indicarunt, posteriores vero aperte denuntiarunt, sed et eorum neminem unquam, neque recentiorum, neque veterum, antiquiorem alium vel posteriorem hisce duobus statum praedicasse, vel finxisse: sed cum Deus mundum hunc universum coepit condere, primum quidem statum obtinere voluisse, ac futurum deinde, in quem Dei et ejus scripturarum scopus omnis collineat. Erubescant ergo

πὸς τοῦ θεοῦ καὶ τῶν γραφῶν αὐτοῦ. αἰσχυνέσθωσαν τοίνυν
V 190 Ἕλληνες οἱ συναΐδιον τῷ θεῷ τὸν κόσμον ὑποτιθέμενοι καὶ προβιοτὴν καταγγέλλοντες καὶ ἀνάστασιν σωμάτων ἀθετοῦντες. αἰσχυνέσθωσαν καὶ οἱ τούτων ἐπακόλουθοι, οἱ χριστιανίζειν μὲν δοκοῦντες, τῷ δὲ ἔργῳ τὰ τῶν Ἑλλήνων φρονοῦντες, οἱ λέγοντες
R 560 σφαιροειδῆ εἶναι τὸν οὐρανόν· οὐδὲν γὰρ ἕτερον καὶ αὐτοὶ λέγουσιν ὧν οἱ Ἕλληνες καταγγέλλουσιν, ἀεὶ τὸν κόσμον οὕτως ἐν φθορᾷ τῶν σωμάτων μηδέποτε γίνεσθαι μήτε ἑτέραν κατάστασιν. αἰσχυνέσθωσαν Μανιχαῖοι καὶ Μαρκιωνισταὶ τὰς σάρκας ἀπο-
C βαλλόμενοι καὶ πονηρᾶς ἀρχῆς αὐτὰς ποιήματα καταγγέλλοντες. αἰσχυνέσθωσαν πάντες οἱ ἀθετοῦντες τὴν ἡμετέραν σάρκα, καὶ ὅσοι ἀθετοῦσι τὰς ἡμετέρας ψυχάς, σύντονοι αὐτῶν, τουτέστιν Εὐτυχής, Ἄρειος, Ἀπολλινάριος, καὶ πάντες οἱ κατ' αὐτούς. αἰσχυνέσθωσαν πάντες οἱ αἱρετικοὶ οἱ μὴ ὁμολογοῦντες ἕνα θεὸν ἐν τρισὶν ὑποστάσεσιν γνωριζόμενόν τε καὶ προσκυνούμενον, ποιητὴν οὐρανοῦ καὶ γῆς ὑπάρχοντα, καὶ τῆς ἡμετέρας σαρκὸς τὴν ἀνάστασιν. αἰσχυνέσθωσαν Σαμαρεῖται, μήτε τῆς ἡμετέρας σαρκὸς ἀνάστασιν ὁμολογοῦντες μήτε ἄγγελον μήτε πνεῦμα. αἰσχυνέσθωσαν τῶν Ἰουδαίων οἱ ἄπιστοι, οἱ τὸν προσδοκώμενον μὴ δεξάμενοι μηδὲ χριστιανικὴν ἀνάστασιν ὁμολογοῦντες, ἀλλὰ τοι-
D αύτην οἵαν νῦν πολιτευόμεθα, γαμοῦντες καὶ γαμιζόμενοι. εὖγε δέ, εὖγε, χαρά τε καὶ ἀγαλλίασις τοῖς ὄντως χριστιανοῖς, τοῖς

6. *λέγουσιν* om. P. 8. Hic excidisse quaedam videntur. 9. *οἱ Μανιχαῖοι* P. *ib. Μαρκιανισταὶ* R. 10. *ποιήσαντα* P. 12. *σύμφωνοι* P sola, *σὺν τῶν οἱ* V. 16. *τὴν* om. P. 17. *Σαμαρίται* RV: *οἱ* praeponit P. 19. *οἱ ἄπιστοι*] *ἄπιστοι* P. *ib. οἱ προσδοκούμενον* P. 20. *μήτε* PV.

Gentiles, qui mundum fingunt aeternum, et vitam ante hanc aliam denuntiant, et corporum resurrectionem nihili ducunt. Erubescant et horum sectatores, qui Christiani videri volunt, reipsa vero eadem quae ii sentiunt, dum dicunt coelum esse rotundum: nihil enim aliud quam quod Gentiles praedicant, sic semper fuisse mundum, corporum corruptioni nequaquam obnoxium, neque statum alium futurum. Erubescant etiam Manichaei et Marcionistae, qui carnes abjiciunt, et qui eas ex malo principio factas praedicant. Erubescant omnes qui carnem nostram contemnunt, et animas nostras, qui his sunt consentanei, hoc est Eutyches, Arius, Apollinaris, et universi horum sectarii. Erubescant omnes haeretici, qui non confitentur Deum unum in tribus Personis, cognitum et adoratum, coeli et terrae conditorem, et carnis nostrae resurrectionem. Erubescant Samaritani, qui carnis nostrae resurrectionem non admittunt, neque Angelos, neque Spiritum. Erubescant ex Judaeis increduli, qui expectatum non recipiunt, neque Christianam confitentur resurrectionem, sed illam duntaxat qualem nunc observamus, cum uxores ducimus, aut nuptum damus. Euge porro, euge, gaudium et exultatio iis qui revera

*πειθομένοις πᾶσι τῇ θείᾳ γραφῇ παλαιᾷ τε καὶ καινῇ διαθήκῃ,
τοῖς ποδηγηθεῖσιν ἐκ τοῦ νόμου καὶ πιστεύσασι Χριστῷ καὶ πᾶ-
σιν οἷς ἐκήρυξεν καὶ ἔτι λέγοντι, Ὁ νόμος καὶ οἱ προφῆται ἕως
Ἰωάννου προεκήρυξαν, καὶ ἀπὸ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτι-
στοῦ ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται καὶ βιασταὶ ἁρπάζουσιν
αὐτήν, ἵνα εἴπῃ ὅτι Ὅσοι ἑαυτοὺς βιάζονται καὶ πολιτεύονται
δικαίως καὶ μὴ ταῖς ἰδίαις ἐννοίαις ἐξακολουθοῦσιν, ἀλλὰ τῷ* P 238
*θεῷ πιστεύουσιν, ἐκεῖνοι ταύτης τυγχάνουσιν. ἀμέλει καὶ ἡ μή-
τηρ Ἰωάννου καὶ Ἰακώβου αἰτησαμένη τὸν κύριον ἕνα ἐκ δεξιῶν
αὐτοῦ εἶναι καὶ ἕνα ἐξ εὐωνύμων ἐν τῇ βασιλείᾳ, ἀπεκρίνατο αὐ-
τῇ ὅτι Οὐκ ἔστιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ᾽ οἷς, φησίν, ἡτοίμα-
σται παρὰ τοῦ πατρός μου, ὡσανεὶ τὸ μὲν δῶρον τοῦ θεοῦ πᾶ-
σιν ἐφήπλωται, τὸ ἀναστῆναι ἐκ τῶν νεκρῶν καὶ γενέσθαι ἀφθάρ-
τους καὶ ἀθανάτους καὶ ἀτρέπτους, τὸ δὲ προτιμᾶσθαι ἑτέρων
οὐ δῶρον τοῦτο, ἀλλ᾽ ἑτοιμασία τοῦ θεοῦ τοῖς καλῶς πιστεύουσι
καὶ βιώσασι. πάλιν γὰρ λέγει ὁ κύριος, Δεῦτε οἱ εὐλογημένοι* B
τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασι- R 562
*λείαν, καὶ πότε ἡτοιμάσθη φησίν, ἀπὸ καταβολῆς κόσμου προσ-
ειπών. ὁ κοσμογράφος τοίνυν Μωϋσῆς καὶ οἱ λοιποὶ πάντες προφῆ-
ται καὶ ἀρχαῖοι ἄνθρωποι περὶ τῶν δύο τούτων καταστάσεων καὶ
μόνων εἰπόντες, καὶ ἑτέρας μὴ μνημονεύσαντες, ἀλλὰ ταύτας μόνον
προκηρύξαντες καὶ συγγραψάμενοι, οὐ μόνον δέ, ἀλλὰ καὶ ὁ κύ-*

3. *λέγοντι*] Matth. XI. 12. 4. *τοῦ* om. P. 11. Matth. XX. 23. 16. *λέγει*] XXV. 34. 19. *οἱ* om. P. 21. *μόνον* V.

sunt Christiani, qui divinae omni Scripturae, Veterique ac Novo Testamento fidem adhibent, quique a lege reguntur, et Christo credunt, et omnibus quae praedicavit, et qui adhuc dicit: *Lex et Prophetae usque ad Joannem prophetarunt, et a diebus Joannis regnum coelorum vim patitur, et violenti rapiunt illud.* Quasi dicat: qui sibi vim faciunt, ac secundum justitiam vitam exigunt, nec suis insistunt cogitationibus, sed Deo credunt, illud ii consequentur. Denique matri Joannis et Jacobi postulanti a Domino, ut filiorum alter ad ejus dextram, alter ad sinistram in regno (Dei) esset, respondit: *Non est meum hoc dare vobis, sed quibus*, inquit, *paratum est a Patre meo.* Quasi diceret, Donum Dei omnibus exhibetur, resurgere a mortuis, fieri incorruptibiles et immortales, et immobiles, sed aliis praeferri, non illud est donum, sed praeparatio Dei iis qui recte credunt ac vivunt. Rursum enim dicit Dominus: *Venite benedicti Patris mei, possidete praeparatum vobis regnum.* Et quando ait, *praeparatum est?* a constitutione mundi, reponit. Moyses igitur qui mundum descripsit, caeterique omnes Prophetae, et hominum antiquiores, de gemino hoc statu duntaxat loquuntur, nec alterius meminere, sed hos duos tantum status praedicarunt, ac de iis scripserunt. Neque ii modo, sed et Dominus, dum in mundo versaretur, ejusque

ριος παραγεγονὼς καὶ οἱ τούτου μαθηταὶ εὐαγγελισταὶ καὶ ἀπό-
στολοι οὐδὲν ἕτερον ἐκήρυξαν ἢ τὰς δύο ταύτας καὶ μόνας κατα-
στάσεις. τίς ἔτι λείπεται πίστεως ὡς ὅτι ταῦτα οὐκ εἰσὶν ἀλη-
C θῆ; τίς οὐκ ἐντραπήσεται τὸν ὄχλον τῶν προῤῥήσεων, τὰς ἐκ-
βάσεις τῶν προφητειῶν, τὸν ὄχλον τῶν σημείων καὶ τῶν παρα-
δόξων καὶ τῶν θαυμάτων, αὐτὴν τὴν πολιτείαν πάντων τῶν
ἁγίων καὶ τοῦ δεσπότου Χριστοῦ καὶ τῶν αὐτοῦ ἀποστόλων, τὴν
V 191 συμφωνίαν τῆς παλαιᾶς καὶ καινῆς διαθήκης. τίς ἐξ αὐτῶν διε-
φώνησεν πρὸς τοὺς ἄλλους σφαιροειδῆ τὸν οὐρανὸν ἐξηγησάμενος
ἢ προΰπαρξιν τούτου τοῦ κόσμου ἐκήρυξεν ἢ ἀΐδιον εἶναι τὸν κό-
σμον ἀπεφήνατο ἢ ἠθέτησε τὴν τῶν σωμάτων ἡμῶν ἀνάστασιν ἢ
τὴν διὰ τοῦ Χριστοῦ γενομένην οἰκονομίαν τοῦ ἀνέρχεσθαι τοὺς
δικαίους ἀνθρώπους εἰς τὸν οὐρανόν; ἀλλὰ πάντες ὡς ἐξ ἑνὸς
D θείου πνεύματος ποδηγούμενοι τὰ αὐτὰ καὶ δι' ἔργων καὶ διὰ λό-
γων ἤτοι τύπων προεμήνυσαν, καὶ πάντες εἰς τὴν μέλλουσαν κα-
τάστασιν ἀφορῶσιν. καὶ αὐτὸς δὲ ὁ δεσπότης Χριστὸς ἐν εὐαγ-
γελίοις δηλοῖ ἐν οἷς μέλλουσιν ἀναστρέφεσθαι οἱ τέλειοι δίκαιοι καὶ
οἱ μέσοι καὶ οἱ ἀσεβεῖς. καὶ περὶ μὲν τῶν δικαίων τῶν τελείων,
ὡς ὅταν προσκαλεῖται αὐτοὺς πρὸς ἑαυτὸν λέγων, Δεῦτε οἱ εὐ-
λογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν
βασιλείαν ἀπὸ καταβολῆς κόσμου. περὶ δὲ τῶν ἀσεβῶν, ὡς ὅταν
τοῖς ἐξ εὐωνύμων λέγει, Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς
P 239 τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις

5. προφητῶν P. 10. πρὸς ὕπαρξιν R. 11. ἠθέτηκε P. 22. λέγει] XXV. 41.

Discipuli, Evangelistae, et Apostoli, nihil aliud praedicarunt, quam binos istos solosque status. Ecquis ergo deinceps fide careat, haecque esse vera non agnoscat? Quis non revereatur tantam praedictionum Prophetarum turbam, earumque eventus? sed et turbam signorum prodigiorum, ac miraculorum, ipsiusque Sanctorum omnium, ac Domini Christi, et ejus Apostolorum vitae rationem, sed et veteris etiam ac novi foederis consensionem? Quis ex iis rotundum esse coelum aliis exposuit, vel mundi istius praeexistentiam praedicavit, vel aeternum esse mundum definivit, aut corporum nostrorum resurrectionem improbavit, vel Christi Incarnationem actamque in mundo vitam, virosque justos coelum petituros negavit: verum uno veluti ducti divino Spiritu, eadem omnes tum operibus, tum sermonibus, sive figuris praenuntiarunt, cunctique ad futurum respexere statum. Sed et ipse Dominus Christus in Evangeliis indicat, qui potissimum ad vitam sint reversuri, perfecte scilicet justi, medii, et impii. Ac de perfecte justis quidem, veluti cum eos ad se evocat, dicens: *Venite benedicti patris mei, percipite regnum quod paratum est vobis a constitutione mundi.* De impiis vero, veluti a sinistris positis, ait: *Recedite a me maledicti in ignem aeternum, qui paratus est diabolo et*

αὐτοῦ, ἵνα εἴπῃ τοῖς μὲν δικαίοις Ἄνω εἰς τὸν οὐρανὸν ἐσώτερον τούτου τοῦ ὁρωμένου στερεώματος, τοῖς δὲ ἀσεβέσι Κάτω περὶ τὴν γῆν, ἔνθα καὶ ὁ διάβολος κατεῤῥίφη. λοιπὸν τῶν μέσων ἀνάγκη ζητῆσαι τὸν τόπον· λέγει τοίνυν ἐν τῇ παραβολῇ τῶν δέκα παρθένων ὡς αἱ πέντε φρόνιμοι εἰσῆλθον μετὰ τοῦ νυμφίου εἰς τὸν νυμφῶνα, τουτέστιν εἰς τὸν οὐρανόν, ἐπειδήπερ καὶ R 564 τὴν παρθενείαν καὶ τὴν ἐλεημοσύνην ὡς φρόνιμοι ἐπελέξαντο. αἱ δὲ μωραί, φησίν, τὸ ἓν ἐπιλεξάμεναι, τοῦ δὲ ἑτέρου καταφρονήσασαι, ἔμειναν ἔξω τοῦ νυμφῶνος, κεκλεισμένην εὑροῦσαι τὴν θύραν καὶ ἀκούσασαι, Ἀπέλθατε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οὔ- B τε εἰσελθεῖν συγχωρηθεῖσαι οὔτε μετὰ τῶν ἀσεβῶν κατακριθεῖσαι, ἀλλὰ μείνασαι ἔξω τοῦ νυμφῶνος. οὕτως οὖν ἕκαστος τῶν πιστῶν ὀρθὴν καὶ ἀνυπόκριτον πίστιν καὶ βίον καλὸν ἔχων μετὰ παῤῥησίας εἰσέρχεται εἰς τὴν βασιλείαν. οἱ δὲ ἐναντίοι οἱ μηδὲ ἓν τούτων ἔχοντες μήτε πίστιν ὀρθὴν μήτε βίον εὐθῆ μετὰ τοῦ διαβόλου περὶ τὴν γῆν κατακρίνονται. οἱ δὲ ἕνα μὲν ἔχοντες, ἕνα δὲ μὴ ἔχοντες, μέσοι τινὲς εἰσίν, ἔξωθεν μένειν τοῦ νυμφῶνος κατακρινόμενοι, τουτέστι τοῦ στερεώματος. τὸ δὲ εἶδος τῶν ἀγαθῶν ἢ τῶν τιμωριῶν ἀδύνατον εἰδέναι ἡμᾶς, εἰ μὴ ἐντὸς αὐ- C τῶν γενώμεθα· ὡς ἐν ὑποδείγματι δὲ μόνον τῶν ἐνταῦθα τιμωριῶν καὶ τῶν ἐνταῦθα ἀγαθῶν ἐσήμανεν τὰ μέλλοντα· οὐδὲ γὰρ ἐνῆν ἡμᾶς ἄλλως ἀκοῦσαι μήπω πεῖραν εἰληφότας καινῶν τινων

4. παραβολῇ] Matth. XXV. 1. 7. παρθενίαν P. 10. ἀπέλθετε P. 15. εὐθὺν P. 22. ἀλλ' ὡς PV.

angelis ejus. Quasi dicat, ac justis quidem, Sursum, in coelum interius hujus quod videtur firmamenti. Impiis autem, Infra, circa terram, ubi et diabolus projectus est. Ut porro mediorum locum inquiramus operaepretium est. Ait igitur in Parabola de decem virginibus, quinque prudentes cum sponso ingressas esse in thalamum, hoc est in coelum, quandoquidem virginitatem et misericordiam, velut prudentes elegere. Fatuae autem, inquit, altero duntaxat electo, altero vero neglecto, mansere extra thalamum, foresque occlusas reperere, audita hac voce: *Recedite a me, nescio vos:* neque ingredi permissae, neque cum impiis damnatae sunt, sed mansere extra thalamum. Sic igitur unusquisque justorum rectae ac sincerae fidei probaeque vitae, libere regnum ingreditur. Iis vero oppositi, qui horum nihil habent, neque rectam fidem, neque rectam vitam, cum diabolo circa terram damnantur. Qui porro alterum habent, alterum autem non habent, mediique quodammodo sunt, extra thalamum manere jubentur, hoc est firmamentum. Quae vero sint bonorum vel suppliciorum genera, vix est ut nosse possimus, nisi ipsimet intersimus: cum exempli duntaxat gratia, quae hic sunt poenarum, et quae istic sunt bonorum, quae futura sunt significaverit. Neque enim id nobis licet, sed auditu tantum excipere, cum ejusmodi rerum quarun-

πραγμάτων, ἀλλ᾽ ὅσον αἰνιγματωδῶς εἰπεῖν, εἶπεν ὅτι ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε τῷ υἱῷ αὐτοῦ γάμους, τὰ πάντων ἀνώτερα τῶν τοῦ βίου τούτου ἀγαθῶν ἐκλεξάμενος καὶ ὁμοιώσας τοῖς ἐκεῖσε ἀγαθοῖς, ὁμοίως καὶ τὰ χείριστα, πῦρ, σκώληκα, τάρταρον καὶ βρυγμὸν ὀδόντων καὶ σκότος καὶ ὅσα τούτοις παραπλήσια, ἐπειδὴ ταῦτα τῶν ἐνταῦθα
D τιμωρητικῶν δεινότερα τυγχάνουσι, τούτοις αὐτὰ ἐξωμοίωσεν. οὔτε δὲ τὰ ἀγαθὰ τῶν ἐκεῖ δυνατὸν ἀναλογίσασθαι οὔτε τὰ δεινὰ οὔτε τὰ μέσα τούτων, ἀλλ᾽ ἑτέρα τις κατάστασίς ἐστιν κρείττων
V 192 πολὺ καὶ λίαν πολὺ καθόλου ὑπάρχουσα τῶν ἐνταῦθα, ὥσπερ κρείττων ὑπάρχει ὁ βίος οὗτος οὗ ὅτε ἦμεν ἐν τῇ κοιλίᾳ τῆς μητρὸς ἡμῶν. ἀναλογίσασθαι γὰρ δεῖ πῶς ἦμεν ἔσωθεν τῆς κοι-
R 566 λίας διάγοντες ἐν σκότῳ, ἐν αἵματι, ἐν φλέγματι, ἐν χολῇ καὶ βορβόρῳ καὶ κόπρῳ καὶ πάσῃ ἀκαθαρσίᾳ καὶ δυσωδίᾳ συμφυρό-
P 240 μενοι καὶ ἐν πάσῃ ἀγνωσίᾳ ὑπάρχοντες. παρακύψαντες δὲ ἐν τῷ βίῳ τούτῳ ἕτερά τινα θεωροῦμεν, ὧν τὴν πεῖραν οὔπω παρειλήφαμεν, ἀνέσεως ἔκτασιν, ἀέρος ἀναπνοήν, ἀπόλαυσιν φωτὸς καλλίστου, κατασκευὴν κόσμου, τεχνίτου καὶ πανσόφου δημιούργημα, καὶ γνώσεως θεοῦ ἐμπιπλάμενοι, ἅπερ πάντα οὔτε εἰδέναι ἡμᾶς ἦν δυνατὸν οὔτε ἐνθυμηθῆναι οὔτε ἀκοῦσαι οὔτε ἀπολαῦσαι ἑνὸς τούτων ἔτι ὄντας ἐν τῇ κοιλίᾳ. οὕτω καὶ τὴν

1. εἶπεν om. P. Matth. XX. 1. 8. οὔτε δὲ τὰ V. 11. ὑπάρχειν P. 13. καὶ βορβόρῳ] ἐν βορβόρῳ P. 18. τεχνήτου PV. *ib.* δημούργημα P. 19. θεοῦ om. P. *ib.* ἐμπιπλώμενοι P.

dam novarum careamus experimento, ipseque, quantum conjicere licet, aenigmatice haecce retulerit, his verbis: *Simile est regnum coelorum homini Regi, qui fecit nuptias filio suo.* Ubi ex omnibus istius vitae bonis illustria selegit, contulitque cum iis quae istic sunt bonis: perinde ac pessima, ignem, vermes, tartarum, stridorem dentium, et tenebras, et quidquid hisce affine est. Cum vero graviora sint quae ibi sunt supplicia, illa cum iis comparavit. Eorum autem qui ibi sunt bona comparari nequeunt, ut nec quae gravia sunt, vel eorum media: quandoquidem alius est status multo potior, ac iis quae hic existunt longe praestantior: quemadmodum melior est haec qua fruimur vita, illa cum in materno versamur utero. Comparanda enim haec sunt, quomodo sumus, cum intra matris viscera degimus, in tenebris, in sanguine, in pituita, in caeno et stercore, et omni spurcitia, ac foetore commisti, et in omni ignorantia sepulti. At ubi in hanc vitam ingredimur, alia quaedam spectamus, quorum experimentum nondum sumus assecuti, remissionis extensionem, aëris respirationem, praeclarum lucis usum, mundi constructionem, opificis sapientissimi opus: cum vero cognitionem sumus adepti, quaecumque omnia neque videre nobis est possibile, neque cogitatione comprehendere, neque auditu percipere, sed et quibus nec frui poteramus, cum adhuc essemus in utero. Ita futurum statum, eo in quo hic vivimus, lon-

μέλλουσαν κατάστασιν καθόλου κρείττονα τυγχάνουσαν τῶν ἐν-
ταῦθα οὐ δυνατὸν ἡμᾶς ἀναλογίσασθαι ἔτι ὄντας ἐν τούτῳ τῷ
βίῳ ἢ ἐνθυμεῖσθαι ἢ φαντασθῆναι, εἰ μὴ ἐντὸς αὐτῶν τῶν πρα-
γμάτων γενώμεθα. ἃ γὰρ ὁ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤ- B
κουσεν, φησίν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοί-
μασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὥσπερ τοίνυν ἐνταῦθα κοι-
νὸν δῶρον ἅπασι κεχάρισται ὁ θεός, τὸν ἥλιον αὐτοῦ ἀνατέλλων
ἐπὶ δικαίους καὶ ἀδίκους καὶ βρέχων ἐπὶ ἀγαθοὺς καὶ πονηρούς,
οὕτω καὶ ἐν τῇ μελλούσῃ καταστάσει κοινὸν δῶρον πᾶσι χαρίζε-
ται ἀθανασίαν καὶ ἀφθαρσίαν καὶ ζωὴν καὶ ἀτρεπτότητα. κα-
τὰ δὲ τὰς προτέρας τάξεις ἕκαστος ἑαυτῷ ἐφέλκεται εἴτε τὴν βα-
σιλείαν εἴτε τὴν τιμωρίαν εἴτε ἄνοδον ἐν οὐρανῷ εἴτε μονὴν περὶ
τὴν γῆν εἴτε περὶ τὴν μέσην τάξιν. πάντα δὲ αἰώνια καὶ ἀπέ- C
ραντα τυγχάνει, καὶ τὰ ἀγαθὰ καὶ τὰ τούτων χείριστα. καθό-
λου δὲ ἐκείνη ἡ κατάστασις τῆς ἐνταῦθα πολὺ καὶ πάνυ πολὺ διε-
νήνοχεν· πρὸς δέ γε τὰ ἀγαθὰ τὰ ἡτοιμασμένα τοῖς δικαίοις ἀν-
τιδιαστελλόμενα τὰ τῶν ἀσεβῶν ἐσχάτη τιμωρία καὶ κρίσις ἀνε-
λεὴς τυγχάνει· ἀναλογεῖ γὰρ τῇ καταστάσει ἐκείνῃ καὶ ἡ ταύτης
κρίσις καὶ τιμωρία.

Ἰδοὺ δέδεικται οὐ μόνον διὰ τῶν προφητῶν, ἀλλὰ γὰρ καὶ
διὰ τῶν εὐαγγελικῶν φωνῶν καὶ μὴν καὶ ἀποστολικῶν ὡς καὶ αὐ-
τοὶ συμφώνως τοῖς παλαιοῖς εἶπον ταύτας καὶ μόνας τὰς δύο κα-
ταστάσεις παρὰ θεοῦ γεγενῆσθαι, ταύτην πρώτην, ἐν ᾗ καὶ R 568 D

3. αὐτῶν om. P. 4. ἴδεν V, οἶδε P. 5. φησίν] I. Cor. II. 9. 11. τὰς om. P. 14. χάριστα R. 15. πάνυ πολὺ] πάνυ P. 16. καὶ ἀντιδ. P. 21. εὐαγγελιστῶν P.

ge praestantiorem vel animo, vel imaginatione fingere minime possumus, nisi rebus ipsis intersimus. *Quae enim oculus non vidit, et auris non audivit*, inquit, *et in cor hominis non ascendit, hoc praeparavit Deus diligentibus se.* Quemadmodum igitur commune donum omnibus largitus est Deus, dum solem suum fecit oriri super justos et injustos, et pluit super bonos et malos, sic in futuro statu commune immortalitatis donum largitur, et incorruptionem, et vitam, ac immutabilitatem. Enimvero pro ratione transactae vitae, singuli sibi conciliant vel regnum (caeleste) vel poenam: aut ascensum in coelum, aut locum circa terram, vel mediam aliquam stationem. Omnia autem haec sunt aeterna et absque fine, tam quae bona, quam quae ex his pejora sunt. Status porro hujusce vitae multum ac omnino differt, in bonis quae justis sunt praeparata: ac impiorum statui opponitur, quibus ultimum supplicium, ac immisericors est judicium: par enim est huic statui, illius judicium et supplicium.

Ecce demonstratum est, non modo per prophetarum sed et per Evangelistarum, atque adeo Apostolorum verba, ut ii juxta veterum sententiam, hos duntaxat geminos status a Deo definitos dixerint: primum

διάγομεν νῦν, καὶ τὴν μέλλουσαν, ἐν ᾗ πάντες οἱ χριστιανοὶ ἀφορῶμεν.

Ἰνδ. θʹ. ιγʹ. ὑπ. Καπίτωνος καὶ Ῥούφου.

Φλάβιος Ἰώσηππος συγγραφεύς, στρατηγήσας ὑπὲρ Ἰουδαίων, καὶ μέλλων εἰς τὸν πόλεμον ἀναιρεῖσθαι, θεσπίζει Οὐεσπασιανῷ περὶ τῆς Νέρωνος τελευτῆς καὶ τῆς αὐτοῦ Οὐεσπασιανοῦ βασιλείας.

Κατὰ τοῦτον τὸν χρόνον Λουκανὸς παρὰ Ῥωμαίοις μέγας ἦν καὶ ἐπαινούμενος· ὁμοίως δὲ Μουσώνιος καὶ Πλούταρχος φιλόσοφοι ἐγνωρίζοντο.

P 241 Ζητητέον ἐστὶ καὶ τὸ πολυθρύλητον ἐκεῖνο καὶ παρὰ πᾶσιν ἄνω καὶ κάτω περιφερόμενον ῥητὸν τίνα τὴν λύσιν ἔχει, τὸ Πᾶς ὁ ἀποκτείνας Καῒν ἑπτὰ ἐκδικούμενα παραλύσει.

V 193 Τοῦ μακαρίου Κυρίλλου πρὸς Ὄπτιμον ἐπίσκοπον εἰς τὸ Πᾶς ὁ ἀποκτείνας Καῒν ἑπτὰ ἐκδικούμενα παραλύσει.

Καὶ ἄλλως ἡδέως ὁρῶν τοὺς ἀγαθοὺς παῖδας διά τε τὸ
B ὑπὲρ τὴν ἡλικίαν τῶν ἠθῶν εὐσταθὲς καὶ διὰ τὸ πρὸς τὴν σὴν εὐλάβειαν οἰκεῖον, ἀφ᾽ οὗ τι καὶ μέγα προσδοκᾶν ἔστιν ἐπ᾽ αὐτοῖς, ἐπειδὴ μετὰ γραμμάτων σῶν εἶδον αὐτοὺς προσιόντας μοι,

8. Λουκιανὸς P. 9. δὲ καὶ Μουσώνιος P. 11. πολυθρύλλητον P. 18. τὴν ἡλικίαν] ἡλικίαν P.

Anni a m. c. hunc scilicet, in quo modo versamur, et futurum ad quem quotquot sumus Christiani aspiramus.

A. C. [Ol. Iph.]

5574. 67. XIII. Ind. IX. Capitone et Rufo Coss. 3.

Flavius Josephus scriptor, cum pro Judaeis copiis praefectus militaret, proximeque in bello interficiendus esset, Vespasiano Neronis mortem praedicit, ipsique Vespasiano imperium.

Hac ipsa tempestate, apud Romanos Lucianus celebris habebatur: Musonius pariter et Plutarchus Philosophi florebant.

Hic porro disquirendum ac examinandum videtur decantatissimum illud, quodque in ore omnium passim circumfertur, quomodo intelligatur verbum istud: *Omnis qui occiderit Cain, septuplum punietur.*

Beati Cyrilli ad Optimum Episcopum, in illa verba, Omnis qui occiderit Cain, in septuplum punietur.

Et praesertim gratus mihi fuit aspectus liberorum bonorum, cum propter morum supra aetatem elegantiam, tum propter naturalem quandam pietatem, quam a te hauserunt, ex qua nonnisi eximium quid ab

ἐδιπλασίασα τὸ ἐπ' αὐτοῖς φίλτρον. ὅτε δὲ ἀνέγνων τὴν ἐπιστο-
λήν, καὶ εἶδον ἐν αὐτῇ ὁμοῦ μὲν τὸ περὶ τὰς ἐκκλησίας προνοη-
τικὸν τῆς σῆς διαθέσεως, ὁμοῦ δὲ τὸ περὶ τὴν ἀνάγνωσιν τῶν
θείων γραφῶν ἐπιμελές, ηὐχαρίστησα τῷ κυρίῳ καὶ ἐπηυξάμην
τὰ ἀγαθὰ τοῖς τὰ τοιαῦτα ἡμῖν διακομίσασι γράμματα, καὶ πρό
γε αὐτῶν τῷ γράψαντι ἡμῖν. ἐπεζήτησας τὸ πολυθρύλητον ἐκεῖ-
νο καὶ παρὰ πᾶσιν ἄνω καὶ κάτω περιφερόμενον ῥητὸν τίνα τὴν
λύσιν ἔχει, τὸ Πᾶς ὁ ἀποκτείνας Καῒν ἑπτὰ ἐκδικούμενα παραλύ-
σει. διὰ δὲ τούτου τέως μὲν αὐτὸς ἑαυτὸν συνέστησας, τὸ Τι-
μοθέου ὃ παρέδωκεν Παῦλος αὐτῷ, ἀκριβῶς φυλάσσοντι· δῆ- C
λος γὰρ εἶ προσέχων τῇ ἀναγνώσει· ἔπειτα καὶ ἡμᾶς τοὺς γέ- R 570
ροντας νεναρκηκότας ἤδη καὶ τῷ χρόνῳ καὶ τῇ ἀσθενείᾳ τοῦ σώ-
ματος καὶ τῷ πλήθει τῶν θλίψεων, αἳ πολλαὶ τοίνυν περὶ ἡμᾶς
κινηθεῖσαι ἐβάρησαν ἡμῶν τὴν ζωήν, ὅμως διανέστησας, καὶ
ζέων τῷ πνεύματι κατεψυγμένους ἡμᾶς ὡς τὰ φωλεύοντα τῶν
ζώων εἰς ἐγρήγορσιν μετρίαν καὶ ζωτικὴν ἐνέργειαν ἐπανάγεις.
ἔστιν οὖν τὸ ῥητὸν καὶ ἁπλῶς οὕτω νοηθῆναι δυνάμενον καὶ ἀ-
ποίκιλον ἐπιδέξασθαι λόγον. ἡ μὲν οὖν ἁπλουστέρα καὶ παντὶ
δυναμένη ἐκ τοῦ προχείρου παραστῆσαι διάνοια αὕτη ἐστίν, Ὅτι
δεῖ τὸν Καῒν ἑπταπλασίονα δοῦναι τὴν τιμωρίαν ὑπὲρ ὧν ἥμαρ- D
τεν. οὐ γάρ ἐστι δικαιοκρίτου ἴσας πρὸς ἴσας ὁρίζειν ἀνταποδό-
σεις, ἀλλ' ἀνάγκη τὸν κατάρξαντα κακοῦ μετὰ προσθήκης ἀπο-

2. ἴδον P. 3. σῆς om. P. *ib.* τὸ om. P. 4. ἐπηυξόμην PV. 6. πολυθρύλλητον PV. 8. πᾶς ὁ] ὁ πᾶς P. 10. ᾧ παρέδωκεν V, ὥσπερ ἔδωκεν P. *ib.* φυλάσσοντα P. 13. αἱ PV.

illis sperandum est. Postquam cum literis tuis illos ad me adeuntes vidi, geminavi erga illos amoris affectum. Porro cum literas tuas perlegissem deprehendissemque in illis et tuam erga Ecclesiam providentiam ac curam, et studium sacrarum literarum; meritas Deo persolvi gratias, vovique bona sempiterna iis qui mihi tales literas porrexerunt, atque inprimis ipsi literarum auctori. Quaesisti quid ad illud omnium ore jactatum dictum esset respondendum, quomodove intelligendum. Omnis qui occiderit Cain, septuplum punietur? *Atque per hoc quidem teipsum in primis commendasti, dum accurate observasti illud quod Timotheo Paulus custodiendum tradiderat; patet enim te lectioni operam dare. Deinde nos natu grandes et senio invaletudineque fractos, et aerumnis innumeris afflictos (malorum enim copia in nos excitata, vitam nostram propemodum oppressit) ardore spiritus tui afflatos ac permulsos, veluti ferarum cubili et sepulcro conditum ad vigilandum, vitaeque vigorem recipiendum excitasti. Potest ergo sententia illa, ut verba sonant simplici intellectu exponi, et potest varium admittere significatum. Quae ergo cuivis in promtu esse possit explicatio haec est, Caino septies geminandam esse poenam ob scelera quae patravit. Neque enim aequi esse judicis pares pro pari-*

τῖσαι τὰ ὀφειλόμενα εἰ μέλλει αὐτὸς βελτίων ταῖς τιμωρίαις γενέσθαι καὶ τοὺς λοιποὺς σωφρονεστέρους ποιῆσαι τῷ ὑποδείγματι. οὐκοῦν ἐπειδὴ τέτακται ἑπτάκις ἀποπληρῶσαι τὴν δίκην τῶν ἡμαρτημένων τὸν Καΐν, παραλύσει, φησίν, τούτῳ τὸ ὑπὸ τῆς θείας κρίσεως ἐπ' αὐτῷ δεδογμένον ὁ ἀποκτείνας αὐτόν. οὗτός ἐστιν ὁ νοῦς ὁ ἐντεῦθεν ἀπὸ τῆς πρώτης ἀναγνώσεως ὑποπίπτων. ἐπειδὴ δὲ ἐρευνᾶν πέφυκε τὰ βάθη τῶν φιλοπονωτέρων ἡ διάνοια,
P 242 ἐπιζητεῖ τὸ δίκαιον πῶς ἐν τῷ ἑπτάκις πληροῦται καὶ τὰ ἐκδικούμενα, πότερον τὰ ἁμαρτηθέντα ἑπτά ἐστιν ἢ ἓν μὲν τὸ ἁμάρτημα, ἑπτὰ δὲ ἐπὶ τῷ ἑνὶ αἱ κολάσεις. ἀεὶ μὲν οὖν ἡ γραφὴ τὸν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἀριθμὸν ἐν τοῖς ἑπτὰ περιορίζει. ποσάκις, φησίν, ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ, ὁ Πέτρος ἐστὶ λέγων τῷ κυρίῳ, ἕως ἑπτάκις; εἶτα ἀπόκρισις τοῦ κυρίου, Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά· οὐ γὰρ ἐπ' ἄλλον ἀριθμὸν μετέβη ὁ κύριος, ἀλλὰ τὸν
B ἑπτὰ πολυπλασιάσας ἐν αὐτῷ τὸν ὅρον ἔθετο τῆς ἀφέσεως. καὶ δι' ἑπτὰ ἐτῶν ὁ Ἑβραῖος ἀπελύετο τῆς δουλείας. ἑπτὰ δὲ ἑβδομάδες ἐτῶν τὸν ὀνομαστὸν ἰωβίλαιον ἐποίουν τοῖς πάλαι, ἐν ᾧ ἐσαββάτιζεν ἡ γῆ. χρεῶν δὲ ἦσαν ἀποκοπαὶ καὶ δουλείας ἀπαλλαγή, καὶ οἱονεὶ νέος ἄνωθεν καθίστατο βίος ἐν τῷ ἑβδοματικῷ
R 572 V 194 ἀριθμῷ, τοῦ παλαιοῦ τρόπον τινὰ τὴν συντέλειαν δεχομένου.

1. εἰ] ἢ P, ἡ V. *ibid.* μέλλει P. *ibid.* βελτίω V. 4. τούτῳ τῷ PV, τοῦτο τὸ m. P. 9. ἢ om. P. 12. φησίν] Matth. XVIII. 21. 16. τῆς ἀφέσεως om. P. 18. τὸ P.

bus peccatis poenas irrogare, sed par est, ut auctorem delicti gravioribus affligat suppliciis, ut et ipse corrigatur, et reliquos exemplo suo tardiores ad culpam reddat. Ergo quia decretum erat ut Cain septemplicem lueret poenam scelerum suorum, solvet, inquit, hanc ipsam illi poenam a divina sententia decretam qui occiderit Cainum. Hic primus hoc loco occurrit lectionis intellectus: Quia vero studiosorum animus solet altius rerum caussas pervestigare, quaerit de justitia, quomodo per septemplicem poenam illi satisfiat? utrum septemplex sit delictum, an vero, culpa simplex aut una, et septemplex poena pro uno delicto? Divinae scripturae lex numerum remissionis peccatorum semper septenario definit. Quoties, *inquit*, peccabit in me frater meus, et remittam illi, (*verba Petri sunt ad Dominum*) usque septies? *Deinde respondet Dominus:* Non dico tibi septies, sed usque septuagies septies; *nec enim Dominus ad numerum alium transiit, sed septenario multiplicato, in eodem constitit, et quasi terminum fixit remissionis. Et septimo anno Hebraeus libertate donabatur. Septem annorum hebdomades illud celebratissimum antiquis Jubilaeum exacte faciebant, quo requiescebat terra, debitorum nomina rescindebantur, servitus tollebatur, et quasi novum vitae genus in septimo annorum quinquaginta numero (priore et veteri quasi ad finem per-*

ταῦτα δὲ τύποι τοῦ αἰῶνος τούτου, ὃς διὰ τῶν ἑπτὰ ἡμερῶν ἀνακυκλούμενος ἡμᾶς παρατρέχει· ἐν ᾧ γίνονται αἱ τῶν μετριωτέρων ἁμαρτημάτων ἐκτίσεις κατὰ τὴν φιλάνθρωπον ἐπιμέλειαν τοῦ ἀγαθοῦ δεσπότου, ὡς μὴ τῷ ἀπεράντῳ αἰῶνι παραδοθῆναι ἡμᾶς εἰς κόλασιν. τὸ μὲν οὖν ἑπτάκις διὰ τὴν πρὸς τὸν κόσμον C τοῦτον συγγένειαν, ὡς τῶν φιλοκόσμων ἀνθρώπων ἀπ' αὐτῶν ὀφειλόντων μάλιστα ζημιοῦσθαι, ὧν ἕνεκεν εἵλαντο πονηρεύεσθαι. ἐκδικούμενα δὲ εἴτε τὰ παρὰ τῷ Καῒν λέγοις, εὑρήσεις ἑπτά, εἴτε τὰ παρὰ τοῦ κριτοῦ ἐπ' αὐτῷ ὁρισθέντα, καὶ οὕτως οὐκ ἀποτεύξῃ τῆς ἐννοίας. ἐν μὲν οὖν τοῖς παρὰ τοῦ Καῒν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει τοῦ Ἄβελ, δεύτερον δόλος μεθ' οὗ διειλέχθη τῷ ἀδελφῷ, εἰπών, Διέλθωμεν εἰς τὸ πεδίον, τρίτον φόνος, τέταρτον προσθήκη τοῦ κακοῦ, ὅτι καὶ ἀδελφοῦ φόνος, μείζων ἡ ἐπίτασις, πέμπτον ὅτι D πρῶτος φονεὺς ὁ Καῒν πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών, ἕκτον ἀδίκημα, ὅτι γονεῦσιν πένθος ἐνεποίησεν, ἕβδομον, ὅτι θεὸν ἐψεύσατο. ἐρωτηθεὶς γὰρ ὅτι Ποῦ Ἄβελ ὁ ἀδελφός σου; εἶπεν Οὐκ οἶδα. ἑπτὰ οὖν ἐκδικούμενα παρέλυσεν ἐν τῷ ἀναιρεθῆναι τὸν Καΐν.

Ἐπειδὴ γὰρ εἶπεν ὁ κύριος ὅτι Ἐπικατάρατος ἡ γῆ, ἣ ἔχα-

7. ἕνεκα εἵλοντο P. 8. εἴτε τὰ] εἴ τῳ PV. *ibid.* εἴτε] εἰ P. 10. παρὰ τοῦ] παρ' αὐτοῦ P. 12. διηλέχθη PV. 13. τέταρτον — πέμπτον] δ' — ε' addit m. P, om. PV. 15. φονεὺς ὁ] φονεύσω V, φονεὺς P. 20. εἶπεν] Gen. IV. 11.

ducto) instaurabatur. Quae omnia adumbrabant hoc nostrum aevum, quod septem dierum orbita revoluta nos transit, quo culparum humanarum pro clementia et cura boni Dei nostri erga nos, poenae reposcuntur, culpae remittuntur, ne suppliciis sempiternis in omnem aeternitatem addicamur. Illud igitur, septies, propter propinquitatem seu hominum affectionem erga mundum hunc, dicitur, ut qui cum mundum plus aequo diligant, ab ipsis debitoribus, quorum causa statuerunt peccare, maxima detrimenta accipiant. Delicta porro Caini si cui exponas, septem reperias; si judicis poenas illi irrogatas, septem itidem cogitatione tua deprehendes. Primum ergo quod Cainus ipse patravit, est invidia, quod sibi a Deo Abelem praelatum senserit. Alterum crimen est fraus seu dolus, quo circumvenit fratrem, cum dixit: Exeamus in agrum. *Tertium, caedes. Quartum auctarium sceleris seu complementum, quod et fratrem mactarit, quod parricidium auget facinus. Quintum cum et primus sicarius Cainus extiterit, et pessimum exemplum in posteritatem propagarit. Sextum delictum, quod parentibus gravem luctum attulerit. Septimum quod ipsi Deo sit mentitus. Interrogatus enim,* Ubi esset frater? *dixit,* Nescio: *septem ergo crimina in caede Caini punita sunt septem poenis.*

Etenim Dominus dixit: Maledictus eris in terra quae hiavit ut hau-

νεν δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου, καὶ στένων καὶ τρέ- P 243 *μων ἔσῃ ἐπὶ τῆς γῆς, ὁ Καΐν φησιν, Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ. πρὸς δὴ τοῦτο ὁ κύριός φησιν, Οὐχ οὕτως· πᾶς ὁ ἀποκτείνας Καΐν ἑπτὰ ἐκδικούμενα παραλύσει. ἐπειδὴ γὰρ ἐνόμισεν εὐάλωτος εἶναι παντὶ ὁ Καΐν διὰ τὸ ἐκ τῆς γῆς τὴν ἀσφάλειαν μὴ ἔχειν, ἐπικατάρατος γὰρ ἡ γῆ ἀπ' αὐτοῦ, καὶ τῆς ἀπὸ θεοῦ βοηθείας ἠρημῶσθαι, ὀργισθέντος αὐτοῦ ἐπὶ τῷ φόνῳ, ὡς οὔτε ἀπὸ γῆς οὔτε ἀπὸ οὐρανοῦ ἀντιλήψεως αὐτῷ λειπομένης, Ἔσται,* B *φησί, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με, ἐλέγχει αὐτοῦ τὸ σφάλ-* R 574 *μα ὁ λόγος λέγων, Οὐχ οὕτως, τουτέστιν οὐκ ἀναιρεθήσῃ. ὁ δὲ οὐ μόνον κρύπτει τὸ ἕλκος, ἀλλὰ καὶ ἕτερον προσεργάζεται, τῷ φόνῳ τὸ ψεῦδος ἐπισυνάπτων, Οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ; ἐντεῦθεν λοιπὸν ἀπαριθμεῖται τὰς τιμωρίας. ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ· μία κόλασις· ἐργᾷ τὴν γῆν· δευτέρα αὕτη· ἀνάγκη γάρ τις ἄῤῥητος αὐτῷ συνέζευκται πρὸς τὸ ἔργον τῆς γῆς αὐτὸν κατεπείγουσα, ὥστε μηδὲ βουλομένῳ αὐτῷ ἐξεῖναι ἀναπαύεσθαι, ἀλλ' ἀεὶ αὐτὸν προσταλαιπωρεῖσθαι τῇ ἐχθρᾷ αὐτοῦ γῇ, ἣν ἐπικατάρατον αὐτὴν ἐποίησεν, μιάνας ἀδελ-* C *φότητος αἵματι. δεινὴ γὰρ τιμωρία ἡ μετὰ τῶν μισούντων δια-*

1. *τὸ αἷμα*] *τὸ στόμα* m. R. 2. *ἠ ἐκβάλλῃς* V. 4. *ἀποκτενεῖ με* P, *με ἀποκτενεῖ με* R. 7. *ὁ* om. P. 9. *ἠρημᾶσθαι* P. 10. *ἀπὸ τοῦ οὐρανοῦ* P. 15. *μου* om. P. 19. *πρὸς ταλ.* RV, *πρὸς τὸ ταλ.* P. 20. *ἐχθρᾷ* m. R, *ἔχθρα* PV.

riret sanguinem fratris tui, et eris gemens et tremens super terram. *Et dixit Cain:* Si ejicis me hodie a terra, et a facie tua abscondar, et ero gemens et tremens super terram, et omnis qui me invenerit, occidet me. *Ad hoc respondet Dominus:* Nequaquam ita fiet, sed, omnis qui occiderit Cain septuplum punietur. *Quia ergo Cain existimavit se a quovis facile captum iri, quod nec in terris ullum sciret praesidium, cum terra esset ab illo maledicta, nec a Deo auxilium expectaret, qui iratus illi erat propter caedem, ita ut coeli terraeque spe opeque illum deserente exclusus dixerit:* Omnis qui me invenerit, occidet me; *corrigit illius errorem Verbum, cum dicit:* Nequaquam ita fiet: *hoc est non occideris. Sed ille non solum ulcus tegit, sed alterum quoque ad caedem addit, dum mendacium concinnat, et dicit:* Nescio, numquid custos fratris mei sum ego? *Hinc jam poenas numerare Deus incipit.* Maledicta erit terra abs te. *Prima animadversio.* Operare terram. *Haec altera poena est: inexplicabilis enim quaedam ipsi necessitas affixa erat, quae illum ad opus ita urgebat, uti neque volenti quidem liceret ullam quietis partem capere, sed assiduissime premebat, terra illi infesta et inimica, quam sibi execrabilem fecerat, cum eam fraterno sanguine polluisset. Acerbum enim genus supplicii est vivere cum iis qui te oderint, et hostem domesticum*

γωγή, σύνοικον ἔχειν πολέμιον, ἄπαυστον ἔχειν τὸ μῖσος. ἐργᾷ
τὴν γῆν, τουτέστιν, κατατεινόμενος τοῖς ἔργοις τοῖς γεωπονικοῖς
οὐδένα χρόνον ἀνήσεις οὔτε νυκτὸς οὔτε ἡμέρας ἐκλυόμενος ἐκ τῶν V 195
πόνων, ἀλλὰ δεσπότου τινὸς χαλεπωτέραν ἔχων τὴν ἀνάγκην ἐπὶ
τὰ ἔργα σε διεγείρουσαν, καὶ οὐ προσθήσει δοῦναι τὴν ἰσχὺν αὐ-
τῆς. καίτοι εἰ καὶ τὸ τῆς ἐργασίας ἄπαυστον εἶχέ τινα καρπόν,
αὐτὸς ὁ πόνος οὐ μετρία βάσανος τῷ ἀεὶ κατατεινομένῳ καὶ κο-
πιῶντι· ἐπειδὴ δὲ καὶ ἡ ἐργασία ἄπαυστος καὶ ἄκαρπος ἡ περὶ
γῆν ταλαιπωρία, ἡ ἀκαρπία τῶν πόνων. στένων καὶ τρέμων D
ἔσῃ ἐπὶ τῆς γῆς. δύο προσέθηκεν ἄλλας ταῖς τρισί, στεναγμὸν
διηνεκῆ καὶ τρόμον τοῦ σώματος, τὸν ἐκ τῆς ἰσχύος στηριγμὸν
τῶν μελῶν οὐκ ἐχόντων. ἐπειδὴ γὰρ κακῶς ἐχρήσατο τῇ δυνά-
μει τοῦ σώματος, ὑφῃρέθη αὐτοῦ ὁ τόνος, ὥστε κλονεῖσθαι αὐ-
τὸν καὶ κατασείεσθαι, οὔτε ἄρτον δυνάμενον προσφέρειν ῥᾳδίως
τῷ στόματι οὔτε ποτὸν προσκομίζειν τῆς πονηρᾶς χειρὸς μετὰ τὴν
ἀνοσίαν πρᾶξιν οὔτε ταῖς ἰδίαις καὶ ἀναγκαίαις τοῦ σώματος
χρείαις λοιπὸν ἐξυπηρετεῖσθαι συγχωρουμένης. ἄλλη τιμωρία, P 244
ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Κάϊν εἰπών, Εἰ ἐκβάλλεις με νῦν ἀπὸ
τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι. ἡ βαρυτάτη
κόλασις τοῖς σωφρονοῦσιν ὁ ἀπὸ θεοῦ χωρισμός. καὶ ἔσται, φη-
σίν, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. εἰκάζει ἐκ τοῦ ἀκολούθου

5. τὴν om. P. 14. ῥᾳδίως] ἀδεῶς P. 16. ἀναγκαίοις P, ἀνάγκαις R. 18. αὐτὸς om. P. *ibid.* ἐκβάλλης V.

retinere, et odium aeternum alere. Operare terram *hoc est, nullo umquam tempore a terrae colendae et fodiendae sudore remitte, uti neque de nocte, neque de die respires a labore, sed ut ultima necessitate, quae omnem servilem servitutem superet, cogente, semper ad opus urgearis, nec assiduo tamen cultu illam meliorem reddas. Nam quamvis continuum opus habeat subinde operae fructum, tamen ipse labor ingentem adfert molestiam et tormentum semper distento, semper occupato et nunquam ab opere cessanti. Sed tu cum ingenti labore nihil proficies, nec operaepretium facies, nec fructum ullum reportabis. Insuper gemens et tremens eris super terram. Duas adjunxit alias poenas tribus, assidua suspiria, et corporis tremorem, amissa membrorum, quam ex fortitudine seu robore accipiebant, firmitudine. Cum enim corporis viribus abusus esset, nervus ab illo cessit, ut paveret, et assidua quadam trepidatione concuteretur, uti nec cibum tuto ori admovere, nec gestare poculum sine tremore posset, manu impia, post impium et parricidale factum, usum necessariae corporis functioni subducente. Alia poena est, quam prodidit Cainus, cum dixit:* Si ejicis me hodie a facie terrae, et a facie tua abscondar. *Gravissimum hoc supplicium prudentibus, repulsa a facie et conspectu Dei.* Et erit, *inquit,* omnis qui me invenerit, occidet me. *Conjectat ex prioribus poenis, consecuturas. Si ejicis me a facie terrae, si a facie*

R 576 τῶν προαγόντων, Εἰ ἀπὸ τῆς γῆς ἐκβέβλημαι, εἰ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, λείπεται ἀπὸ παντὸς ἀναιρεῖσθαι. τί οὖν ὁ κύριος; οὐχ οὕτως, ἀλλ' ἔθετο σημεῖον ἐπ' αὐτόν· ἑβδόμη αὕτη τιμωρία, τὸ μηδὲ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ
B σημείῳ προδήλῳ πᾶσι προκεκηρῦχθαι ὅτι οὗτός ἐστιν ὁ τῶν ἀνοσίων ἔργων δημιουργός. καὶ γὰρ τῷ ὀρθῶς λογιζομένῳ βαρυτάτη κολάσεων αἰσχύνη, ἣν καὶ περὶ τῆς κρίσεως μεμαθήκαμεν ὅτι οὗτοι ἀναστήσονται εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον. ἀκολουθεῖ τούτῳ ζήτημα συγγενὲς τὸ παρὰ τοῦ Λάμεχ ταῖς γυναιξὶν εἰρημένον, Ὅτι ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον, τὸν ἄνδρα εἰς τραῦμα καὶ νεανίσκον εἰς μώλωπα. ἄλλο οὖν τραῦμα καὶ ἄλλο μώλωψ, καὶ ἄλλο ἀνὴρ καὶ ἄλλο νεανίσκος. ὅτι εἰ ἐκ Κάϊν ἐκδεδίκηται ἑπτάκις, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά, τετρακοσίας καὶ ἐνενήκοντα τιμωρίας ὑποσχεῖν, εἰ μὴ δίκαιος, εἴπερ δικαία τοῦ θεοῦ ἡ κρίσις ἐπὶ τοῦ Κάϊν, ὥστε ἑπτὰ
C αὐτὸν παρέχειν τὰς κολάσεις· ὁ μὲν γὰρ ὥσπερ οὐκ ἔμαθεν παρ' ἄλλου τὸ φονεύειν, οὕτως οὐδὲ εἶδεν τιμωρίαν ὑπέχοντα φονευτήν. ἐγὼ δὲ ἐν ὀφθαλμοῖς ἔχων τὸν στένοντα καὶ τρέμοντα καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ θεοῦ, οὐκ ἐσωφρονίσθην τῷ ὑποδείγματι, ὅθεν ἄξιός εἰμι τετρακοσίας καὶ ἐνενήκοντα δοῦναι κολάσεις. ἔνιοι δὲ πρὸς τοιοῦτον ὥρμησαν λόγον, οὐκ ἀπᾴδοντα τοῦ ἐκκλησια-

1. ἐκβέβλη με V, ἐκβέβληκάς με P. 4. μὴ δὲ V, δὲ μὴ P. 5. πᾶσι om. P. 6. τῷ] τὸ PV. *ib.* λογιζομένων P. 7. ὅτε P. 10. νεανιανίσκον V. 11. τὸν ἄνδρα — νεανίσκον om. P. 14. 20. ἐννενήκοντα PV. 16. ὥσπερ om. P. 17. οὕτως οὐδὲ] οὗτος δὲ P.

tua me repellis, quid superest nisi ut proscriptus a quovis possim tolli. Quid ergo Dominus: Non ita: *sed posuit signum in illo: septima haec est poena. Quod autem animadversio non occulta, sed aperto signo praenuntiata sit, hunc esse nempe illum consceleratorum factorum architectum, sapientum judicio, poenarum omnium gravissima est ob ignominiam, quam ex ultimo quoque judicio existimare possumus, quando hi resurgent in vitam aeternam, et illi in ignominiam sempiternam. Sequitur huic annexa quaestio, quid sit quod Lamechus uxoribus suis dixit:* Quoniam virum interfeci, et juvenem in livorem. *Aliud ergo vulnus, et aliud livor, et aliud vir, et aliud adolescens. Quod si ob Cainum septemplex poena decreta est, ex Lamechi caede septuagies septena decernetur: si impius fuit Cainus, si pium et aequum judicium Dei de Caino, ut septemgemina poena plecteretur, is enim nullo exemplo caedem designavit, iste vero vidit etiam parricidam poenam subiisse. Ego vero ob oculos mihi versantem videre semper videor gementem et trementem Cainum, immensamque Dei iram et furorem, nec tamen exemplo sapere didici: unde dignus sum quadringentis nonaginta plagis. Quidam tamen*

στικοῦ δόγματος, ὅτι ἀπὸ τοῦ Κάϊν ἕως τοῦ κατακλυσμοῦ ἑπτὰ παρεληλύθασιν γενεαί. καὶ εὐθέως ἐπηνέχθη τῇ γῇ ἡ τιμωρία διὰ τὸ πολλὴν γενέσθαι χύσιν τῆς ἁμαρτίας. τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ' αὐτοῦ D τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου.

Ἀρίθμησον τοίνυν ἀπὸ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὰς γενεάς, καὶ εὑρήσεις κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν τῇ ἑβδομηκοστῇ καὶ ἑβδόμῃ διαδοχῇ γεγεννημένον τὸν Χριστόν. καὶ πρὸς εὐμάθειαν τῶν ἐντυγχανόντων καὶ αὐτὴν τὴν γενεαλογίαν ἐνταῦθα καθυπετάξαμεν.

R 578
V 196
P 245

Ἐκ τοῦ κατὰ Λουκᾶν τὸν εὐαγγελιστήν.

Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος εἶναι, ὡς ἐνομίζετο, υἱὸς

α'	τοῦ Ἰωσὴφ	β'	τοῦ Ἡλεὶ
γ'	τοῦ Ματταθὰ	δ'	τοῦ Λευὶ
ε'	τοῦ Μελχὶ	ς'	τοῦ Ἰαννὰ
ζ'	τοῦ Ἰωσὴφ	η'	τοῦ Ματταθίου
θ'	τοῦ Ἀμὼς	ι'	τοῦ Ναοὺμ
ια'	τοῦ Ἐσλεὶ	ιβ'	τοῦ Ναγγαὶ
ιγ'	τοῦ Μαὰθ	ιδ'	τοῦ Ματταθίου

6. τοίνυν] οὖν P. 11. Λουκᾶν] III. 23. 18. Νασούμ P.

ad hujuscemodi rationem progressi sunt, quae quidem ab Ecclesiastica doctrina minime est aliena. A Caino nempe usque ad diluvium septem generationes praeteriisse, et inde confestim terris poenam propter omnium peccatorum colluvionem et confusionem illatam. Lamechi porro delictum ad curationem cataclysmo non indigebat, sed illo ipso qui tollit peccata mundi.

Collige ergo aetates ab Adam usque ad Christi adventum, et juxta Lucae genealogiam, reperies, Christum septuagesima septima generationis successione natum. Atque etiam in gratiam seu faciliorem cognitionem lectorum ipsam hic Genealogiam subjecimus.

Ex Evangelio secundum Lucam Evangelistam.

Et ipse Jesus erat incipiens quasi annorum triginta, ut putabatur esse, filius.

I.	Joseph,	II.	Heli,
III.	Matthata,	IV.	Levi,
V.	Melchi,	VI.	Janna,
VII.	Joseph,	VIII.	Matthathiae,
IX.	Amos,	X.	Nasum,
XI.	Hesli,	XII.	Naggae,
XIII.	Maath,	XIV.	Matthathiae,

	ιε′ τοῦ Σεμεεὶ		ιϛ′ τοῦ Ἰωσὴφ
B	ιζ′ τοῦ Ἰούδα		ιη′ τοῦ Ἰωαννὰ
	ιθ′ τοῦ Ῥησὰ		κ′ τοῦ Ζοροβάβελ
	κα′ τοῦ Σαλαθιὴλ		κβ′ τοῦ Νηρεὶ
	κγ′ τοῦ Μελχεὶ		κδ′ τοῦ Ἀδδεὶ
	κε′ τοῦ Κωσὰμ		κϛ′ τοῦ Ἐλμωδὰδ
	κζ′ τοῦ Ἢρ		κη′ τοῦ Ἰωσῆ
	κθ′ τοῦ Ἐλιέζερ		λ′ τοῦ Ἰωρεὶμ
	λα′ τοῦ Ματθὰθ		λβ′ τοῦ Λευὶ
	λγ′ τοῦ Συμεὼν		λδ′ τοῦ Ἰουδᾶ
	λε′ τοῦ Ἰωσὴφ		λϛ′ τοῦ Ἰωνὰν
	λζ′ τοῦ Ἐλιακεὶμ		λη′ τοῦ Μελχέα
	λθ′ τοῦ Μαϊανᾶν		μ′ τοῦ Ματταθὰ
	μα′ τοῦ Νάθαν		μβ′ τοῦ Δαβὶδ
C	μγ′ τοῦ Ἰεσσαὶ		μδ′ τοῦ Ὠβὴδ
	με′ τοῦ Βοὸζ		μϛ′ τοῦ Σαλμὰν
	μζ′ τοῦ Ναασσὼν		μη′ τοῦ Ἀμηναδὰβ
	μθ′ τοῦ Ἀρὰμ		ν′ τοῦ Ἰωρὰμ
	να′ τοῦ Ἐσρὼμ		νβ′ τοῦ Φαρὲς
	νγ′ τοῦ Ἰούδα		νδ′ τοῦ Ἰακὼβ
	νε′ τοῦ Ἰσαὰκ		νϛ′ τοῦ Ἀβραὰμ

1. *Σεμιεὶ* P. 9. *Ματτὰθ* P. 12. *Ἐλειακεὶμ* P. *ib.* *Μελχὰ* P.
15. *Ὀβὴθ* P. 17. *Μηναδὰβ* P. 19. *Φάρεξ* P.

XV.	Semei,	XVI.	Joseph,
XVII.	Juda,	XVIII.	Joanna,
XIX.	Resa,	XX.	Zorobabel,
XXI.	Salathiel,	XXII.	Neri,
XXIII.	Melchi,	XXIV.	Addi,
XXV.	Cosam,	XXVI.	Elmodad,
XXVII.	Her,	XXVIII.	Jesu,
XXIX.	Eliezer,	XXX.	Jorim,
XXXI.	Matthath,	XXXII.	Levi,
XXXIII.	Symeon,	XXXIV.	Juda,
XXXV.	Joseph,	XXXVI.	Jonan,
XXXVII.	Eliacim,	XXXVIII.	Melcha,
XXXIX.	Maiana,	XL.	Matthatha,
XLI.	Nathan,	XLII.	David,
XLIII.	Jesse,	XLIV.	Obed,
XLV.	Booz,	XLVI.	Salman,
XLVII.	Naasson,	XLVIII.	Minadab,
XLIX.	Aram,	L.	Joram,
LI.	Esrom,	LII.	Pharez,
LIII.	Juda,	LIV.	Jacob,
LV.	Isaac,	LVI.	Abraham,

νζ'	τοῦ Θάῤῥα	νη'	τοῦ Ναχὼρ	R 580
νθ'	τοῦ Σεροὺχ	ξ'	τοῦ Ῥαγαῦ	
ξα'	τοῦ Φάλεγ	ξβ'	τοῦ Ἕβερ	
ξγ'	τοῦ Σάλα	ξδ'	τοῦ Καϊνὰν	
ξε'	τοῦ Ἀρφαξὰτ	ξϛ'	τοῦ Σὴμ	
ξζ'	τοῦ Νῶε	ξη'	τοῦ Λάμεχ	
ξθ'	τοῦ Μαθουσάλα	ο'	τοῦ Ἐνὰχ	D
οα'	τοῦ Ἰάρετ	οβ'	τοῦ Μαλελεὴλ	
ογ'	τοῦ Καϊνὰν	οδ'	τοῦ Ἐνὼς	
οε'	τοῦ Σὴθ	οϛ'	τοῦ Ἀδὰμ	
οζ'	τοῦ θεοῦ.			

Ἰνδ. ι'. ιδ'. ὑπ'. Ἰταλικοῦ καὶ Τραχάλου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἀφανὴς γέγονεν Νέρων, καὶ τελευτᾷ ἐκ συσκευῆς τῶν Ἰουδαίων, καθότι Πιλᾶτον ἀπεκεφάλισεν ὡς εἰς ἐκδίκησιν τοῦ Χριστοῦ, καὶ τελευτᾷ ὁ αὐτὸς Νέρων, ὢν ἐτῶν ξθ'. μετὰ Νέρωνα Γαλβᾶς ἐβασίλευσεν ἐν Ἰβηρίᾳ, Οὐιτέλλιος ἐν Γερμανίᾳ, Ὄθων ἐπὶ Ῥώμης. P 246

Ἕκαστος αὐτῶν ἰδίᾳ ἐπέβη τῇ ἀρχῇ. Γάλβας ἐβασίλευσεν μῆνας ζ'. καὶ ἐν μέσῃ τῇ Ῥωμαίων ἀγορᾷ τὴν κεφαλὴν ἀπετμήθη.

2. Ῥαγὰβ P. 5. Φαξὰδ P. 8. Μαλαλεὴλ P. 9. Ἐνὸς PV. 12. Τραχάνου P. 15. εἰς om. R. 17. (ἐν) P, om. R. *ibid.* Post Ῥώμης addit R [σζ', ση', σθ', σι', σια'.]

LVII.	Tharra,	LVIII.	Nachor,	Anni a m. c.
LIX.	Seruch,	LX.	Ragab,	
LXI.	Phaleg,	LXII.	Heber,	
LXIII.	Sala,	LXIV.	Caïnan,	
LXV.	Phaxad,	LXVI.	Sem,	
LXVII.	Noë,	LXVIII.	Lamech,	
LXIX.	Mathusala,	LXX.	Enoch,	
LXXI.	Jared,	LXXII.	Malaleel,	
LXXIII.	Caïnan,	LXXIV.	Enos,	
LXXV.	Seth,	LXXVI.	Adam,	
LXXVII.	Dei.			

A. C. [Ol. Iph.]

68. XIV. Ind. X. Italico et Trachano Coss. 4. 5576.

Hisce Coss. disparuit Nero, moriturque ex clandestinis Judaeorum consiliis, quod in Christi vindictam Pilatum capite plecti curaverit. Periit porro idem Nero annos natus LXIX. Post Neronem imperavit, in Hispania Galba, in Germania Vitellius, Romae denique Otho.

Horum singuli seorsim imperium arripuerunt. Galba imperavit menses VII. ac in medio Romae foro capite truncatus est.

Otho cum imperasset menses VI. sibi manus intulit.

Οὐϊτέλλιος βασιλεύσας μῆνας ι' ἑαυτῷ διεχειρίσατο· Ὄθων βασιλεύσας μῆνας ς' ἐσφάγη ἐν τῷ παλατίῳ Ῥώμης.

σιβ' Ὀλυμπιάς.

Ῥωμαίων ζ' ἐβασίλευσεν Οὐεσπασιανὸς ἔτη θ', μῆνας ια',
Byzantii urbis murum instauravit, factis haud modicis, quas veteris urbis muro adjunxit, additionibus, urbe ipsa Constantinopoli appellata. Circum praeterea absolvit, quem aereis statuis aliisque ornamentis decoravit: confecto etiam Tribunali, ex quo Imperator Circenses spectaret, instar illius quod Romae erat. Palatio magno proxime Circum insuper condito, ascensum per Cochleam ab eodem in Circi Tribunal confecit. Magnum quoque et splendidum omnino Forum aedificavit, in cujus medio ingentem ac stupendam Columnam Porphyreticam ex lapide Thebano statuit, cui suam ipsius praegrandem imposuit statuam, radios habentem in capite: quod quidem aereum opus ex Phrygia advehi curavit. Idem Imperator Constantinus clam ablatum Roma Palladium, uti appellatur, in Foro a se extructo, sub Columna, cui imposita est illius statua, recondidit, ut quidam ex Byzantiis asserunt, qui id ex traditione acceperunt. Fortunam vero Urbis ab eo instauratae, incruento facto sacrificio, Florentem appellavit.

Idem Imperator geminas condidit Porticus ab ingressu Palatii usque ad Forum, admodum elegantes, statuis et marmoribus adornatas, Porticuum loco Regiae nomine indito: propter quam excitavit Basilicam cum Concha, ingentibusque extra aedem columnis et statuis, quam Senatum

σας καὶ ἀνδριάντας, ἥνπερ ἐκάλεσεν Σενᾶτον, καλέσας τὸν τόπον Αὐγουσταῖον, καθότι καὶ στήλην ἣν στήσας κατέναντι τῆς ἰδίας αὐτοῦ μητρὸς Ἑλένης Αὐγούστας δεσποίνης ἐν πορφυρῷ D κίονι.

Ὁμοίως δὲ καὶ τὸ δημόσιον τὸ λεγόμενον Ζεύξιππον ἀνεπλήρωσεν, κοσμήσας κίοσι καὶ μαρμάροις ποικίλοις καὶ χαλκουργήμασιν.

Ἰνδ. β΄. κδ΄. ὑπ. Κωνσταντίνου Αὐγούστου τὸ ι΄ καὶ Κωνσταντίου Καίσαρος τὸ ε΄.

Ἰνδ. γ΄. κε΄. ὑπ. Γαλλικανοῦ καὶ Συμμάχου.

Ἔτους τα΄ τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου καὶ κε΄ τῆς ἑαυτοῦ βασιλείας Κωνσταντῖνος ὁ εὐσεβέστατος, πατὴρ Κωνσταντίνου νέου Αὐγούστου καὶ Κωνσταντίου καὶ Κώνσταντος P 285 Καισάρων, πόλιν μεγίστην, λαμπράν, καὶ εὐδαίμονα κτίσας, συγκλήτῳ τε τιμήσας, Κωνσταντινούπολιν κέκληκε πρὸ πέντε ἰδῶν μαΐων, ἡμέρᾳ δευτέρᾳ τῆς ἑβδομάδος, ἰνδικτιῶνος τρίτης, τὸ πρότερον καλουμένην Βυζάντιον, Ῥώμην αὐτὴν δευτέραν χρηματίζειν ἀναγορεύσας, ἐπιτελέσας ἱππικὸν ἀγῶνα πρῶτος, φορέσας πρώτοις διάδημα διὰ μαργαριτῶν καὶ ἑτέρων τιμίων λίθων. καὶ ἐποίησεν ἑορτὴν μεγάλην, κελεύσας διὰ θείου αὐτοῦ τύπου τῇ αὐτῇ ἡμέρᾳ ἐπιτελεῖσθαι τὸ γενέθλιον τῆς πόλεως αὐτοῦ καὶ ἀνοίγειν τῇ ια΄ τοῦ αὐτοῦ ἀρτεμισίου μηνὸς τὸ δημόσιον λουτρὸν

2. ἣν] ἧν PV. 3. Αὐγούστης P. 15. Κωνσταντίνου πόλιν R.
19. πρώτοις om. P, uncis inclusit R. 22. τῇ om. P.

nuncupavit: locum vero extra hanc aedem Augustaeum, quemadmodum et statuam, quam e regione matri suae Dominae Helenae Augustae in Porphyretica columna collocavit. Anni a m. c.

Absolvit quoque Balneum Zeuxippum nuncupatum, illudque columnis ac marmoribus varii coloris, et aereis operibus exornavit.

A. C. [Ol. Iph.]
329. xxiv. Ind. ii. Constantino Augusto X. et Constantino Caesare V. Coss. 1. 277. 5837.
330. xxv. Ind. iii. Gallicano et Symmacho Coss. 2.

Anno ccci. post Christi in coelos Assumptionem, et xxv. ipsius imperii, Constantinus Piissimus, pater Constantini Junioris Augusti, et Constantii et Constantis Caesarum, aedificata urbe maxima, illustri, et felici, eaque Senatu cohonestata, hanc Constantinopolim nuncupavit ex a. d. v. Idus Maias, Hebdomadis feria ii. Indictionis iii. cum prius Byzantium vocaretur, quam Romam secundam vocari decrevit, celebratis ludis Circensibus, in quibus diadema ex margaritis aliisque lapillis pretiosis confectum primus gestavit. Insigni deinde apparatu acta festivitate, statuit divina sua jussione, ut quotannis eodem recurrente die ejusdem urbis Natalis celebraretur, et xi. mensis Artemisii, publicum Zeuxippi Bal-

B Ζεύξιππον, πλησίον ὄντα τοῦ Ἱππικοῦ καὶ τῆς Ῥηγίας τοῦ παλατίου,
R 666 ποιήσας ἑαυτῷ ἄλλην στήλην ἀπὸ ξοάνου κεχρυσωμένην βαστάζουσαν ἐν τῇ δεξιᾷ χειρὶ τύχην τῆς αὐτῆς πόλεως, καὶ αὐτὴν κεχρυσωμένην, κελεύσας κατὰ τὴν αὐτὴν ἡμέραν τοῦ γενεθλιακοῦ ἱππικοῦ εἰσιέναι τὴν αὐτὴν τοῦ ξοάνου στήλην διριγευομένην ὑπὸ τῶν στρατευμάτων μετὰ χλανιδίων καὶ καμπαγίων, πάντων κατεχόντων κηροὺς λευκούς, καὶ περιέρχεσθαι τὸ ὄχημα τὸν ἄνω καμπτόν, καὶ ἔρχεσθαι εἰς τὸ σκάμμα κατέναντι τοῦ βασιλικοῦ καθίσματος, καὶ ἐπεγείρεσθαι τὸν κατὰ καιρὸν βασιλέα καὶ
C προσκυνεῖν τὴν στήλην τοῦ αὐτοῦ βασιλέως Κωνσταντίνου καὶ αὐτῆς τῆς τύχης τῆς πόλεως.

Ὁ αὐτὸς θειότατος βασιλεὺς Κωνσταντῖνος ἔμεινεν βασιλεύων ἐν Κωνσταντινουπόλει, ἀφελόμενος αὐτὴν ἀπὸ τῆς ἐπαρ-
V 228 χίας Εὐρώπης, ἤγουν τῆς μητροπόλεως αὐτῆς Ἡρακλείας, προβαλόμενος τῇ αὐτῇ Κωνσταντινουπόλει ἔπαρχον πραιτωρίων καὶ ἔπαρχον πόλεως καὶ τοὺς λοιποὺς μεγάλους ἄρχοντας.

Εἰσὶν ἀπὸ κτίσεως Ῥώμης ἕως οὗ Κωνσταντινούπολις ἐνεκαινίσθη ἔτη ͵απʹ.

Τούτῳ τῷ ἔτει Ἀλέξανδρος ἐπίσκοπος Ἀλεξανδρείας ἐτε-
D λεύτησεν πρὸ ιδʹ καλανδῶν μαΐων, φαρμουθὶ κβʹ, καὶ ἐχειροτονήθη ἀντ᾽ αὐτοῦ ἐπίσκοπος Ἀθανάσιος ὁ μέγας πατήρ.

5. δηρηγευομένην PV. 6. γαμπαγίων R. 9. τὸν om. R, (τὸν) P. 11. τῆς πόλεως] πόλεως P. 13. Κωνσταντίνου πόλει PV. 15. Κωνσταντίνου πόλει P. 21. πατήρ] φωστήρ Holstenius.

neum, quod Circo et Regiae Palatii adjacet, aperiretur. Cumque aliam sibi confecisset ex opere rasili statuam auratam, quae manu dextra ipsius Urbis Fortunam gestabat, ipsamque inauratam, praecepit, ut eo die quo Circenses ob Urbis Natalem ederentur, introiret eadem statua marmorea, deducta a militibus, laenis et campagis indutis, cunctis cereos albos deferentibus: utque currus quo statua vehebatur superiorem Flexum circumiret, et ad Scamma progrederetur ex adverso Imperatorii Tribunalis: utque Imperator qui tempore illo regnaret, e solio assurgens, statuam adoraret ejusdem Imperatoris Constantini, ipsiusque Fortunae Urbis.

Idem religiosissimus Imperator Constantinus Constantinopoli imperans mansit, quam ab Europae provincia, seu illius Metropoli Heraclea, avulsit, Praefecto Praetorio, et Praefecto urbi, caeterisque majoribus magistratibus in ea constitutis.

A Roma condita, ad annum quo dedicata est Constantinopolis, censentur anni MLXXX.

Hoc anno Alexander Episcopus Alexandriae ex a. d. XIV. Kal. Maias, Pharmuthi XXII. decessit, illiusque loco consecratus est Episcopus Athanasius ille magnus pater.

Ἰνδ. δ'. κς'. ὑπ. Βάσσου καὶ Ἀβλαβίου.

σοη' Ὀλυμπιάς.

Ἰνδ. ε'. κζ'. ὑπ. Πακατιανοῦ καὶ Ἱλαριανοῦ.

Ἐπὶ τούτων τῶν ὑπάτων ἤρξατο ἀναλίσκεσθαι τοῖς πολίταις Κωνσταντινουπόλεως ὁ ἄρτος ἀπὸ ιη' μαΐου.

Ἰνδ. ς'. κη'. ὑπ. Δαλμάτου καὶ Ζηνοφίλου.

Ἰνδ. ζ'. κθ'. ὑπ. Ὀπτάτου Πατρικίου καὶ Ἀνικίου Παυλίνου.

Τούτοις τοῖς ὑπάτοις γέγονε τὰ ἐγκαίνια τῆς ἐκκλησίας τοῦ P 286 ἁγίου σταυροῦ τῆς οἰκοδομηθείσης ὑπὸ Κωνσταντίνου ἐπὶ Μακαρίου ἐπισκόπου, μηνὶ σεπτεμβρίῳ ιζ'. ἐντεῦθεν ἤρξατο ἡ σταυροφάνεια.

Ἰνδ. η'. λ'. ὑπ. Κωνσταντίου Καίσαρος ς' καὶ Ἀλβίνου.

Κωνσταντίνου τοῦ εὐσεβοῦς ἤχθη τριακονταετηρὶς ἐν Κωνσταντινουπόλει Ῥώμῃ πάνυ φιλοτίμως πρὸ η' καλανδῶν αὐγού- R 668 στων, καὶ Κώνσταντα τὸν υἱὸν αὐτοῦ Αὔγουστον ἀνέδειξεν, καὶ Δαλμάτιον τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ Δαλματίου τοῦ κήνσω- B ρος Καίσαρα ἀνηγόρευσεν πρὸ η' καλανδῶν ὀκτωβρίων. ἦν δὲ Δαλμάτιος ὁ υἱὸς Δαλματίου τοῦ ἀδελφοῦ Κωνσταντίνου τοῦ εὐσεβοῦς στρατηγὸς Ῥωμαίων καὶ ὕπατος πρὸ τοῦ αὐτὸν ἀνα-

5. ὁ om. P. 6. Δαλματίου P sola. *ib.* καὶ Ζηνοφίλου — 7. Πατρικίου om. P. 17. κήνσωρος] κήναρος V, m. R, κένσορος P.

A. C.				[Ol. Iph.]	Anni a m. c.
331.	XXVI.	Ind. IV.	Basso et Ablavio Coss.	3.	5839.

CCLXXVIII. Olympias.

332.	XXVII.	Ind. V.	Pacatiano et Hilariano Coss.	4.	

His Coss. coepit panis distribui civibus Constantinopolitanis a XVIII. Maii.

333.	XXVIII.	Ind. VI.	Dalmatio et Anicio Paulino Coss.	1. 278.	

His Coss. facta est Dedicatio Ecclesiae Sanctae Crucis, quam Constantinus magnus aedificaverat, temporibus Macarii Episcopi (Hierosolymitani) die XVII. mensis Septembris. Atque hinc deinceps initium accepit festum apparitionis Sanctae Crucis.

334.	XXIX.	Ind. VII.	Optato et Paulino Coss.	2.	
335.	XXX.	Ind. VIII.	Constantio Caesare VI. et Albino Coss.	3.	5844.

A Constantio Pio acta Tricennalia Constantinopoli, quae et Roma, magnifice omnino, ex a. d. VIII. Kalend. Augusti: et Constantem filium Augustum, Dalmatium vero, fratris Dalmatii Censoris filium, Caesarem renuntiavit ex a. d. VIII. Kal. Octobris. Erat autem Dalmatius filius Dalmatii fratris Constantini Pii, Magister militiae Romanorum, et Consul, priusquam Caesaris di-

γορευθῆναι Καίσαρα. καὶ Ἀννιβαλιανὸν ῥῆγα προχειρισάμενος ἐνέδυσε κοκκηρὰν χλαμύδα, καὶ κατὰ Καισάρειαν τῆς Καππαδοκίας ἀπέστειλεν.

σοθʹ Ὀλυμπιάς.

Ἰνδ. θʹ. λαʹ. ὑπ. Νεπωτιανοῦ καὶ Φακούνδου.
Ἰνδ. ιʹ. λβʹ. ὑπ. Φηλικιανοῦ καὶ Τατιανοῦ.

C *Πέρσαι πόλεμον ἐδήλωσαν πρὸς Ῥωμαίους, καὶ ἐπιβὰς Κωνσταντῖνος λβʹ ἐνιαυτῷ τῆς αὐτοῦ βασιλείας, ὁρμήσας ἐπὶ τὴν ἀνατολὴν κατὰ Περσῶν, ἐλθὼν ἕως Νικομηδείας, ἐνδόξως καὶ εὐσεβῶς μεταλλάττει τὸν βίον ἐν προαστείῳ τῆς αὐτῆς πόλεως μηνὶ ἀρτεμισίῳ ιαʹ, καταξιωθεὶς τοῦ σωτηριώδους βαπτίσματος ὑπὸ Εὐσεβίου ἐπισκόπου Κωνσταντινουπόλεως, βασιλεύσας ἔτη λαʹ καὶ μῆνας ιʹ. καὶ κατέλιπε Καίσαρας τοὺς τρεῖς υἱοὺς αὐτοῦ, Κωνσταντῖνον Καίσαρα, βασιλεύοντα τῶν κατὰ Γαλλίαν μερῶν, ἄγοντα τῆς βασιλείας ἔτος εἰκοστόν, καὶ Κων-* D *στάντιον τὸν μετ᾽ αὐτὸν Καίσαρα ἐν τοῖς κατὰ τὴν ἀνατολὴν μέρεσιν, ἔτος ἄγοντα τῆς βασιλείας ιαʹ, καὶ Κώνσταντα μετ᾽ αὐτὸν Καίσαρα, ἐν τοῖς κατὰ τὴν Ἰταλίαν μέρεσι διάγοντα, τῆς βασιλείας ἔτος ἄγοντα τρίτον, καὶ Δαλμάτιον Καίσαρα υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ ἐν τῇ Μεσοποταμίᾳ, ἔτος ἄγοντα καὶ αὐτὸν τρίτον.*

Ὁ τρισμακάριος Κωνσταντῖνος ἀνεπαύσατο μηνὶ μαΐῳ κβʹ

1. *Ἀνιβαλιανὸν* P, *Ἀνιβαλιὸν* R. 10. *καὶ εὐσεβῶς* om. P. 15. *ἔχοντα* PV, *ἄγοντα* Ducangius.

A. C. [Ol. Iph.]

gnitatem esset consecutus. Annibalianum quoque Regem appellatum, purpurea chlamyde induit, et versus Caesarem Syriae misit.

CCLXXIX. Olympias.

336.	XXXI.	Ind. IX.	Nepotiano et Facundo Coss.	4.
337.	XXXII.	Ind. X.	Feliciano et Tatiano Coss.	1. 279.

Persis bellum Romanis denuntiantibus, Constantinus anno XXXII. imperii, dum in Orientem proficiscitur, suscepta contra Persas expeditione, cum venisset usque Nicomediam, gloriose vitam cum morte commutavit in ejusdem urbis suburbano, salutari baptismo ab Eusebio Episcopo Constantinopolitano donatus, cum imperasset annos XXXI. et menses X. Reliquit Caesares tres filios suos, Constantinum Caesarem qui in Galliis annos XX. Constantium Caesarem qui in Oriente annos XI. et Constantem Caesarem qui in Italiae finibus annos III. imperarunt: praeterea Dalmatium fratris filium, qui in Mesopotamia et ipse annum tertium regnavit.

Ter beatus Constantinus decessit mensis Maii XXII. ex a. d. XI.

πρὸ ιαʹ καλανδῶν ἰουνίων ἐν αὐτῇ τῇ ἁγίᾳ πεντηκοστῇ, ἔτι κειμένου ἀτάφου τοῦ σκηνώματος Κωνσταντίνου τοῦ εὐσεβοῦς ἐν τῷ V 229 παλατίῳ Κωνσταντινουπόλεως καὶ φυλαττομένου ἕως οὗ γνῶσιν οἱ υἱοὶ αὐτοῦ.

Ἀκούσας Κωνστάντιος ἐν τῇ ἀνατολῇ ἐν Μεσοποταμίᾳ, P 287 ἔτι τοῦ Περσικοῦ πολέμου ἐπικειμένου, εὐθέως ἐξώρμησεν ἐπὶ Κωνσταντινούπολιν, ἐν ᾗ παραγενόμενος προεκόμισε τὸν ἑαυτοῦ πατέρα Κωνσταντῖνον τὸν ἀοίδιμον ἐν τοσαύτῃ παρατάξει καὶ δόξῃ βασιλικῆς προόδου, ὡς οὐκ ἔστιν εἰπεῖν κατ᾽ ἀξίαν, παρόντος στρατοπέδου ὡς ἔτι ζῶντος ἐν ὁπλοφορίᾳ, τῆς τε πόλεως ἁπάσης, ἅτε καὶ ὑπ᾽ αὐτοῦ ἀνηγορευμένης Ῥώμης, καὶ δὴ ὅσα R 670 γέγονεν ἐν αὐτῇ ἔνδοξά τε καὶ σιτομέτρια τῶν δωρηθεισῶν ἀννωνῶν, ἐν πένθει τοσούτῳ πάντων ὄντων, ὡς οὐκ ἐγένετο πώποτε βασιλέα τῶν πρὸ αὐτοῦ δοξασθῆναι οὕτως ἐν τῇ ζωῇ καὶ μετὰ θάνατον. καὶ κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, ἐν ᾧ ἀπό- B κεινται λείψανα τῶν ἁγίων ἀποστόλων Ἀνδρέου καὶ Λουκᾶ τοῦ εὐαγγελιστοῦ καὶ Τιμοθέου μαθητοῦ Παύλου τοῦ ἀποστόλου.

Σάπωρις ὁ Περσῶν βασιλεὺς ἐπῆλθεν τῇ Μεσοποταμίᾳ πορθήσων τὴν Νίσιβιν, καὶ περικαθίσας αὐτὴν ἡμέρας ξγʹ καὶ μὴ κατισχύσας αὐτῆς, ἀνεχώρησεν.

Ῥωμαίων λεʹ ἐβασίλευσαν μετὰ θάνατον τοῦ πατρὸς αὐτῶν Κωνσταντίνου Κωνσταντῖνος ὁ νέος καὶ Κώνστας καὶ Κωνστάντιος ἔτη κδʹ. ὁμοῦ ͵εωϙʹ.

1. ἐν] ἐν τῇ P. 2. τοῦ alterum om. P. 10. ἐπιζῶντος R. 15. ἐν ᾧ — ἀποστόλων om. P. 19. παρακαθίσας V. 21. ἐβασίλευσεν P. ib. αὐτῶν] αὐτοῦ P.

Kal. Junias, ipso Sanctae Pentecostes die: cujus quidem Constantini Pii corpus in Palatio Constantinopoleos insepultum jacuit, et servatum est, quoad filii de morte ipsius certiores fierent.

Constantius cum in Oriente versaretur, in Mesopotamia bello Persico adhuc urgente, confestim venit Constantinopolim: quo cum pervenisset, patrem Constantinum inclytum tanto comitatu, et ea regii processus pompa extulit, ut id nemo pro dignitate possit assequi, praesente Praetoriana militia, velut eo superstite armis suis instructa, ac universa civitate, quam Romae nomine donatam, illustribus ornamentis decoraverat, et concessarum annonarum demenso ditaverat, omnibus tanto luctu funus prosecutis, ut nullus ante illum extiterit Imperator, qui vivus mortuusque adeo cultus fuerit et praedicatus. Humatus est autem in aede Sanctorum Apostolorum Andreae, Lucae Evangelistae, et Timothei discipuli Sancti Pauli.

Sapor Persarum Rex Mesopotamiam invasit, Nisibin populaturus, quam cum per dies LXIII. obsedisset, desperata expugnatione recessit.

Romanis XXXV. imperavit post mortem patris ipsius Constantini,

C *Καὶ ὁ μὲν νέος Κωνσταντῖνος ἐβασίλευσεν ἐν Κωνσταντινουπόλει ἔτος α′, Κώνστας δὲ ἐν Ῥώμῃ ἔτη ιβ′, καὶ μετὰ τὴν αὐτοῦ Κώνστα τελευτὴν τὰ λοιπὰ ιβ′ ἔτη ἐβασίλευσεν ἐν Ῥώμῃ Κωνστάντιος ὁ αὐτῶν ἀδελφὸς ὤν. τὸ κατὰ μέρος ἐστὶν οὕτως.*

Ἰνδ. ια′. α′. ὑπ. Οὔρσου καὶ Πολεμίου.

Ἰνδ. ιβ′. β′. ὑπ. Κωνσταντίνου νέου Αὐγούστου τὸ δ′ καὶ Κώνσταντος Αὐγούστου τὸ ζ′.

σπ′ Ὀλυμπιάς.

Ἰνδ. ιγ′. γ′. ὑπ. Ἀκινδύνου καὶ Πρόκλου.

D *Ἰνδ. ιδ′. δ′. ὑπ. Μαρκελλίνου καὶ Προβίνου.*

Ἰνδ. ιε′. ε′. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ε′ καὶ Κώνσταντος Αὐγούστου τὸ β′.

Ἰνδ. α′. ϛ′. ὑπ. Πλακίτου καὶ Ῥωμύλου.

σπα′ Ὀλυμπιάς.

Ἰνδ. β′. ζ′. ὑπ. Λεοντίου καὶ Σαλουστίου.

V 231 P 289 *Ἰνδ. γ′. η′. ὑπ. Ἀμαντίου καὶ Ἀλβίνου.*

Ἐπὶ τούτων τῶν ὑπάτων Κωνσταντιαναὶ δημόσιον ἐν Κωνσταντινουπόλει πλησίον τῶν Ἀποστόλων ἤρξατο κτίζεσθαι ὑπὸ Κωνσταντίου Αὐγούστου ἀπὸ μηνὸς ἀπριλίου ιζ′.


8. *Κώνσταντος* P. 15. Circulum qui sequebatur in tabula adiecta posuimus. 18. *ἤρξαντο* P.

Anni am. c. 5869. Constantinus Junior, et Constans, et Constantius annos XXIV. Colliguntur anni v. MDCCCLXX.

Ac Constantinus quidem Junior imperavit Constantinopoli annum I. Constans vero Romae annos XII. et post ejusdem Constantis mortem reliquos XII. Romae imperavit illorum frater Constantius. Atque haec singillatim se habent.

A. C.				[Ol. Iph.]
5846. 338.	I.	Ind. XI.	Urso et Polemio Coss.	2.
339.	II.	Ind. XII.	Constantino Juniore Augusto IV. et Constantio Augusto VII. Coss.	3.
			CCLXXX. Olympias.	
340.	III.	Ind. XIII.	Acindyno et Proclo Coss.	4.
341.	IV.	Ind. XIV.	Marcellino et Probino Coss.	1. 280.
342.	V.	Ind. XIV.	Constantio Augusto V. et Constante Augusto II. Coss.	2.
343.	VI.	Ind. I.	Placito et Romulo Coss.	3.
			CCLXXXI. Olympias.	
344.	VII.	Ind. II.	Leontio et Salustio Coss.	4.
5853. 345.	VIII.	Ind. III.	Amantio et Albino Coss.	1. 281.

His Coss. Thermae Constantianae Constantinopoli juxta



ἔτος ς' ubi est ζ', P ξ' et ubi ξανθικοῦ est, δύστρου. 1. χρονογράφιν V. 2. ιθ' ἐτηρίδος PV. Sic et 6. 10. 15. 3. τεσσαρισκαιδεκατέαι PV. 13. τῇ κα' τοῦ μαρτίου] ὡς εἴρηται m. V. 14. οὔτε] οὐδὲ P. ib. η' καὶ ιε' ἐτηρὶς — ιζ' ἐτηρὶς — ις' ἐτηρὶς PV. Omisit autem circulum R.

Annorum descriptio Cycli Lunaris, et quartae decimae in quibus legale Pascha celebrari praeceptum est. Ista autem complectitur Cyclus, secundum Romanos et Syros seu Macedones, et secundum Aegyptios. Initium porro accepit praesens Decemnovennalis a LIX. *anno Diocletiani, seu a* XXI. *mensis Martii die, quo aequinoctium agnoscitur in Consulatu Leontii et Salustii: sub quibus Consulibus annus a mundo condito* V. MDCCCLII. *completur. Finito igitur Decemnovennali, praedictis annis, et supra descriptis Consulibus, rursum ad primum illius annum recurre* XXI. *mensis Martii die, Indict.* II. *tum certo percipies, quod neque Octennale, neque Quindecennale, sed et neque Septennale, vel Sedecennale ullam accurationem habere potest, praeter ipsum Decemnovennale. Habet autem Epactas etiam in circulo, quae singulis annis sunt collocandae, ut et qui appellantur Embolimi.*

C

1

1

C

D

V 231
P 289

στ
Κω

Anni am. c. Cons
5869. tur

Cons
liquo
gillat
A. C
5846. 33
33
stanti

340
341
342
Augus
343.

344.
5853. 34
H

Ἰνδ. δ'. θ'. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ϛ' καὶ Κώνσταντος Αὐγούστου τὸ γ'. R 672

Ἰνδ. ε'. ι'. ὑπ. Ῥουφίνου καὶ Εὐσεβίου.

σπβ' Ὀλυμπιάς.

Ἰνδ. ϛ'. ια'. ὑπ. Φιλίππου καὶ Σαλία.

Ἰνδ. ζ'. ιβ'. ὑπ. Λιμενίου καὶ Κατουλλίνου. B

Ἐπὶ τούτων τῶν ὑπάτων ἀπεκτάνθη Κώνστας ἐν Γαλλίαις ὑπὸ Μαγνεντίου, ἄρξας ἔτη ιβ', καὶ ἐπήρθη Μαγνέντιος πρὸ ιε' καλανδῶν φεβρουαρίων, καὶ Βετρανίων εἰς τὸ Σίρμιον καλάνδαις μαρτίαις. καὶ Νεπωτιανὸς αὐτῷ τῷ ἔτει ἐπήρθη ἐν Ῥώμῃ πρὸ τριῶν νώνων ἰουνίων, καὶ πόλεμος μέγας ἐγένετο μετὰ ταῦτα μεταξὺ Ῥωμαίων καὶ Μαγνεντιακῶν.

Ἰνδ. η'. ιγ'. ὑπ. Σεργίου καὶ Νιγρινιανοῦ.

Ὁ μακάριος Λεόντιος ὁ ἐπίσκοπος Ἀντιοχείας τῆς Συρίας, ἀνὴρ κατὰ πάντα πιστός τε καὶ εὐλαβὴς καὶ ζηλωτὴς ὑπάρχων C τῆς ἀληθοῦς πίστεως, ἐπιμελούμενος δὲ καὶ τῶν ξενοδοχείων ὑπὲρ τῆς τῶν ξένων θεραπείας, κατέστησεν ἄνδρας εὐλαβεῖς ἐν τῇ τούτων φροντίδι, ἐν οἷς ἐγένοντο τρεῖς σφόδρα ζηλωταὶ τῆς εὐσεβείας. οὗτοι διά τινα χρείαν ὥρμησαν εἰς χωρίον ἀπὸ ιζ' σημείων Ἀντιοχείας· ὄνομα δὲ τὸ χωρίον Θρακῶν κώμη λεγομένη. τού-

12. Μαγνεντιανῶν P. 13. Νιγριανοῦ R, alterum in m. ponens.
16. δὲ om. P. 18. ἐν οἷς om. P. 20. Θραυκοῦν P, Θρακόων V.

A. C. [Ol. Iph.]

aedem Apostolorum coeperunt aedificari a Constantio Augusto a die xvii. mensis Aprilis.

346. ix. Ind. iv. Constantio Augusto VI. et Constante Augusto III. Coss. 2.

347. x. Ind. v. Rufino et Eusebio Coss. 3.

CCLXXXII. *Olympias.*

348. xi. Ind. vi. Philippo et Salia Coss. 4.

349. xii. Ind. vii. Limenio et Catullino Coss. 1. 282.

His Coss. Constans occisus est in Galliis a Magnentio, cum imperasset annos xii. et levatus est Magnentius ex a. d. xv. Kalend. Februar. et Vetranio apud Sirmium Kalend. Martiis. Eo ipso anno Nepotianus Romae levatus est ex a. d. iii. Non. Junias, bellumque ingens fuit inter Romanos et Magnentianos.

350. xiii. Ind. viii. Sergio et Nigriniano Coss. 2.

Beatus Leontius Antiochiae Syriae Episcopus, vir in primis fidelis ac pius, veraeque fidei propugnator, cum Xenodochiorum curam suscepisset, pro peregrinorum susceptione viros pios ac religiosos iis praefecit. In iis autem administrandis tres erant egregii pietatis cultores, qui negotiorum quorundam causa venerunt in locum Antiochia xvii. milliari-

τοις συνώδευεν περιτυχὼν Ἰουδαῖός τις· ἦν δὲ ὁ προηγούμενος τῶν τριῶν ἀδελφῶν εὐλαβέστατος ἀνήρ, Εὐγένιος τοὔνομα. ἐν δὲ τῷ συνοδεύειν ἀρξάμενος ὁ Εὐγένιος ἐκίνει λόγον πρὸς τὸν
D Ἰουδαῖον περὶ τῆς τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ πίστεως. τοῦ δὲ Ἰουδαίου διαχλευάζοντος, ηὑρέθη ἐν τῇ ὁδῷ ὄφις νεκρὸς κείμενος· καὶ εὐθέως ὁ Ἰουδαῖος πρὸς αὐτοὺς λέγει, Ἐὰν φάγητε τὸν ὄφιν τοῦτον τὸν νεκρὸν καὶ μὴ ἀποθάνητε, γίνομαι χριστιανός. καὶ εὐθέως ὁ Εὐγένιος λαβὼν τὸν ὄφιν διεῖλεν εἰς τρία μέρη ἑαυτῷ καὶ τοῖς σὺν αὐτῷ δυσί· καὶ ἔφαγον ἐνώπιον τοῦ Ἰουδαίου, καὶ ἔζησαν. ἐφ᾽ οἷς ἐπληροῦτο τὸ εὐαγγελικὸν καὶ σωτήριον λόγιον τὸ φῆσαν, Καὶ ἐν ταῖς χερσὶν αὐτῶν ὄφεις ἀροῦσιν, κἂν θανάσιμόν τι φάγωσιν, οὐ μὴ αὐτοῖς ἀδικήσει. ὁ Ἰου-
P 290 δαῖος συνεισελθὼν αὐτοῖς ἐν τῷ ξενῶνι, καὶ διαμείνας ἐν αὐτῷ, ηὐδοκίμει χριστιανὸς γενόμενος.

R 674 Κωνστάντιος ὁ Αὔγουστος, διατρίβων ἐν τοῖς ἀνατολικοῖς μέρεσιν διὰ τὸν Περσικὸν πόλεμον, ἀκούσας τὰ κατὰ Μαγνέντιον, ἐξώρμησεν ἀπὸ τῆς Ἀντιοχέων ἐπὶ τὴν Ἰταλίαν.

Σάπωρις δὲ ὁ Περσῶν βασιλεὺς ἐπελθὼν τῇ Μεσοποταμίᾳ, καὶ περικαθίσας ἡμέρας ρ΄ τὴν Νίσιβι, καὶ διαφόρως αὐτὴν πολεμήσας καὶ μηχαναῖς πολλαῖς χρησάμενος, ὡς καὶ ἐλεφάν-

1. τις om. P. 3. ἐκίνει] ἐκείνη V, ἐκεῖνος P. 4. τοῦ prius om. P. 10. τὸ εὐαγγελικὸν] Marci XVI. 18. 12. κἂν] καὶ ἐὰν P, καὶ R. 13. συνελθὼν P. 17. Ἀντιοχείας P. 19. παρακαθίσας V. ib. τῇ P. ib. Νήσιβι PV.

bus dissitum: vico autem nomen fuit Thraucun: iisque se comitem adjunxit in itinere Judaeus. Porro inter tres illos fratres, primus erat vir piissimus, nomine Eugenius. Cum vero una iter agerent, Eugenius iste sermonem orsus est cum Judaeo de fide unigeniti Filii Dei: Judaeo autem cum risu ac cavillatione haec excipiente, repertus est in via serpens mortuus: statimque Judaeus ad illos conversus, *Si*, inquit, *serpentem hunc mortuum comederitis, et non moriemini, Christianus fiam.* Et extemplo Eugenius serpentem sublatum in tres partes dividit, sibique una reservata, duabus aliis sociis datis, coram Judaeo has vorarunt, nullo inde accepto damno. In quibus Evangelicum istud et salutare dictum completum est: *In manibus suis serpentes tollent, et si mortiferum quid biberint, non eis nocebit.* Judaeus ergo cum illis in Xenodochium reversus, ac in eo manens, Christianus factus postmodum inclaruit.

Constantius Augustus, cum in Orientis partibus propter bellum Persicum versaretur, et quae a Magnentio patrata erant accepisset, Antiochia in Italiam profectus est.

Sapor autem Persarum Rex facta in Mesopotamiam irruptione, centum dierum spatio Nesibin obsedit, variisque modis cum ingenti machinarum copia oppugnavit, adducto etiam magno elephantorum ad bellum idoneorum numero: conductis praeterea in auxilium Regibus, et bellicis

των πλῆθος ἀγαγεῖν ἐπιτηδείων πρὸς συμμαχίαν καὶ βασιλεῖς
μισθωτούς, μαγγανικά τε παντοῖα, οἷς, εἰ μὴ βούλοιντο τὴν πό- V 232
λιν ἐκχωρήσειν, ἐξαφανίζειν αὐτὴν ἐκ βάθρων ἠπείλουν. τῶν B
δὲ Νισιβηνῶν ἀντεχόντων πρὸς τὴν παράδοσιν, τὸ λοιπὸν ἐξυδα-
τῶσαι ταύτην τῷ πρὸς αὐτὴν ποταμῷ διεγνώκει ὁ Σάπωρις. οἱ
δὲ Νισιβηνοὶ εὐχαῖς ἐνίκουν τοὺς πολεμίους, εὐμενῆ τὸν θεὸν
ἔχοντες. τῶν γὰρ ὑδάτων μελλόντων τὴν θέσιν τῶν τειχέων ἐξο-
μαλίζειν εἰς πτῶσιν, μέρος τοῦ τείχους πεπόνθει κατὰ θεοῦ συγ-
χώρησιν ἐπὶ τῷ συμφέροντι, καθὼς ἐν τοῖς ἑξῆς δηλωθήσεται.
γίνεται γὰρ τήν τε πόλιν φυλαχθῆναι καὶ τοὺς πολεμίους τοῖς
ὕδασιν ἀντέχεσθαι, ὡς καὶ πολλοὺς ἀπολέσθαι. οἱ δὲ καὶ τοῦ- C
το πεπονθότες ἠπείλουν διὰ τοῦ καταπεσόντος μέρους τοῦ τείχους
εἰσελθεῖν, παραστήσαντες τοὺς ἐλέφαντας ἐνόπλους καὶ ὄχλον
συμπείσαντες ἐμβριθέστερον προσέχειν τῷ πολέμῳ μαγγάνοις
παντοίοις μηχανώμενοι. οἱ δὲ τὴν πόλιν φρουροῦντες στρατιῶ-
ται νίκην ἐκ θεοῦ προνοίας ἐσχήκασιν. τὸν γὰρ τόπον ἅπαντα
παντοίοις ὅπλοις ἐπλήρουν, καὶ ὀνάγροις τοὺς πλείονας ἐλέφαν-
τας ἀπέκτειναν· οἱ δὲ λοιποὶ ἐν τοῖς κατατέλμασι τῶν τάφρων
ἐνέπεσαν, ἄλλοι δὲ κρουσθέντες ἀπεστράφησαν εἰς τὰ ὀπίσω,
καὶ ὑπὲρ μυρίους αὐτῶν ὁπλίτας ἀπέκτειναν, καὶ τοῖς λοιποῖς σκη- D
πτὸς οὐρανόθεν ἔπεσεν, νεφελῶν τε γνοφωδῶν καὶ ὑετοῦ λάβρου καὶ
βροντῶν φωναῖς ἅπαντας ἐξέπληττον, ὡς τοὺς πλείονας αὐτῶν φόβῳ

4. 6. *Νησιβινῶν* PV. 5. *Σάπωρις οἶδεν. οἱ* R. 10. *τε* om. P.

omnis generis comparatis instrumentis: quibus fretus, nisi urbem dederent, a fundamentis eam eversurum minitabatur.

Deditionem vero recusantibus Nesibinis, Sapor urbem ex vicino urbi fluvio inundare decrevit.

At Nesibini precibus hostes vicere, propitio sibi conciliato Deo. Cum enim aquae murorum fundamenta solo aequaturae essent, horumque immineret ruina, pars murorum ita Dei nutu concidit, ut urbi maxime commodaret, quemadmodum in sequentibus exponetur. Accidit enim ut urbs inde servata fuerit, aquis hostes arcentibus, multisque ex iis pereuntibus.

Ii vero casu illo non deterriti minabantur se per collapsam muri partem penetraturos, applicatis elephantis armatis, et milite excitato ut totis viribus ad bellum, omnis generis machinis adhibitis, incumberent.

Verum qui in urbis praesidio erant milites, victoriam Dei quadam providentia adepti sunt. Loco enim universo armatis omnis generis impleto, onagris complures elephantos occiderunt: caeteris in fossarum uliginem prolapsis, aliis vero depulsis et retrocedere coactis. Caesi sunt ex iis qui armati erant supra decem millia: reliqui fulmine de coelo lapso, caliginosisque nubibus, ac largo imbre, et tonitruorum fragoribus adeo perculsi sunt, ut major pars illorum metu conciderit.

διαφθαρῆναι. πάντοθεν δὲ ὁ νέος Φαραὼ Σάπωρις στενούμενος ἡττᾶτο, τοῖς τοῦ φόβου κύμασι δεινῶς καταντλούμενος. R 676 *μέλλων δὲ καθαιρεῖν αὐτήν, τοῦ τείχους ῥῆγμα μέγιστον ὑπομείναντος, καὶ τῆς πόλεως λοιπὸν προδίδοσθαι μελλούσης, ὅρα-* P 291 *σις ἐδείχθη ἐν ἡμέρᾳ τῷ Σάπωρι καθ' ἣν ὥραν ἐπολέμει ἀνήρ τις περιτρέχων εἰς τὰ τείχη τῆς Νισίβης· ἦν δὲ ὁ φαινόμενος τῷ εἴδει Κωνστάντιος ὁ Αὔγουστος· ὡς πλέον ἀγανακτεῖν τὸν Σάπωριν κατὰ τῶν τῆς Νισίβης οἰκητόρων, λέγοντα ὡς Οὐδὲν ὑμῶν ὁ βασιλεὺς ἰσχύει· ἐξελθάτω καὶ πολεμείτω, ἢ παράδοτε τὴν πόλιν. ἐκείνων δὲ λεγόντων, Οὐκ ἔστιν δίκαιον παραδοῦναι ἡμᾶς τὴν πόλιν, ἀπόντος τοῦ βασιλέως ἡμῶν Κωνσταντίου τοῦ Αὐγούστου. ὡς ἐκ τούτου πλέον ἀγανακτεῖν τὸν Σάπωριν, ψευδομένων αὐτῶν κατὰ τὸ φαινόμενον ἐκείνῳ, καὶ λέγειν αὐτόν, Ἵνα τί ψεύδεσθε· ἐγὼ θεωρῶ τοῖς ἐμοῖς ὀφθαλμοῖς τὸν βασιλέα* B *ὑμῶν Κωνστάντιον περιτρέχοντα εἰς τὰ τείχη τῆς πόλεως ὑμῶν. καὶ ἐν τούτοις πολεμηθεὶς ὑπὸ τοῦ θεοῦ ποικίλως ὁ Σάπωρις ἄπρακτος ἀνεχώρησεν, θάνατον ἀπειλήσας τοῖς μάγοις αὐτοῦ. μαθόντες δὲ τὴν αἰτίαν διέγνωσαν τοῦ φανέντος ἀγγέλου σὺν τῷ Κωνσταντίῳ τὴν δύναμιν, καὶ ἡρμήνευον αὐτῷ. καὶ ἐπιγνοὺς ὁ Σάπωρις τοῦ κινδύνου τὴν αἰτίαν, ἐν φόβῳ γεγονὼς ἐκέλευσε τά τε μαγγανικὰ καυθῆναι καὶ ὅσα πρὸς τὴν τοῦ πολέμου παρασκευὴν ηὐτρέπισεν διαλυθῆναι. αὐτὸς δὲ σὺν τοῖς ἰδίοις*

3. *μέλλων δὲ* P. 6. *Νησίβεως* P, *Νήσιβυς* R bis. 8. *Νησίβεος* P. 9. *ἐξελθέτω* P. 17. *ἐνεχώρησε* m. R. 18. *δὲ* om. P.

Undique autem Sapor novus Pharao in angustum redactus victus est, pavoris fluctibus miserabiliter demersus.

Cum vero proxime civitas evertenda esset, muri casu hiatum ingentem facturo, deditionem factura, visum quoddam, eadem hora qua urbem oppugnabat, ejusmodi Sapori objectum est. Vir quidam moenia Nesibina percurrebat: referebat ille specie sua Constantium Augustum, ita ut gravius indignatus Sapor, Nesibinis civibus subinde ingereret: *Nihil vobis profuturus est Imperator: egrediatur ille, et pugnet, aut tradite civitatem.*

Quibus ii reposuere: *Minime par est ut absente Imperatore nostro Constantio deditionem faciamus.* Unde vehementius indignatus Sapor, ex viso illos mentiri persuasus, *Cur mentimini*, inquit, *ego hisce meis oculis video Imperatorem vestrum Constantium per moenia vestra discurrentem.* Ita Sapor varie a Deo profligatus, re infecta recessit, mortem Magis suis minitatus: qui causa cognita, Angeli apparitione summam in Constantio potentiam portendi ominantes, ita Sapori visum exposuerunt. Is vero ubi intellexit periculi causam, timore perculsus, machinas bellicas comburi, et quidquid ad apparatum bellicum paraverat, destrui imperavit, arreptaque cum suis fuga, nemine persequente, in patriam se

φυγῇ διωκόμενος τὴν πατρίδα κατείληφεν, πρότερον λοιμικῇ νό-
σῳ τῶν πλειόνων διαφθαρέντων. φέρεται δὲ ἐν ἐπιστολῇ Οὐα-
λαγέσου ἐπισκόπου Νισίβης τὸ κατὰ μέρος τούτων δηλούσῃ. C

Κωνσταντίου τοῦ Αὐγούστου ἐν τῷ κατὰ Μαγνεντίου
ἀπερχομένου πολέμῳ, πρὶν ἢ φθάσαι αὐτὸν Κωνσταντία ἡ Κων- V 233
σταντίου ἀδελφὴ ἐνδύσασα Βετρανίωνα πορφύραν καλάνδαις
μαρτίαις εἰς βασιλέα ἐν Ναϊσῷ τῆς Ἰταλίας ἄνδρα ἔντιμον ἀνέ-
στησε τῷ Μαγνεντίῳ πρὸς τὴν μάχην. καὶ μετὰ ταῦτα φθάσας
ὁ Κωνστάντιος ἐν οἷς τόποις ἦν ὁ πόλεμος ἐν τῇ Ἰταλίᾳ, προσε-
δέξατο τὸν Βετρανίωνα μετὰ πολλῆς τιμῆς· καὶ μετὰ ταῦτα ἐν
τῷ κάμπῳ τριβουνάλιον ἐφ᾽ ὑψηλοῦ ποιήσας, παρόντος αὐτῷ
τοῦ στρατοπέδου, συμπαρεστῶτος δὲ καὶ τοῦ Βετρανίωνος, ἐδη-
μηγόρει ὁ Κωνστάντιος ἀκόλουθον εἶναι τῇ βασιλείᾳ τὴν ἐξου- D
σίαν ὑπάρχειν καὶ τῷ ἐκ προγόνων βασιλέων διαδεξομένῳ ταύ-
την· συμφέρειν δὲ καὶ τῷ κοινῷ δεόντως ὑπὸ μίαν ἐξουσίαν διοι-
κεῖσθαι τὰ δημόσια καὶ ὅσα τούτοις ἀκόλουθα.

Ἐν πᾶσι δὲ τούτοις ἦν ὁ θεὸς μετὰ Κωνσταντίου, εὐοδῶν R 678
αὐτοῦ τὴν βασιλείαν. ἦν γὰρ καὶ αὐτὸς πολλὴν φροντίδα ποιού-
μενος ὑπὲρ τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ. τὸν δὲ Βετρανίωνα
βασιλεύσαντα μῆνας δέκα κατὰ τὴν προειρημένην δημηγορίαν ὁ
Κωνστάντιος ἀποδύσας τὴν πορφύραν κατ᾽ αὐτὸν τὸν καιρὸν
τραπέζης αὐτῷ πρὸς ἑστίασιν κοινωνίαν παρέσχετο καὶ μετὰ πά-

2. Οὐολαγέσου P. 3. δηλοῦσις V a correctore. 4. τοῦ om. P. 7. Ἰταλίας] Ἰλλυρίας Ducangius. 12. καὶ om. P. 14. διαταξομένῳ P. 21. τὸν om. P.

recepit, magna exercitus parte pestilentia prius absumpta. Circumfertur Volagesi Nesibini Episcopi Epistola, qua haec singillatim exponuntur.

Constantio Augusto ad bellum contra Magnentinm profecto, priusquam adventaret, Constantia Constantii soror Vetranionem, virum illustrem, Kalendis Mart. purpura indutum Naïsi Illyriae urbe Imperatorem factum ac inauguratum Magnentio ad praelium opposuit. Constantius vero ubi ad locum Italiae quo bellum gerebatur pervenit, Vetranionem perhonorifice accepit, posteaque erecto in campi loco eminentiori, tribunali, coram exercitu, ac ipso Vetranione, orationem habuit Constantius, dixitque, Par esse omnino ut imperio potestas suprema, eaque a majoribus Imperatoribus accepta dominetur: subditis vero longe esse utilius res publicas ab unica eademque potestate rite administrari, et alia id genus consentanea.

Caeterum in hisce omnibus Deus erat cum Constantio, illiusque imperium secundabat. Is enim summam Christi Ecclesiarum curam habuit. Vetranionem vero post decimum mensem quam imperaverat, secundum praedictam illam concionem, purpura exutum, eodem tempore mensa sua dignatus est Constantius, summisque honoribus et multo comitatu, ac multis benevolentiae significationibus illum prosecutus, Prusam Bithy-

P 292 σης τιμῆς καὶ δορυφορίας καὶ πολλῶν χαρισμάτων ἀπέστειλεν αὐτὸν ἐν πόλει Προυσιάδι τῆς Βιθυνίας διάγειν, λαμβάνοντα ἀννώνας καὶ κελλαρικὰ δαψιλῶς. χριστιανὸς δὲ ὢν ὁ Βετρανίων, καὶ παραβάλλων ἐν τῇ ἐκκλησίᾳ ἐν συνάξεσιν, ἐποίει ἐλεημοσύνας πένησι, τιμῶν καὶ τοὺς τῆς ἐκκλησίας προεστῶτας ἕως τελευτῆς αὐτοῦ.

Ἰνδ. θ'. ιδ'. ὑπ. Σεργίου καὶ Νιγρινιανοῦ.

Κωνστάντιος Αὔγουστος μόνος βασιλεύων Γάλλον ἀνεψιὸν αὐτοῦ κοινωνὸν τῆς αὐτοῦ βασιλείας Καίσαρα ἀνηγόρευ-
B σεν, μετονομάσας αὐτὸν Κωνστάντιον, ἰδοῖς μαρτίαις, καὶ ἐν τῇ κατὰ τὴν ἀνατολὴν Ἀντιοχείᾳ ἀπέστειλε, τῶν Περσῶν ἐπικειμένων.

Τὸ σημεῖον τοῦ σταυροῦ τοῦ Χριστοῦ ὤφθη ἐν Ἱεροσολύμοις κατὰ τοῦτον τὸν χρόνον, ὥρα ἦν ὡς τρίτη, ἐν ἡμέρᾳ πεντηκοστῇ, φωτοειδὲς τεταμένον νώναις μαΐαις ἐν τῷ οὐρανῷ ἀπὸ τοῦ ὄρους τῶν ἐλαιῶν ἕως τοῦ Γολγοθᾶ, ἐν ᾧ τόπῳ ἐσταυρώθη ὁ κύριος κατὰ ἀνατολάς, ὅθεν ἀνελήφθη ὁ κύριος, κύκλῳ τοῦ φανέντος τιμίου σταυροῦ, στέφανος ὡς ἡ ἶρις τὸ εἶδος ἔχων. καὶ τῇ αὐτῇ ὥρᾳ ὤφθη ἐν Παννωνίᾳ Κωνσταντίῳ τῷ Αὐγούστῳ καὶ τῷ σὺν αὐτῷ στρατῷ ὄντι ἐν τῷ κατὰ Μαγνέντιον πολέμῳ, καὶ
C ἀρξαμένου Κωνσταντίου νικᾶν, Μαγνεντίου συμβαλόντος αὐτῷ περὶ τὴν λεγομένην Μοῦρσαν πόλιν, ἡττηθεὶς ὁ Μαγνέντιος ἔφυγεν εἰς τὴν Γαλλίαν μετ' ὀλίγων.

1. δωροφορίας R. 2. Προυσιάσι P. 18. Malim ὡσεὶ. 19. Παvωνίᾳ PV. 21. νικᾶν Μαγνεντίου om. P. ib. συμβάλλοντος P. 23. τὴν om. P. ib. ὀλίγον V.

Anni am. c. niae civitatem amandavit, ubi ad vitae usum necessaria illi omnia, annonas et cellarienses species copiose suppeditavit. Vetranio vero uti Christianus, ac in Ecclesiae sacris Liturgiis assiduus, in egenos eleemosynas erogabat, et Ecclesiae Praesules usque ad mortem coluit.

A. C. [Ol. Iph.]

5859. 351. XIV. Ind. IX. Sergio et Nigriniano Coss. 3.

Constantius Augustus, solus imperans, Gallum patruelem consortem imperii Caesarem renuntiavit, dato illi Constantii cognomine, Idibus Martiis, ac Antiochiam in Orientem misit, Persis tum ingruentibus.

Signum Crucis Christi eadem tempestate Hierosolymis in coelo apparuit, sub horam tertiam, Nonis Maii, ipso Pentecostes die, luminis instar protensum a Monte Olivarum usque ad Golgotha, quo loco versus Orientem Christus est Crucifixus, unde assumptus est Dominus: corona caeterum iridis speciem praeferente venerandam istam crucem ambiente. Eademque hora Constantio Augusto in Pannonia, et qui cum eo erat exercitui, visa est in bello contra Magnentium: cumque coepisset Constantius cum illo confligere ad urbem Mursam, Magnentius victus cum paucis in Galliam fuga evasit.

Κωνστάντιος δὲ ὁ καὶ Γάλλος ὁ προειρημένος Καῖσαρ ἐν τῇ ἀνατολῇ καὶ ἐν Ἀντιοχείᾳ διῆγεν.

σπγʹ Ὀλυμπιάς.

Ἰνδ. ιʹ. ιεʹ. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ζʹ καὶ Κώνσταν- R 680
τος Καίσαρος.

Ἰνδ. ιαʹ. ιςʹ. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ηʹ καὶ Κώνσταντος Καίσαρος τὸ βʹ.

Ἰνδ. ιβʹ. ιζʹ. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ θʹ καὶ Κών- D
σταντος Καίσαρος τὸ γʹ.

Ἐν τούτῳ τῷ ἔτει Μαγνέντιος πάλιν συμβαλὼν ἐν Μόν- V 234
τῳ Σελεύκῳ, ἡττηθεὶς ἔφυγε μόνος ἐν Γαλλίαις εἰς Λουγδοῦνον πόλιν, καὶ ὅτε τὸν ἴδιον ἀδελφὸν ἔσφαξεν, τότε καὶ ἑαυτὸν ἀνεῖλεν πρὸ τεσσάρων ἰδῶν αὐγούστου.

Ἰνδ. ιγʹ. ιηʹ. ὑπ. Ἀρβητίωνος καὶ Λουλλιανοῦ.

Τούτῳ τῷ ἔτει Γάλλος ὁ καὶ Κωνστάντιος, Καῖσαρ ὤν, ἐκ διαβολῆς, ὡς παρὰ γνώμην Κωνσταντίου τοῦ Αὐγούστου ἀποκτείνας ἔπαρχον πραιτωρίων καὶ κυέστωρα, μετασταλεὶς ἀπὸ P 293
τῆς Ἀντιοχέων ὑπὸ Κωνσταντίου τοῦ Αὐγούστου ἐν Ἴστρῳ τῇ νήσῳ ἀνῃρέθη. καὶ Ἰουλιανὸν τὸν ἀδελφὸν τοῦ αὐτοῦ Γάλλου τοῦ καὶ Κωνσταντίου πορφύραν ἐνέδυσεν, καὶ Καίσαρα προεχει-

10. *Μόντῳ* Wesselingius ad Antoninum p. 357. cum Theophane p. 37. B, ex codicibus corrigendo, *Μούστῳ* PV. 12. *ἔσφαξεν ἀδελφὸν* P. 18. *Ἴσῳ* P. 20. *καὶ* bis om. R.

Constantius autem, qui et Gallus, praedictus Caesar, in Oriente et Antiochiae moratus est.

CCLXXXIII. Olympias.

A. C. [Ol. Iph.]

352. XV. Ind. X. Constantio Augusto VII. et Constante Caesare Coss. 4.

353. XVI. Ind. XI. Constantio Augusto VIII. et Constante Caesare II. Coss. 1. 283.

354. XVII. Ind. XII. Constantio Augusto IX. et Constante Caesare III. Coss. 2.

Hoc anno, Magnentius rursum ad Mustum Seleucum praelio congressus, victus, solus in Gallias Lugdunum confugit, ubi, occiso fratre suo, se quoque ex a. d. IV. Idus Augusti interfecit.

355. XVIII. Ind. XIII. Arbetione et Lolliano Coss. 3.

Hoc anno Gallus, qui et Constantius, Caesar, per calumniam, quasi praeter voluntatem Constantii Augusti Praefectum Praetorio et Quaestorem interfecisset, Antiochia accersitus, in Iso Insula sublatus est. Constantius Julianum Galli Constantii fratrem purpura induit, et Caesarem renuntiavit ex a. d. VIII. Idus Octobres, cui in matrimonium collo-

σίσατο πρὸ η΄ ἰδῶν ὀκτωβρίων, δοὺς αὐτῷ πρὸς γάμον Κωνστάντιος Αὔγουστος τὴν ἑαυτοῦ ἀδελφὴν Ἑλένην, καὶ ἀπέστειλεν αὐτοὺς ἐν Γαλλίαις.

σπδ΄ Ὀλυμπιάς.

Ἰνδ. ιδ΄. ιϑ΄. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ι΄ καὶ Ἰουλιανοῦ Καίσαρος.

B *Ἐπὶ τούτων τῶν ὑπάτων, μηνὶ πανέμῳ α΄, Τιμοθέου τοῦ ἁγίου μαθητοῦ γενομένου Παύλου τοῦ ἀποστόλου, ἐπισκόπου τε πρώτου χειροτονηθέντος ἐν Ἐφέσῳ τῆς Ἀσίας, τὰ λείψανα ἠνέχθη ἐν Κωνσταντινουπόλει σὺν πάσῃ τιμῇ, καὶ ἀπετέθη εἰς τοὺς ἁγίους Ἀποστόλους ὑποκάτω τῆς ἁγίας τραπέζης.*

Ἰνδ. ιε΄. κ΄. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ια΄ καὶ Ἰουλιανοῦ Καίσαρος τὸ β΄.

Ἐπὶ τούτων τῶν ὑπάτων μηνὶ δύστρῳ γ΄ ἠνέχθη ἐν Κωνσταντινουπόλει τὰ λείψανα τῶν ἁγίων Λουκᾶ καὶ Ἀνδρέου τῶν ἀποστόλων σπουδῇ Κωνσταντίου τοῦ Αὐγούστου μετὰ σπουδῆς καὶ θεοσεβείας ψαλμῳδίας τε καὶ ὑμνολογίας, καὶ ἀπετέθη εἰς C *τοὺς ἁγίους Ἀποστόλους.*

R 682 *Κωνστάντιος Αὔγουστος εἰς τὴν ἑαυτοῦ εἰκοσαετηρίδα μετὰ πολλῆς φαντασίας καὶ παρατάξεως εἰσῆλθεν ἐν Ῥώμῃ· συνεισ-*

9. πρῶτον P. 13. τὸ om. R. 14. *ἰνδικτίωνος ιε΄. ἐπὶ* R. 17. *ἀποτέθη* R, illud m. 19. *εἰκοσιετ.* P.

cavit Constantius Augustus sororem suam Helenam, illosque in Gallias misit.

CCLXXXIV. Olympias.

A. C. [Ol. Iph.]

356. XIX. Ind. XIV. Constantio Augusto X. et Juliano Caesare Coss. 4.

His Coss. mense Panemo, die I. Sancti Timothei discipuli quondam Sancti Pauli, ac primi Ephesi in Asia creati Episcopi, reliquiae Constantinopolim cum summa veneratione delatae, in aede Sanctorum Apostolorum sub ipsa sacra mensa repositae sunt.

357. XX. Ind. XV. Constantio Augusto XI. et Juliano Caesare II. Coss. 1. 284.

His Consulibus mense Distro, die III. Constantinopolim allatae sunt reliquiae Sanctorum Lucae et Andreae Apostolorum, cura Constantii Augusti, cum veneratione et cultu, ac psalmorum et hymnorum cantu, depositaeque sunt in aede Sanctorum Apostolorum.

Constantius Augustus propter Vicennalia sua multo cum apparatu et comitatu Romam venit, et cum eo uxor ejus Eusebia Augusta, Romaeque morati sunt dies XIV.

ἦλθεν δὲ αὐτῷ καὶ ἡ γυνὴ αὐτοῦ Εὐσεβία ἡ βασίλισσα, καὶ ἐποίησαν ἡμέρας ιδ' ἐν τῇ Ῥώμῃ.

Ἰνδ. α'. κα'. ὑπ. Δατιανοῦ καὶ Κερεαλίου.

Ἰνδ. β'. κβ'. ὑπ. Εὐσεβίου καὶ Ὑπατίου.

Ἐπὶ τούτων τῶν ὑπάτων μηνὶ ὑπερβερεταίῳ μέγας γέγονε καὶ σφοδρὸς σεισμὸς ἐν Νικομηδείᾳ περὶ ὥραν γ' νυκτερινήν. καὶ ἡ πόλις κατέπεσε καὶ διεφθάρη, ἐν οἷς καὶ συναπώλετο ὁ τῆς αὐτῆς πόλεως ἐπίσκοπος Κεκρόπιος τοὔνομα. D

Γρατιανὸς υἱὸς Οὐαλεντινιανοῦ ἐγεννήθη πρὸ ι' καλανδῶν ἰουνίων, καὶ αὐτῷ τῷ ἔτει ἐν πρώτοις προῆλθεν ἐν Κωνσταντινουπόλει ἔπαρχος Ῥώμης ὀνόματι Ὀνώρατος πρὸ γ' ἰδῶν σεπτεμβρίων.

σπε' Ὀλυμπιάς.

Ἰνδ. γ'. κγ'. ὑπ. Κωνσταντίου Αὐγούστου τὸ ιβ' καὶ Ἰουλιανοῦ Καίσαρος τὸ γ'.

Τούτῳ τῷ ἔτει μηνὶ περιτίῳ ιε' καθιερώθη ἡ μεγάλη ἐκκλησία Κωνσταντινουπόλεως.

Μακεδόνιος Κωνσταντινουπόλεως ἐπίσκοπος καθῃρέθη ἐπὶ P 294 πολλοῖς ἰδίοις αὐτοῦ ἐγκλήμασιν, καὶ κατέστη ἀντ' αὐτοῦ Εὐδόξιος τῆς αὐτῆς ἐκκλησίας ἐπίσκοπος, ἐνθρονισθεὶς μηνὶ αὐδυναίῳ κζ', παρουσίᾳ ἐπισκόπων οβ', Μάρι, Ἀκακίου, Γεωργίου, V 235

1. *Εὐσεβεία* PV. 7. *καὶ* alterum om. P. 9. *Οὐαλεντιανοῦ* P. 15. *Καίσαρος* om. P. 21. *Μάρι Ἀκακίου* Ducangius, *Μαριακεσίου* PV.

A. C. [Ol. Iph.]

358. xxi. Ind. i. Datiano et Cereale Coss. 2.

359. xxii. Ind. ii. Eusebio et Hypatio Coss. 3.

His Coss. mense Hyperberetaeo Nicomediae ingens et vehemens terrae motus accidit circiter horam tertiam noctis: ac civitas concidit, et deleta est, unaque cum aliis ipse urbis Episcopus, Cecropius nomine, oppressus est.

Gratianus Valentiniani filius ex a. d. x. Kalend. Junias natus est. Et hoc ipso anno primum processit Constantinopoli Praefectus Romae, Honoratus nomine, ex a. d. iii. Idus Septembres.

CCLXXXV. Olympias.

360. xxiii. Ind. iii. Constantio Augusto XII. et Juliano Caesare III. Coss. 4.

Hoc anno, mense Peritio, die xv. Magna Ecclesia Constantinopoleos dedicata est.

Macedonius Episcopus Constantinopolitanus propter multa ipsius propria crimina exauctoratus est, et in locum ejus surrogatus Eudoxius

Σέῤῥα, Οὐρανίου, Θεοδοσίου, Εὐσεβίου, Λεοντίου, Κυρίωνος, Ἀραβιανοῦ, Ἀσίνου, Φιλοθέου, Ἀγερωχίου, Εὐγενίου, Ἐλπιδίου, Στεφάνου, Ἡλιοδώρου, Δημοφίλου, Τιμοθέου, Ἐξευρεσίου, Μεγασίου, Μειζονίου, Παύλου, Εὐαγρίου, Ἀπολλωνίου, Φοίβου, Θεοφίλου, Προτασίου, Θεοδώρου, Ἡλιοδώρου, Εὐμαθίου, Συνεσίου, Πτολεμαίου, Εὐτυχῆ, Κύντου, Ἀλφίου,
B *Τροφίμου, Εὐτυχίου, Βασιλίσκου, Θεομνήστου, Βετρανίωνος, Φιλίππου, Ἀναστασίου, Μαξεντίου, Πολυεύκτου, Γρατιανοῦ, Λεοντίου, Μητροδώρου, Εὐσταθίου, Ἰουνιανοῦ, Τροφίμου, Οἰκουμενίου, Μηνοφίλου, Εὐηθίου καὶ τῶν λοιπῶν.*

R 684 *Ἐπὶ τῆς αὐτῆς συνόδου τῶν ἐπισκόπων οὐ μετὰ πολλὰς ἡμέρας τοῦ ἐνθρονισθῆναι τὸν Εὐδόξιον ἐπίσκοπον Κωνσταντινουπόλεως τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας τῆς αὐτῆς πόλεως ἐτελέσθη δι' ἐτῶν λδ' μικρῷ πρόσω ἀφ' οὗ θεμελίους κατεβάλετο Κωνσταντῖνος νικητής, σεβαστός. ἐγένετο δὲ καὶ τὰ ἐγκαίνια αὐτῆς ἐπὶ τῶν προκειμένων ὑπάτων πρὸ ις' καλανδῶν μαρ-*
C *τίων, ἥτις ἐστὶ μηνὸς περιτίου ιδ'. εἰς τὰ ἐγκαίνια προσήγαγεν ὁ βασιλεὺς Κωνστάντιος Αὔγουστος ἀναθέματα πολλά, κειμήλια χρυσᾶ καὶ ἀργυρᾶ μεγάλα καὶ διάλιθα χρυσυφῆ ἁπλώματα τοῦ ἁγίου θυσιαστηρίου πολλά. ἔτι μὴν καὶ εἰς τὰς θύρας τῆς ἐκκλησίας ἀμφίθυρα χρυσᾶ διάφορα καὶ εἰς τοὺς πυλεῶνας τοὺς*

2. *Γερωχίου* P. 8. *Γρατιανοῦ — Εὐηθίου*] *Τροφίμου, Οἰκουμενίου, Γρατιανοῦ, Λεοντίου, Μητροδώρου, Εὐσταθίου, Μενοφίλου, Εὐηθέου* P. 14. *πρὸς* P. *ib.* *κατεβάλλετο* PV. 15. *δὲ* om. P. 17. *περιτιδίου* R, *περιτίου* m. R. 18. *ἀναθήματα* P 19. *χρυσοφῆ* R, *χρυσοϋφῆ* P bis sola.

mense Audynaeo, die XXVII. praesentibus Episcopis LXXII. Mari scilicet, Acacio, Georgio, Serra, Uranio, Theodosio, Eusebio, Pegasio, Leontio, Curione, Arabiano, Asino, Philotheo, Gerochio, Eugenio, Elpidio, Stephano, Heliodoro, Demophilo, Timotheo, Exeuresio, Megazio, Mizonio, Paulo, Evagrio, Apollonio, Phoebo, Theophilo, Protasio, Theodoro, Heliodoro, Eumathio, Synesio, Ptolemaeo, Eutyche, Quinto, Alphio, Trophimo, Eutychio, Basilisco, Theomnesto, Vetranione, Philippo, Anastasio, Maxentio, Polyeucto, Trophimo, Oecumenio, Gratiano, Leontio, Metrodoro. Eustathio, Joviano, Menophilo, Evetheo, et caeteris.

In eadem Synodo Episcoporum non post multos dies ab inauguratione Eudoxii Episcopi Constantinopoleos, Encaenia Magnae Ecclesiae ejusdem urbis celebrata sunt, anno trigesimo quarto plus minus, ex quo fundamenta Constantinus victor Augustus jecerat. Acta sunt autem illius Encaenia his Consulibus ex a. d. XVI. Kalend. Martias, qui dies est mensis Peritii XIV. Ad ea Encaenia Imperator Constantius Augustus munera multa, cimelia aurea et argentea ingentia, gemmisque et auro intextas pro altari mappas contulit. Praeterea pro Ecclesiae Januis varia aurea vela: et pro exterioribus vestibulis alia rursum vela auro

ἔξω χρυσυφῆ ποικίλα· ὡς πολλὰς δωρεὰς ἐχαρίσατο φιλοτίμως τότε παντὶ κλήρῳ καὶ τῷ κανόνι τῶν παρθένων καὶ τῶν χηρῶν καὶ τοῖς ξενοδοχείοις. καὶ εἰς διατροφὴν τῶν προειρημένων καὶ τῶν πτωχῶν καὶ ὀρφανῶν καὶ φυλακῶν σιτομέτριον προσέθηκεν πλείονος μέτρου οὗπερ ὁ πατὴρ αὐτοῦ Κωνσταντῖνος ἐχαρίσατο. D

Ἰνδ. δ'. κδ'. ὑπ. Ταύρου καὶ Φλωρεντίου.

Ἀρχῇ τετάρτης ἰνδικτιῶνος διὰ τὴν ἀπαγγελθεῖσαν αὐτῷ ἀταξίαν Ἰουλιανοῦ Καίσαρος, ἐλθὼν εἰς Μόμψου κρήνας ἐν πρώτῃ μονῇ ἀπὸ Τάρσου Κιλικίας, καὶ πρότερος εἰληφὼς τὸ ἅγιον βάπτισμα παρὰ Εὐζωίου ἐπισκόπου Ἀντιοχείας μετασταλέντος ἐν τῇ αὐτῇ μονῇ ὑπὸ τοῦ αὐτοῦ Κωνσταντίου, μεταλλάττει τὸν βίον ὁ αὐτὸς Κωνστάντιος Αὔγουστος μηνὶ δίῳ γ' ἔτους Ἀντιοχείας υι' P 295 ἰνδικτιῶνος ε', εἰρήνης τῶν ἐκκλησιῶν ἐπιλαβομένου ἔτους ν', τῶν προειρημένων ὑπάτων Ταύρου καὶ Φλωρεντίου.

Ῥωμαίων λς' ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης, ἀνεψιὸς μὲν Κωνσταντίου, ἀδελφὸς δὲ Γάλλου τοῦ καὶ Κωνσταντίου, ἔτη β'. ὁμοῦ ͵εωοβ'.

Ἰνδ. ε'. α'. ὑπ. Μαμερτίνου καὶ Νεβήττα.

Μετὰ τελευτὴν Κωνσταντίου τοῦ Αὐγούστου ἡ εἰρήνη τῶν ἐκκλησιῶν διεκόπη, εἰσελθόντος Ἰουλιανοῦ ἐν Κωνσταντινουπόλει μηνὶ ἀπελλαίῳ ια'. καὶ ἔστιν τὰ παρακολουθήσαντα ταῦτα.

8. *Μόψου* P. *ib. ἐν πρώτῃ μονῇ*] *πρότιμον ἢ* R. 9. *πρότερον* P sola. 16. *Κωνσταντίου* m R, *Κωνσταντίνου* RV. 21. *Ἀπηλαίῳ* PV. *ib. ἀκολουθήσαντα* P.

contexta et variegata. Multa enim beneficia magnifice largitus est, Anni a m. c.
cum in universum Clerum, tum in religiosarum virginum ac viduarum collegia, et in Xenodochia. In praedictorum vero tum pauperum, tum orphanorum, ac captivorum, seu in carceribus detentorum alimenta, diarium majus concessit quam pater ejus Constantinus erat elargitus.

A. C. [Ol. Iph.]

361. xxiv. Ind. iv. Tauro et Florentio Coss. 1. 285. 5869.

Ineunte iv. Indictione, Constantius Augustus, cum propter nuntiatam sibi Juliani Caesaris rebellionem Mopsucrenas venisset, in prima a Tarso mansione ab Euzoio Antiochiae Episcopo, ipso in eandem mansionem evocato, suscepto prius baptismo, moritur mensis Dii, seu Novembris die iii. anno juxta Antiochenos cdx. Indict. v. redditae pacis Ecclesiis anno l. praedictis Tauro et Florentio Coss.

Romanis xxxvi. imperavit Julianus Apostata, Constantii quidem patruelis, Galli vero, qui et Constantius dictus est, frater, ann. ii. Colliguntur anni v. mdccclxxii. 5871.

362. i. Ind. v. Mamertino et Nevitta Coss. 2.

Mortuo Constantio Augusto, pax Ecclesiarum Juliano Constantinopolin mensis Apelaei xi. die ingresso, sublata est. Quae autem sunt insecuta haec sunt.

B Ἰουλιανὸς γνοὺς Κωνσταντίου τοῦ Αὐγούστου τελευτήν, R 686 τὴν ἑαυτοῦ ἀποστασίαν καὶ ἀσέβειαν φανερὰν καθιστῶν διατάγματα κατὰ τοῦ χριστιανισμοῦ καθ᾽ ὅλης τῆς οἰκουμένης ἀποστέλλων τὰ εἴδωλα πάντα ἀνανεοῦσθαι προσέταττεν. ἐφ᾽ οἷς ἐπαρθέντες οἱ κατὰ τὴν ἀνατολὴν Ἕλληνες εὐθέως ἐν Ἀλεξανδρείᾳ τῇ κατ᾽ Αἴγυπτον Γεώργιον τὸν ἐπίσκοπον τῆς πόλεως συλλαβόμενοι ἀνεῖλον καὶ τὸ λείψανον αὐτοῦ ἀσεβῶς ἐνύβρισαν· καμήλῳ V 236 γὰρ ἐπιθέντες δι᾽ ὅλης τῆς πόλεως περιέφερον, καὶ μετὰ τοῦτο διαφόρων ἀλόγων νεκρὰ σώματα μετὰ τῶν ὀστέων συναγαγόντες καὶ συμμίξαντες αὐτοῦ τῷ λειψάνῳ καὶ κατακαύσαντες διεσκόρπισαν.

C Καὶ ἐν Παλαιστίνῃ δὲ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ τὰ λείψανα ἐν Σεβαστῇ τῇ πόλει κείμενα ἀνορύξαντες διεσκόρπισαν.

Ἔτι δὲ καὶ τοῦ ἁγίου Πατροφίλου ἐπισκόπου τῆς ἐν Σκυθοπόλει ἐκκλησίας γενομένου ἀνορύξαντες ἀπὸ τοῦ τάφου τὰ λείψανα τὰ μὲν ἄλλα διεσκόρπισαν, τὸ δὲ κρανίον ἐφυβρίστως κρεμάσαντες ὡς ἐν σχήματι κανδήλας ἐνέπηξαν.

Ἐν δὲ Γάζῃ καὶ Ἀσκαλῶνι πρεσβυτέρους καὶ παρθένους ἀναιροῦντες, καὶ μετὰ τοῦτο ἀναπτύσσοντες καὶ τὰ σώματα αὐτῶν κριθῶν πληρώσαντες, τοῖς χοίροις παρέβαλον.

D Καὶ ἐν Φοινίκῃ δὲ Κύριλλον διάκονον Ἡλιουπολίτην ἀνελόντες τοῦ ἥπατος αὐτοῦ ἀπεγεύσαντο, ἐπειδὴ τὰ εἴδωλα αὐτῶν ἐπὶ τοῦ μακαρίτου Κωνσταντίνου κατέστρεψεν. ὁ δὲ ἀνατεμὼν τὸν

2. διάταγμα P. 19. ἀναπτύσσαντες PV. 21. Ἡλιοπολίτην P.

Julianus cognita Constantii Augusti morte, suam apostasiam et impietatem aperte professus, misso adversus Christianismum per totum orbem edicto, idola omnia instaurari praecepit. Quo inflati qui in Oriente erant Gentiles, statim Alexandriae Aegypti urbe, Georgio civitatis Episcopo capto et interfecto, illius cadaveri impie illudentes, impositum camelo per totam urbem illud circumtulerunt: ac diversorum deinde animalium cadaveribus cum ossibus collectis, ipsiusque reliquiis permixtis ac combustis, cineres disperserunt.

In Palaestina etiam Sancti Joannis Baptistae reliquias, quae Sebastae repositae erant, effossas disperserunt.

Patrophili quoque Scythopolitanae Ecclesiae Episcopi aperto tumulo, corporis alia quidem disperserunt, calvam vero in usum veluti lychni suspensam contumeliose infixerunt.

Gazae vero et Ascalone Presbyteros et virgines occiderunt, ac aperta eorum deinde corpora hordeo repleta, postea porcis exposuerunt.

In Phoenice praeterea Cyrillo Diacono Heliopolitano interfecto, illius jecur degustarunt, quod beatae memoriae Constantino imperante eorum evertisset idola. Sed quo pacto is qui Diaconum dissecuerat,

διάκονον καὶ ἀπογευσάμενος τοῦ ἥπατος αὐτοῦ ὅπως κατέστρεψε τὸν ἑαυτοῦ βίον ἄξιον ἐπιμνησθῆναι. τὴν μὲν γλῶσσαν σαπεῖσαν ἀπώλεσεν, τοὺς δὲ ὀδόντας θρυβέντας ἀπέβαλεν, τοὺς δὲ ὀφθαλμοὺς ἐπὶ πολὺ καὶ σφοδρότερον ὀδυνηθεὶς ἐπηρώθη, καὶ διὰ ὅλου τοῦ σώματος βασανιζόμενος δεινῶς ἀπέθανεν.

Ἐν δὲ Ἐμέσῃ τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπελθόντες τὸ τοῦ Διονύσου εἴδωλον ἵδρυσαν.

Ὁμοίως δὲ καὶ ἐν Ἐπιφανείᾳ πόλει τῆς Συρίας ἐπεισελ- P 296
*θόντες οἱ Ἕλληνες τῇ ἐκκλησίᾳ εἴδωλον εἰσήγαγον μετὰ αὐλῶν
καὶ τυμπάνων. ὁ δὲ μακάριος Εὐστάθιος ὁ τῆς αὐτῆς ἐκκλησίας
ἐπίσκοπος τυγχάνων, ἀνὴρ εὐλαβὴς καὶ εὐσεβής, ἀκούσας τῶν αὐ-
λῶν καὶ πυθόμενος τὸ ποῦ ἂν εἴη ταῦτα, καὶ γνοὺς ὅτι ἐν τῇ ἐκ-
κλησίᾳ, ζῆλον ἔχων ἐν πίστει καὶ εὐλαβείᾳ, ἀθρόως ἀκούσας* R 688
ἐκοιμήθη, προσευξάμενος μὴ ἰδεῖν ταῦτα τοῖς ἑαυτοῦ ὀφθαλμοῖς.

*Ἔτι δὲ καὶ ἐν Κωνσταντινουπόλει ἐπιβὰς ὁ Ἰουλιανός, Εὐ-
δοξίου τε ἐπισκόπου ἐν αὐτῇ ὄντος, πολυτρόπως κατὰ τῆς ἐκκλη-
σίας μηχανώμενος ἐπιβουλὰς εἰς σύγχυσιν καὶ τὰ κατ᾽ αὐτὴν
ἤγαγεν, βουληθεὶς ἅπαντας τοὺς καθαιρεθέντας πρὸ τούτου ἐπὶ* B
διαφόροις ἀτόποις κακοδοξίαις ἐπαφεῖναι ταῖς ἐκκλησίαις, προφάσεις ἐκ τῶν γενομένων ταραχῶν ἐπινοῶν κατὰ τῶν ἐκκλησιῶν τοῦ θεοῦ.

Οὕτως οὖν καὶ Μελέτιος ὁ ἐπὶ ἀσεβείᾳ καὶ ἑτέροις κακοῖς

1. *καὶ* om. P. 3. *τριβέντας* P. 20. *ἐπαφῆναι* PV. 21. *τῶν γ.* P, *αὐτῶν γ.* R.

et jecur degustarat, vitam finierit, operae pretium est exponere. Linguam putrescentem amisit: dentes confractos expuit: oculis, post ingentes cruciatus, captus est: toto corpore denique dirissime tortus vitam exuit.

Emesae autem magnam Ecclesiam ingressi, Bacchi idolum in ea erexerunt.

Similiter quoque Epiphaniae Syriae civitate idolum cum tibiis et tympanis in Ecclesiam intulerunt Gentiles. Beatus porro Eustathius ejusdem Ecclesiae Episcopus, vir pius et religiosus, auditis tibiis, interrogavit ubi haec agerentur, intellectoque id in Ecclesia fieri, fidei zelo succensus, simul ac ista audiit, Deum precatus ne talia oculis spectare cogeretur, spiritum edidit.

Cum praeterea Constantinopolim venisset Julianus, ac Eudoxius tum esset urbis Episcopus, variis artibus adversus Ecclesiam structis insidiis, confusionem in eam immittere sategit, praecipiens ut omnes qui antehac propter absurdas varias opiniones fuerant exauctorati, Ecclesiis restituerentur, captata ex ejusmodi conflatis conturbationibus divexandi Dei Ecclesias occasione.

Ita ergo Meletius, qui ob impietatem et alia crimina depositus fue-

καθῃρημέννος ἐπανελθὼν ἐν Ἀντιοχείᾳ τὴν παλαιὰν ἥρπασεν ἐκκλησίαν, συνδραμόντων αὐτῷ καὶ τῶν ἤδη ἐκ τοῦ κλήρου καθαιρεθέντων ἐνθέσμως ὑπὸ τῆς ἁγίας συνόδου· ἐν οἷς ἦν μάλιστα καὶ Διογένης, ἀπὸ πρεσβυτέρων, τῶν ἄλλων πλείω συντρέχων, καὶ Βιτάλιος λαϊκός, ἐν ἐπιθέσει ἀεὶ ζήσας, καὶ δὴ ἀπὸ πολ-
C λοῦ προϊών, καὶ ὕστερον λυπηθεὶς μετὰ χρόνον πρὸς τὸν Μελέτιον, ἀπεσχίσθη ἀπ' αὐτοῦ, καὶ αἵρεσιν γέλωτος καὶ αὐτὴν ἀξίαν οὖσαν συνεστήσατο, ἀφ' οὗ ἄχρι τοῦ νῦν Βιταλιανοὶ λέγονται. ταύτῃ τῇ αἱρέσει καὶ Ἀπολλινάριος, ὡς ἂν Λαοδικεὺς τῆς Συρίας, γραμματικοῦ υἱὸς γεγονώς, προέστη.

Ἰνδ. ϛ'. β'. ὑπ. Ἰουλιανοῦ Αὐγούστου τὸ δ' καὶ Σαλουστίου.

Ἐν τούτῳ τῷ χρόνῳ καὶ τῶν ἐν στρατείαις ἐξεταζομένων τι-
V 237 νὲς ἠπατήθησαν εἰς ἀποστασίαν, οἱ μὲν ἐπαγγελίαις δόσεων καὶ
D ἀξιωμάτων, οἱ δὲ καὶ ἀνάγκαις ταῖς ἐπιτιθεμέναις ὑπὸ τῶν ἰδίων ἀρχόντων χαυνούμενοι. καὶ Θεότεκνος δέ τις πρεσβύτερος τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας ἐξ ὑποσχέσεως ἀπατηθεὶς αὐτομάτως ἐπὶ τὴν εἰδωλολατρείαν ἐχώρησεν, ὃν ὁ θεὸς ἐτιμωρήσατο παραχρῆμα τρόπῳ τοιούτῳ· σκωληκόβρωτος γὰρ γενόμενος καὶ τὰς ὄψεις ἀποβαλὼν καὶ τὴν γλῶσσαν ἐσθίων, οὕτως ἀπέθανεν.

Τότε καὶ Ἥρων οὕτω λεγόμενός τις Θηβαῖος ἐπίσκοπος

4. πλείῳ P. Super usu hoc inferioris aetatis proprio diximus ad Xenoph. Hist. gr. II. 2. 16. Malchus p. 273. 16. πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι. 8. ἄχρι τοῦ] καὶ P. ibid. λέγουσι R, λέγονται m. R, V. 9. Ἀπολινάριος PV. ib. ὡς ἀνδολαϊκεὺς V, ὡς Ἀνδολαϊκεὺς R, ὁ Λαοδικεὺς P. 10. προέφη R, προσέφυ P. 20. Ἴρων PV.

Eodem anno, allatae sunt Constantinopolim reliquiae Sancti Samuelis per Scalam Chalcedonensem mense Artemisio, ex a. d. XIV. Kal. Jun. praeeuntibus Arcadio Augusto, et Anthemio Praefecto Praetorio et Ex-Consule, Aemiliano Praefecto Urbi, ac universo Senatu: quae quidem ad aliquod tempus depositae sunt in Sanctissima Magna Ecclesia.

407. XIII. Ind. V. Honorio Augusto VII. et Theodosio Juniore Augusto II. Coss. 3.

His Coss. celebrata sunt Constantinopoli Quinquennalia

νέου Αὐγούστου ἐν Κωνσταντινουπόλει μηνὶ αὐδυναίῳ πρὸ γ' ἰδῶν ἰανουαρίων.

C Καὶ αὐτῷ τῷ ἔτει ἐγένετο βροχὴ μεγάλη σὺν βρονταῖς καὶ ἀστραπαῖς καὶ σεισμῷ μηνὶ ξανθικῷ καλανδαῖς ἀπριλίαις πρωθυπνίῳ, ὥστε ἀνασκευασθῆναι τὰς κεράμους τὰς χαλκᾶς τοῦ φόρου
R 716 Θεοδοσίου ἐπὶ Καινούπολιν καὶ τὸ σιγνόχριστον τοῦ Καπετωλίου πεσεῖν καὶ πολλὰ πλοῖα παθεῖν καὶ ἐκριφῆναι σκηνώματα οὐκ ὀλίγα ἐν τῷ Ἑβδόμῳ.

Τῷ αὐτῷ ἐνιαυτῷ ἀνοικοδομήθη ἡ ἀναβάθρα τοῦ Ἱππικοῦ ἡ ἐπὶ τὴν στοάν.

σϟζ' Ὀλυμπιάς.

Ἰνδ. ϛ'. ιδ'. ὑπ. Βάσσου καὶ Φιλίππου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν Ἀρκάδιος Αὔγουστος ἐν τῷ παλατίῳ Κωνσταντινουπόλεως μηνὶ ἀρτεμισίῳ καλανδαῖς μαΐαις, καὶ ἀπετέθη ἐν τοῖς Ἀποστόλοις. καὶ αὐτῷ τῷ ἔτει ἐγένετο βροχὴ μεγάλη σὺν βρονταῖς καὶ ἀστραπαῖς καὶ σεισμῷ μηνὶ πανέμῳ πρὸ γ' νωνῶν ἰουλίων ἡμέρᾳ δευτέρᾳ ὥρᾳ α'.

Ῥωμαίων μα' ἐβασίλευσεν Θεοδόσιος νέος ἔτη μβ'.

ὁμοῦ ,εϡνθ'.

Ἰνδ. ζ'. α'. ὑπ. Ὀνωρίου Αὐγούστου τὸ η' καὶ Θεοδοσίου νέου Αὐγούστου τὸ γ'.

Ἰνδ. η'. β'. ὑπ. Οὐαρανᾶ μόνου.

Ἰνδ. θ'. γ'. ὑπ. Ὀνωρίου Αὐγούστου τὸ θ' καὶ Θεοδοσίου νέου Αὐγούστου τὸ δ'.

Ἐπὶ τούτων τῶν ὑπάτων εἰσῆλθεν Ἀλλάριχος καὶ ἐποίησεν ἀντᾶραι Ἄτταλον ἔπαρχον πόλεως. καὶ αὐτῷ τῷ ἔτει τὰ λείψανα τοῦ ἁγίου προφήτου Σαμουὴλ ἀπετέθη ἐν τῷ προφητείῳ αὐτοῦ

7. σκηνώματα ἐκριφῆναι P. 11. σϟζ' Ὀλυμπιάς — p. seq. v. 4. τὸ ε' μόνου om. P. 14. καλάνδαις V.

Theodosii Junioris Augusti, mense Audynaeo, ex a. d. III. Idus Januarias.

Eodem ipso anno, magnus adeo imber extitit cum fulgetris, tonitrubus, et terrae motu, mense Xanthico, Kalendis Aprilibus, sub primam noctis vigiliam, ut aereae tegulae Fori Theodosii a tectis excussae in Coenopolim delatae fuerint, et Signum Christi Capitolii decideret, multaeque naves damnum paterentur, et cadavera non pauca ad Hebdomi littora deferrentur.

Eodem anno, Ascensus Circi ad Porticum instauratus est.

τῷ πλησίον τοῦ ἁγίου Ἰωάννου Ἰουκουνδιανῶν μηνὶ ὑπερβερεταίῳ πρὸ γʹ νωνῶν ὀκτωβρίων.

σϟηʹ Ὀλυμπιάς.

Ἰνδ. ιʹ. δʹ. ὑπ. Θεοδοσίου νέου Αὐγούστου τὸ εʹ μόνου.

Ἐπὶ τῆς παρούσης ὑπατείας ἐκάη τὸ πραιτώριον Μοναξίου ἐπάρχου πόλεως ἀπὸ τοῦ δήμου Κωνσταντινουπόλεως διὰ τὴν D ἔνδειαν τοῦ ἄρτου, καὶ ἐσύρη ἡ καροῦχα αὐτοῦ ἀπὸ τῆς πρώτης ῥεγεῶνος ἕως τῶν Δομνίνου ἐμβόλων, καὶ ὑπήντησαν αὐτοῖς οἱ δύο στρατηλάται, Οὐαρανᾶς ὁ ὕπατος καὶ Ἀρσάκιος καὶ Συνέσις ὁ κόμης τῶν λαργιτιώνων, καὶ παρεκάλεσαν αὐτοὺς λέγοντες, Ὑποστρέψατε, καὶ ἡμεῖς τυποῦμεν ὡς θέλετε.

Ἰνδ. ιαʹ. εʹ. ὑπ. Λουκίου μόνου. P 309

Ἰνδ. ιβʹ. ςʹ. ὑπ. Κωνσταντίου καὶ Κώνσταντος.

Ἐπὶ τούτων τῶν ὑπάτων Πουλχερία ἀδελφὴ Θεοδοσίου νέου Αὐγούστου ἐπιφανεστάτη ἀνηγορεύθη μηνὶ πανέμῳ πρὸ δʹ νωνῶν ἰουλίων.

Καὶ αὐτῷ τῷ ἔτει ἀφιερώθησαν στηθάρια γʹ ἐν τῇ συγκλήτῳ Ὁνωρίου καὶ Θεοδοσίου Αὐγούστων καὶ Πουλχερίας Αὐγούστης ἀπὸ Αὐρηλιανοῦ δὶς ἐπάρχου τῶν ἱερῶν πραιτωρίων καὶ πατρικίου μηνὶ ἀπελλαίῳ πρὸ γʹ καλανδῶν ἰανουαρίων.

9. ὁ ὕπατος om. R. *ib.* Συνέσιος P. 10. ὁ Ducangius, καὶ ὁ PV. 15. ἀνηγορεύθη] Αὐγούστη addit P.

A. C. [Ol. Iph.] Anni a m. c.

Hoc ipso Consulatu, Praetorium Monaxii Praefecti Urbi a plebe Constantinopolitana exustum est, propter panis defectum, illiusque carruca tracta est a prima regione usque ad Domnini Porticus, illisque occurrerunt duo Magistri militum, Varanes Consul et Arsacius, Synesius quoque Comes Largitionum, ac illos adhortati, *Recedite*, inquiunt, *fidemque vobis obstringimus quod vultis nos executuros.*

408.	XIV. Ind. VI. Basso et Philippo Coss.	4.	
409.	I. Ind. VII. Honorio VIII. et Theodosio Juniore III. Coss.	1. 298.	
410.	II. Ind. VIII. Varane solo Cos.	2.	
411.	III. Ind. IX. Honorio IX. et Theodosio IV. Coss.	3.	
412.	IV. Ind. X. Theodosio V. solo Cos.	4.	
413.	V. Ind. XI. Lucio solo Cos.	1. 298.	5916.
414.	VI. Ind. XI. Constantio et Constante Coss.	2.	

His Coss. Pulcheria soror Theodosii Junioris Augusti Nobilissima, Augusta renuntiata est mense Panemo, ex a. d. IV. Non. Julias.

Eodem anno, dedicatae sunt in Senatu tres Pectorales imagines, Honorii et Theodosii Augustorum, et Pulcheriae

B *Ἰνδ. ιγ'. ζ'. ὑπ. Ὁνωρίου τὸ ι' καὶ Θεοδοσίου νέου Αὐγούστου τὸ ς'.*

Ἐπὶ τούτων τῶν ὑπάτων κυϊνκεννάλια Θεοδόσιος νέος Αὔγουστος ἐπετέλεσεν ἐν Κωνσταντινουπόλει μηνὶ αὐδηναίῳ πρὸ γ' ἰδῶν ἰανουαρίων, καὶ ἐδηλώθη θάνατος Θερμουντίας γαμετῆς τοῦ δεσπότου Ὁνωρίου τοῦ Αὐγούστου μηνὶ πανέμῳ τῇ πρὸ γ' καλανδῶν Αὐγούστου ἡμέρᾳ παρασκευῇ.

Καὶ αὐτῷ τῷ ἔτει μηνὶ γορπιαίῳ τῇ πρὸ η' καλανδῶν ὀκτωβρίων ἡμέρᾳ παρασκευῇ ἐδηλώθη ἀνῃρῆσθαι Ἀταοῦλφον βάρβαρον ἐν τοῖς ἄνω μέρεσιν ὑπὸ τοῦ δεσπότου Ὁνωρίου. καὶ γενομένης λυχναψίας τῇ ἑξῆς ἱππικὸν ἤχθη, ὡς καὶ πομπὴν εἰσελθεῖν.

V 247 C *Τῷ αὐτῷ ἔτει ἐπετελέσθη τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως μηνὶ γορπιαίῳ πρὸ ς' ἰδῶν ὀκτωβρίων*
R 718 *ἡμέρᾳ κυριακῇ. καὶ ἐκομίσθη ἐν Κωνσταντινουπόλει διὰ τῆς Χαλκηδονησίας σκάλας λείψανα Ἰωσὴφ τοῦ υἱοῦ Ἰακὼβ καὶ Ζαχαρίου τοῦ πατρὸς τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ μηνὶ γορπιαίῳ πρὸ ς' νωνῶν σεπτεμβρίων ἡμέρᾳ σαββάτῳ, βασταζόντων τὰ αὐτὰ λείψανα ἐν γλωσσοκόμοις δυσὶν Ἀττικοῦ πατριάρχου Κωνσταντινουπόλεως καὶ Μωσέως ἐπισκόπου Ἀνταράδου Φοινίκης, καθεζομένων αὐτῶν ἐν βουριχαλίοις· ἅτινα ἀπέθεντο ἐν τῇ μεγάλῃ*

1. *τὸ* om. R. *ib. νέου* om. P. 14. *ἰδῶν*] *καλανδῶν* Clintonus Fast. vol. II. p. 361. V. ad p. 301. D. 15. *ἐν τῇ Κ.* P. 16. *Ἰακώβου* P. 21. *βουῤῥιχαλίοις* P.

A. C. [Ol. Iph.]
Augustae, ab Aureliano iterum Praefecto sacris Praetoriis et Patricio, mense Apellaeo, ex a. d. III. Kal. Januar.

415. VII. Ind. XIII. Honorio X. et Theodosio Augusto VI. Coss. 3.

His Coss. Theodosius Junior Augustus Quinquennalia celebravit Constantinopoli mense Audynaeo, ex a. d. III. Id. Januarii: et renuntiata est mors Thermuntiae Domini Honorii Augusti conjugis, mense Panemo, ex a. d. III. Kal. Augusti, feria VI.

Eodem anno, mense Gorpiaeo, ex a. d. VIII. Kal. Octobr. feria VI. nuntius allatus est Ataülfum barbarum in superioribus partibus a Domino Honorio fuisse sublatum, factaque luminum accensione postridie Circenses ludi acti sunt, in pompae speciem facto ingressu.

Eodem anno, dedicata est Magna Ecclesia Constantinopoleos mense Gorpiaeo, ex a. d. VI. Idus Octobr. die Dominica. Translatae sunt Constantinopolim per Scalam Chalcedonensem reliquiae Josephi filii Jacobi, et Zachariae patris Sancti Joannis Baptistae mense Gorpiaeo, ex a. d. VI. Nonas Septembres,

ἐκκλησίᾳ, προπέμποντος Οὔρσου ἐπάρχου πόλεως καὶ πάσης D τῆς συγκλήτου.

Καὶ ἀφιερώθη ἀνδριὰς χρυσοῦς ἐν τῇ συγκλήτῳ τοῦ δεσπότου Θεοδοσίου νέου Αὐγούστου ὑπὸ Αὐρηλιανοῦ δὶς ἐπάρχου πραιτωρίων καὶ πατρικίου.

σϟθʹ Ὀλυμπιάς.

Ἰνδ. ιδʹ. ηʹ. ὑπ. Θεοδοσίου νέου Αὐγούστου τὸ ζʹ καὶ Παλλαδίου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐκ τοῦ πορφυροῦ κίονος, ἐν ᾧ ἐπέστη Κωνσταντῖνος ὁ μέγας βασιλεύς, ἀπὸ τοῦ κατωτέρου λίθου ἀπέσπασεν λίθος μέγας νυκτὸς μηνὶ δύστρῳ τῇ πρὸ εʹ καλανδῶν P 310 ἀπριλίων, ἐπιφωσκούσης ἡμέρας τρίτης.

Καὶ αὐτῷ τῷ ἔτει ἐδέθησαν οἱ πάντες σφόνδυλοι τοῦ αὐτοῦ κίονος.

Καὶ ἐπετελέσθη θέατρον, θεωρήσαντος Οὔρσου ἐπάρχου πόλεως, ὑπὲρ τῶν ἐπινικίων τῶν κατὰ Ἄτταλον τὸν τύραννον μηνὶ δαισίῳ τῇ πρὸ δʹ καλανδῶν ἰουλίων ἡμέρᾳ δʹ.

Καὶ ἤχθη καὶ ἱππικὸν περὶ τῶν αὐτῶν ἐπινικίων μηνὶ πανέμῳ νώναις ἰουλίαις.

2. τῆς om. P. 16. τὸν om. P. 17. ἡμέρᾳ δʹ om. P.

A. C. [Ol. Iph.]

die Sabbati, ipsas reliquias in binis arculis deferentibus Attico Patriarcha Constantinopolitano et Mose Antaradi Phoenices Episcopo, buricis vectis: quae quidem in Magna Ecclesia depositae sunt, has deducente Urso Praefecto Urbi, et universo Senatu.

Dedicata quoque est statua aurea in Senatu Domini Theodosii Junioris Augusti ab Aureliano iterum Praefecto Praetorio et Patricio.

CCXCIX. Olympias.

416. VIII. Ind. XIV. Theodosio Juniore Augusto VII. et Palladio Coss. 4.

His Coss. ex Columna Porphyretica, in qua stetit Constantinus Magnus Imperator, ab inferiore lapide avulsus est lapis magnus noctu, mense Dystro, ex a. d. V. Kalend. Apriles, illucescente feria III.

Hoc ipso anno, revinctae sunt ac illigatae ejusdem Columnae compages omnes.

Celebrati sunt quoque ludi Theatrales, hos edente Urso Praefecto Urbi, ob victoriae ex Attalo tyranno reportatae nuntium, mense Desio, ex a. d. IV. Kalend. Julias.

Acti etiam Circenses ob ejusdem victoriae nuntium, mense Panemo, Nonis Juliis.

Καὶ αὐτῷ τῷ ἔτει εἰσῆλθεν ὁ δεσπότης Θεοδόσιος νέος ἀπὸ
B Ἡρακλείας εἰς Κωνσταντινούπολιν μηνὶ γορπιαίῳ πρὸ α΄ καλανδῶν ὀκτωβρίων ἡμέρᾳ σαββάτῳ, κομισάμενος κατὰ τὴν συνήθειαν τὸν χρυσοῦν στέφανον ἐν τῷ Θεοδοσιακῷ φόρῳ ὑπὸ Οὔρσου ἐπάρχου πόλεως καὶ τῆς συγκλήτου.

Ἰνδ. ιε΄. θ΄. ὑπ. Ὁνωρίου τὸ ια΄ καὶ Κωνσταντίου τὸ β΄.

Ἐπὶ τούτων τῶν ὑπάτων σεισμὸς ἐγένετο μέγας ἑσπέρας ἡμέρᾳ παρασκευῇ μηνὶ ξανθικῷ πρὸ ιβ΄ καλανδῶν μαΐων. ἦν δὲ κατ᾽ αὐτὴν τὴν ἡμέραν τὸ πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

R 720 Ἰνδ. α΄. ι΄. ὑπ. Ὁνωρίου τὸ ιβ΄ καὶ Θεοδοσίου νέου Αὐγούστου τὸ η΄.

C Ἐπὶ τούτων τῶν ὑπάτων γέγονεν ἔκλειψις ἡλίου μηνὶ πανέμῳ πρὸ ιδ΄ καλανδῶν αὐγούστων ἡμέρᾳ παρασκευῇ ὥραν η΄.

Ἰνδ. β΄. ια΄. ὑπ. Μοναξίου καὶ Πλίνθα.

Ἐπὶ τούτων τῶν ὑπάτων ἡμέρᾳ κυριακῇ εἰσελθόντος Ἀετίου ἐπάρχου πόλεως μετὰ τοῦ σχήματος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ μηνὶ περιτίῳ πρὸ ζ΄ καλανδῶν μαρτίων ἐπὶ τῷ εὐξάμενον αὐτὸν ἀπελθεῖν κληθέντα ἐν τῷ παλατίῳ, Κυριακός τις γέρων βαλὼν μάχαιραν μεγάλην εἰς χάρτην, ὡσανεὶ λίβελλον αὐτῷ προσφέρων, ἔκρουσεν αὐτῷ κατὰ τοῦ δεξιοῦ μέρους τοῦ στήθους, ὥστε τὸ πενόλιον αὐτοῦ καὶ τὴν τόγαν τρηθῆναι.

3. *νομισάμενος* R, *κομισάμενος*, *κομησάμενος* m. R. *ibid. κατὰ τὴν συνήθειαν* om. P. 6. *Κωνσταντίνου* R. 14. *ὥρᾳ* P. 21. *τοῦ* alterum om. P. 22. *πενώλιον* PV.

Anni a m. c. A. C. [Ol. Iph.]

Eodem anno, Dominus Theodosius Junior Heraclea profectus, Constantinopolim ingressus est mense Gorpiaeo, pridie Kalend. Octobr. die Sabbati, auream coronam ab Urso Praefecto Urbi et Senatu in Foro Theodosiaco sibi oblatam deferens.

417. IX. Ind. XV. Honorio XI. et Constantio II. Coss. 1. 299.

His Coss. factus est ingens terrae motus vesperi die Parasceves, mense Xanthico, ex a. d. XII. Kal. Maias. Accidit autem hoc ipso die, quo Dominus noster Jesus Christus passus est.

6926. 418. X. Ind. I. Honorio XII. et Theodosio Juniore Augusto VIII. Coss. 2.

His Coss. solis eclipsis facta est mense Panemo, ex a. d. XIV. Kal. Augusti feria VI. hora VIII.

419. XI. Ind. II. Monaxio et Plintha Coss. 3.

His Coss. die Dominica, Aëtius Praefectus Urbi, cum suae dignitatis habitu, Magnam Ecclesiam ingressus mense Peritio, ex a. d. VII. Kalend. Martias, dum peractis precibus

τ' Ὀλυμπιάς. D

Ἰνδ. γ'. ιβ'. ὑπ. Θεοδοσίου νέου Αὐγούστου τὸ θ' καὶ Κωνσταντίου τὸ γ'.

Ὅτε προέκοψεν τὴν ἡλικίαν Θεοδόσιος νέος Αὔγουστος, V 248 ἀνεγίνωσκεν ἐν τῷ παλατίῳ ἐν ζωῇ τοῦ πατρὸς αὐτοῦ· καὶ μετὰ τελευτὴν τοῦ πατρὸς αὐτοῦ συνανεγίνωσκεν αὐτῷ νεώτερός τις ὀνόματι Παυλῖνος, υἱός τινος κόμητος δομεστίκων. ἐφίλει δὲ αὐτὸν Θεοδόσιος. καὶ ἀνδρειωθεὶς ὁ αὐτὸς Θεοδόσιος νέος Αὔ- P 311 γουστος ἐζήτει λαβεῖν δέσποιναν εἰς γάμον· καὶ ὤχλει τῇ ἀδελφῇ αὐτοῦ Πουλχερίᾳ τῇ δεσποίνῃ, οὔσῃ παρθένῳ. κἀκείνη πάλιν ὡς φιλοῦσα τὸν ἴδιον αὐτῆς ἀδελφὸν οὐχ εἵλετο γαμηθῆναί τινι. ἡ δὲ περιεργασαμένη περὶ πολλῶν παρθένων κορασίων, θυγατέρων πατρικίων καὶ ἐξ αἵματος βασιλικοῦ, θέλουσα τῷ ἀδελφῷ αὐτῆς συνδιάγειν ἐν τῷ παλατίῳ, καὶ εἶπεν αὐτῇ Θεοδόσιος ὅτι Ἐγὼ θέλω εὑρεῖν νεωτέραν εὔμορφον πάνυ, ἵνα τοιοῦτον κάλλος μὴ ἔχῃ ἄλλη γυνὴ ἐν Κωνσταντινουπόλει, καὶ ἐξ αἵματος βασιλικοῦ. εἰ δὲ μή ἐστιν καλὴ εἰς ὑπερβολήν, οὐ χρείαν ἔχω οὔτε ἀξιωματικοῦ οὔτε βασιλικοῦ αἵματος οὔτε πλουσίαν, ἀλλὰ B καὶ εἴ τινος δήποτε ἐάν ἐστι θυγάτηρ, μόνον εὐπρεπὴς πάνυ,

6. αὐτοῦ τοῦ πατρὸς P. 7. ὀνόματι om. P. 8. ἀνδριωθεὶς PV. 12. παρθένων om. P. 18. οὔτε ἀξιωματικοῦ om. P.

A. C. [Ol Iph.]

abitum pararet, vocatus ad Palatium, Cyriacus quidam senex, grandiori cultro in charta occultato, veluti libellum supplicem illi porrigeret, ad dextram pectoris partem ita illum percussit, ut illius penula et toga perforatae fuerint.

CCC. Olympias.

420. XII. Ind. III. Theodosio Juniore Augusto IX. et Constantio III. Coss. 4.

Cum adolesceret Theodosius Junior Augustus, parente superstite, studiis ac lectioni in palatio dabat operam: eo vero mortuo, cum illo legebat adolescens quidam Paulinus, cujusdam Domesticorum Comitis filius. Amabat autem ipsum Theodosius. Et cum jam in virum adolevisset Theodosius Junior Augustus, cupiebat Dominam matrimonio sibi adjungere, eoque nomine subinde interpellabat Dominam Pulcheriam sororem, quae tum virgo erat, et cum fratrem diligeret, a nuptiis hactenus abstinuerat. Sollicita admodum erat quam ex compluribus puellis ex Patricio vel Imperatorio genere fratri in uxorem deligeret, statuens cum illo in Palatio una versari. Tum Theodosius, *Vellem*, inquit, *invenire adolescentulam aliquam eximia adeo pulcritudine, ut nulla sit in urbe Constantinopolitana quae hanc antecellat, eamque ex Imperatorio genere. Si tamen nulla occurrat ejusmodi, atque ea formae elegantia, tum vero nec Regii mihi curae sunt natales, vel divitiae, aut cujusvis filia sit minime sum solicitus, dummodo prorsus eximia sit forma, tum*

αὐτὴν λαμβάνω. καὶ ἀκούσασα ταῦτα ἡ δέσποινα Πουλχερία πανταχοῦ ἔπεμψεν περιεργαζομένη. καὶ Παυλῖνος δὲ ὁ αὐτοῦ συμπράκτωρ καὶ φίλος περιέτρεχεν, ἀρέσαι θέλων αὐτῷ χάριν R 722 τοῦ κεφαλαίου τούτου. ἐν δὲ τῷ μεταξὺ συνέβη ἐλθεῖν ἐν Κωνσταντινουπόλει μετὰ τῶν ἰδίων συγγενῶν κόρην εὐπρεπεστάτην, ἐλλόγιμον, Ἑλλαδικήν, ὀνόματι Ἀθηναΐδα, θυγατέρα γενομένην Ἡρακλείτου τοῦ φιλοσόφου, ἥτις Ἀθηναῒς ἠναγκάσθη καταλαβεῖν τὴν εὐδαίμονα πόλιν πρὸς τὴν ἰδίαν αὐτῆς θείαν διὰ C πρόφασιν τοιαύτην. ὁ φιλόσοφος Ἡράκλειτος ὁ αὐτῆς πατήρ, ἔχων καὶ δύο υἱούς, μέλλων τελευτᾶν διέθετο, γράψας ἐν τῇ αὐτοῦ διαθήκῃ κληρονόμους πάσης τῆς ὑπ᾽ αὐτοῦ καταλειφθείσης περιουσίας τοὺς δύο υἱοὺς αὐτοῦ Οὐαλεριανὸν καὶ Γέσιον, εἰρηκὼς ἐν τῇ αὐτῇ διαθήκῃ, Ἀθηναΐδι δὲ τῇ ποθεινοτάτῃ μου θυγατρὶ δοθῆναι βούλομαι νομίσματα ἑκατὸν καὶ μόνον· ἀρκεῖ γὰρ αὐτῇ ἡ αὐτῆς τύχη ὑπερέχουσα πᾶσαν τὴν γυναικείαν τύχην. καὶ τελευτᾷ ὁ αὐτῆς πατὴρ Ἡράκλειτος ὁ σοφὸς Ἀθη- D ναῖος. μετὰ δὲ τὴν αὐτοῦ ἀποβίωσιν καὶ τοῦ δῆλα γενέσθαι τὰ διατυπωθέντα ἡ αὐτὴ Ἀθηναῒς τοὺς ἑαυτῆς ἀδελφοὺς ἐδυσώπει, ὡς μείζονας ὄντας τὴν ἡλικίαν, προσπίπτουσα αὐτοῖς καὶ αἰτοῦσα μὴ προσχεῖν τῇ αὐτῇ διαθήκῃ, ἀλλὰ τὸ τρίτον μέρος λαβεῖν τῆς πατρῴας περιουσίας, λέγουσα μηδὲν ἡμαρτηκέναι, ἀλλ᾽ ὅτι Καὶ ὑμεῖς γινώσκετε τὸ πῶς διεκείμην πρὸς τὸν κοινὸν

2. περιεργασαμένη P. 17. τοῦ] Fort. τὸ. 18. αὐτὴ δὲ P. 22. τὸ om. P.

illam mihi in conjugem assumam. Quibus auditis, Domina Pulcheria hujuscemodi perquirendae puellae causa varias in regiones misit. Sed et Paulinus, Theodosii socius et amicus, hac in re Theodosio placere cupiens circumcursabat. Accidit interea ut Constantinopolim cum suis cognatis veniret puella Graecanica, forma admodum eleganti, ac eloquentia singulari, Athenais nomine, Heracliti Philosophi filia: quae quidem Athenais coacta fuerat Felicem Urbem petere, amitam suam conventura, hac quam dicturi sumus occasione.

Heraclitus Philosophus, illius pater, cum duos haberet filios, moriturus testamentum condidit, quo duos illos filios, Valerianum et Gesium, ex asse scripsit heredes, hisce verbis adjectis: *Athenaidi vero desideratissimae filiae meae volo dari duntaxat centum nummos: sufficit enim illi fortuna sua, quae fortunam omnem muliebrem excedit.* Atque ita moritur pater Heraclitus Philosophus Atheniensis. Post mortem vero illius, Athenais cum quae in paterno testamento exarata erant accepisset, fratres suos, utpote natu majores, illorum etiam pedibus advoluta, rogavit, ut posthabito patris testamento tertiam haereditatis partem sibi habere sinerent, cum diceret nihil se peccasse: *Quinpotius*, aiebat, *testes ipsimet estis, qua ratione erga communem parentem me gesserim. Unde*

ἡμῶν πατέρα, καὶ οὐκ οἶδα διὰ τί ἄπορόν με κατέλιπεν μέλλων τελευτᾶν καὶ εὐπορίας τυχεῖν μετὰ τὴν αὐτοῦ νέκρωσιν ἐχαρίσατό μοι. οἱ δὲ αὐτῆς ἀδελφοὶ ἔμειναν ἀπειθεῖς, καὶ ὀργισθέντες ἐδίωξαν αὐτὴν καὶ ἐκ τοῦ πατρῴου αὐτῶν οἴκου. καὶ ἐδέξατο P 312 αὐτὴν λοιπὸν ἡ ἀδελφὴ τῆς γενομένης αὐτῆς μητρός, καὶ οὐ μόνον ὡς ὀρφανὴν ἀλλὰ καὶ ὡς παρθένον καὶ ἀδελφόπαιδα ἐφύλαξεν αὐτήν· ἥντινα λαβοῦσα μεθ' ἑαυτῆς ἀνήγαγεν ἐν Κωνσταντινουπόλει πρὸς τὴν ἄλλην θείαν αὐτῆς τὴν ἀδελφὴν τοῦ αὐτῆς πατρὸς Ἡρακλείτου. καὶ λαβοῦσαι αὐτὴν ἐποίησαν ἀξίωσιν κατὰ τῶν αὐτῆς ἀδελφῶν, καὶ προσῆλθον τῇ εὐσεβεστάτῃ δεσποίνῃ Πουλχερίᾳ τῇ ἀδελφῇ Θεοδοσίου τοῦ βασιλέως, καὶ V 249 ἐδίδαξαν ὡς βιαζομένη παρὰ τῶν ἰδίων αὐτῆς ἀδελφῶν, διαλεγομένη ἐλλογίμως. καὶ ἑωρακόσα αὐτὴν ἡ αὐτὴ δέσποινα Πουλχερία εὐπρεπῆ καὶ ἐλλόγιμον, ἐπηρώτησεν τὰς αὐτῆς θείας εἰ B ἔστι παρθένος; καὶ ἐδιδάχθη ὅτι παρθένος πεφύλακται ἀπὸ τοῦ R 724 αὐτῆς πατρὸς καὶ ὅτι διὰ λόγων πολλῶν ἧκται φιλοσοφίας, ἐκέλευσεν αὐτὴν ἅμα ταῖς αὐτῆς θείαις διὰ κουβικουλαρίων φυλαχθῆναι καὶ περιμεῖναι, λαβοῦσα, φησίν, τὴν δέησιν παρ' αὐτῆς εἰσῆλθε πρὸς τὸν ἴδιον ἀδελφὸν Θεοδόσιον τὸν βασιλέα, καὶ εἶπεν αὐτῷ ὅτι Ηὗρον νεωτέραν καθαράν, εὔστολον, λεπτοχαράκτηρον, εὔρινα, ἀσπροτάτην ὡσεὶ χιών, μεγαλόφθαλμον, ὑποκεχαρισμένην, οὐλοξανθόκομον, σεμνόποδα, ἐλλόγιμον, Ἑλ-

12. διαλεγομένην P. 13. ἑωρακυῖα P. *ibid.* δέσποινα] ἡ δέσποινα P. 16. καὶ κελεύσασα Malalas p. 354. 18.

nescio cur moriturus, dum me inopem relinquit, omnium rerum copia post illius excessum frui largiatur. Verum persuaderi fratres non potuere, immo irati et hanc persecuti, domo paterna excedere coegerunt: quam excepit deinceps matris illius soror, neque illa solum ut pupillam, sed et ut virginem ac sororis filiam tutata est. Hanc deinde secum adduxit Constantinopolim ad aliam amitam suam, patris Heracliti sororem. Illae causa puellae suscepta, et actione contra illius fratres instituta, adierunt piissimam Dominam Pulcheriam, Theodosii Imperatoris sororem, hancque ut a fratribus exacta sit docuere: quod et illa singulari eloquentia exposuit.

Domina vero Pulcheria puellam conspicata, forma prorsus eleganti, ac praeclara dicendi facultate praeditam, interrogavit illius amitas, an virgo esset. Postquam vero virginem a parente fuisse custoditam intellexit, eamque Philosophiae studiis longo tempore institutam, jussit illam una cum amitis a Cubiculariis custodiri, et aliquantulum expectare: acceptoque, ut aiunt, supplici illius libello, ad fratrem Theodosium ingressa, *Inveni*, inquit, *puellam*, *puram*, *egregie ornatam, exili corporis statura*, *naso decenti*, *nivis instar candidam*, *oculis magnis*, *gratia singulari*, *crispis iisque flavis capillis*, *maturo incessu*, *disertam*, *Graecani-*

λαδικήν, παρθένον. ὁ δὲ ἀκούσας, ὡς νεώτερος, ἀνήφθη, καὶ C *μεταστειλάμενος τὸν συμπράκτορα αὐτοῦ καὶ φίλον Παυλῖνον ᾔτησε τὴν ἀδελφὴν αὐτοῦ ὡς ἐπ' ἄλλῳ τινὶ εἰσαγαγεῖν τὴν αὐτὴν Ἀθηναΐδα ἐν τῷ αὐτῆς κουβουκλίῳ, ἵνα διὰ τοῦ βήλου θεωρήσῃ αὐτὴν ἅμα Παυλίνῳ. καὶ εἰσήχθη, καὶ ἑωρακὼς αὐτὴν ἠράσθη αὐτῆς, θαυμάσαντος αὐτὴν Παυλίνου, καὶ κρατήσας αὐτὴν ἐποίησε χριστιανήν, ἦν γὰρ Ἑλληνίς, καὶ μετωνόμασεν αὐτὴν Εὐδοκίαν.*

Ἰνδ. δ'. ιγ'. ὑπ. Εὐσταθίου καὶ Ἀγρεκόλα.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεβλήθη τὸ ὕδωρ τῆς κιστέρνης D *τῆς δεσποίνης Πουλχερίας Αὐγούστας μηνὶ περιτίῳ πρὸ α' ἰδῶν φεβρουαρίων, παρόντος τοῦ δεσπότου Θεοδοσίου Αὐγούστου.*

Τούτῳ τῷ ἔτει γάμους ἐπετέλεσε Θεοδόσιος Αὔγουστος, λαβὼν γυναῖκα Ἀθηναΐδα τὴν καὶ Εὐδοκίαν μηνὶ δαισίῳ πρὸ ζ' ἰδῶν ἰουνίων, καὶ ἐπετελέσθη ἱππικὸν τῶν αὐτῶν γάμων τῷ αὐτῷ δαισίῳ μηνὶ πρὸ δ' ἰδῶν ἰουνίων, ὁμοίως καὶ θέατρον τοῦ αὐτοῦ ἱππικοῦ.

Καὶ ἔσχεν ἐξ αὐτῆς Ἀθηναΐδος τῆς καὶ Εὐδοκίας θυγατέρα Εὐδοξίαν ὀνόματι.

P 313 *Ἀκούσαντες δὲ οἱ τῆς Αὐγούστης ἀδελφοὶ ὅτι βασιλεύει ἡ ἀδελφὴ αὐτῶν, προσέφυγον ἐν τῇ Ἑλλάδι φοβηθέντες· καὶ πέμ-*

1. ὁ] ὡς P. 4. *κουβικουλίῳ* P. *ibid.* *βέλον* P. 6. *αὐτῆς* Malalas p. 355. 6. *αὐτῷ* PV. *ib.* *κρατήσαντος* R. 9. *Ἀγρικόλα* P. 11. *Αὐγούστης* P. *ib.* *ἰδῶν* om. R. 16. *μηνὶ Δεσίῳ* P.

Anni am. c. *cam, virginem.* Haec simul is audivit, uti juvenis exarsit, et accersito socio suo et amico Paulino, petivit a sorore sua, ut specie alterius cujusdam negotii, Athenaidem in suum cubiculum adduceret, quam per velum una cum Paulino spectaret. Introducta illa ac visa, ejus amore statim succensus est, admirante eandem Paulino, quam ille in uxorem acceptam, Christianam fecit (erat enim Gentilis), Eudociae indito nomine.

A. C. [Ol. Iph.]

5929. 421. XIII. Ind. IV. Eustathio et Agricola Coss. 1. 300.

His Coss. immissa est aqua in Cisternam Dominae Pulcheriae Augustae mense Peritio, Idibus Februarii, praesente Domino Theodosio Augusto.

Hoc ipso anno, Theodosius Augustus accepta in conjugem Athenaide, quae et Eudocia dicta est, nuptias celebravit mense Desio, ex a. d. VII. Idus Junias: quarum Circenses acti sunt et celebrati eodem mense Desio, ex a. d. IV. Idus Junias, editique pariter in Circo ludi Scenici.

Suscepit autem ex ipsa Athenaide, seu Eudocia, filiam nomine Eudociam.

Cum vero sororem imperare intellexissent Augustae fratres, metu correpti, fugerunt in Graeciam: At illa per nuntios data securitate ac-

ψασα ἀνήνεγκεν αὐτοὺς ὑπὸ λόγον, καὶ ἐποίησεν αὐτοὺς ἀξιωμα-
τικούς, προαγαγόντος αὐτοὺς τοῦ βασιλέως Θεοδοσίου. καὶ τὸν
μὲν λεγόμενον Γέσιον ἔπαρχον πραιτωρίων ἐποίησεν τοῦ Ἰλλυ-
ριῶν ἔθνους, τὸν δὲ Οὐαλεριανὸν μάγιστρον, εἰρηκόσης αὐτοῖς
τῆς ἀδελφῆς αὐτῶν Εὐδοκίας ὅτι Εἰ μὴ ὑμεῖς κακῶς ἐχρήσασθέ
μοι, οὐκ ἂν ἠναγκαζόμην ἐλθεῖν ἐν Κωνσταντινουπόλει καὶ βα-
σιλεῦσαι. τὴν οὖν ἐκ τῆς γενέσεώς μου βασιλείαν ὑμεῖς ἐχαρί- R 726
σασθε· ἡ γὰρ ἐμὴ ἀγαθὴ τύχη ὑμᾶς ἀπειθεῖς ἐποίησεν εἰς ἐμὲ
γενέσθαι καὶ οὐχ ἡ ὑμετέρα πρὸς ἐμὲ γνώμη. B

Ὁ δὲ βασιλεὺς Θεοδόσιος Παυλῖνον ὡς φίλον αὐτοῦ καὶ
μεσάσαντα τῷ γάμῳ καὶ συναριστοῦντα αὐτοῖς ἐποίησεν διὰ πά-
σης ἀξίας ἐλθεῖν· καὶ μετὰ ταῦτα προηγάγετο αὐτὸν μάγιστρον.
καὶ ηὐξήθη, ὡς ἔχων παῤῥησίαν πρὸς τὸν βασιλέα Θεοδόσιον
καὶ τὴν Αὔγουσταν, ὡς καὶ παράνυμφος αὐτῶν γενόμενος.

Τούτῳ τῷ ἔτει ἀφιερώθη ἀνδριὰς Ἀρκαδίου ἑστὼς ἐπάνω V 250
τοῦ Κοχλίου τοῦ κίονος ἐν τῷ Ἀρκαδιακῷ φόρῳ ἐν τῷ καλουμέ-
νῳ Ξηρολόφῳ μηνὶ πανέμῳ πρὸ ς′ ἰδῶν ἰουλίων ἡμέρᾳ σαβ- C
βάτῳ.

Τῷ αὐτῷ ἔτει ἐδηλώθη νίκη κατὰ Περσῶν μηνὶ γορπιαίῳ
πρὸ η′ ἰδῶν σεπτεμβρίων ἡμέρᾳ γ′.

Ἰνδ. ε′. ιδ′. ὑπ. Ὁνωρίου τὸ ιγ′ καὶ Θεοδοσίου Αὐγούστου
τὸ ι′.

3. Γέσιον λεγόμενον P. 4. αὐτῆς τοῖς αὐτοῖς ἀδελφοῖς αὐτῆς P.
9. ἡ om. P. 14. ὡς καὶ] ὡς P. 16. Κωχλίω V.

cersitos ad dignitates provexit, ipsos promovente Theodosio Imperatore. Ac Gesium quidem Praefectum Praetorio Illyrici, Valerianum autem Magistrum fecit, cum subinde fratribus suis diceret Eudocia Augusta, *Nisi vos male me tractassetis, nunquam Constantinopolim venire fuissem coacta, neque imperassem. Imperium ergo quod Genesis mea portenderat, concessistis, bona enim fortuna mea vos erga me reddidit asperiores, non vero vestra in me voluntas.*

Imperator autem Theodosius Paulinum ut amicum suum, et nuptiarum conciliatorem, quique eorum esset conviva, per omnes honorum gradus ad dignitates provexit, eumque tandem Magistrum renuntiavit, eo honore auctus, ut quoties luberet, Theodosium Augustum et Augustam, tanquam ipsorum Paranymphus convenire liceret.

Hoc anno, dedicata est statua Arcadii, quae stat supra cochleam columnae in Foro Arcadiaco, in loco Xerolopho appellato, mense Panemo, ex a. d. VI. Idus Julias, die Sabbati.

Eodem hoc anno, nuntiata est victoria de Persis relata, mense Gorpiaeo, ex a. d. VIII. Idus Septembres, feria III.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐφάνη ἐν τῷ οὐρανῷ ἀστὴρ πέμπων ἀκτῖνα πάνυ ἐπιμήκη λευκὴν μηνὶ δύστρῳ ὡς ἐπὶ νύκτας ι' μετὰ ἀλεκτρυόνα, καὶ αὐτῷ τῷ ἔτει ἐγένετο σεισμός.

Ἰνδ. ς'. ιε'. ὑπ. Ἀσκληπιοδότου καὶ Μαρινιανοῦ.

D Ἐπὶ τούτων τῶν ὑπάτων ἀνηγορεύθη ἡ Εὐδοκία Αὔγουστα μηνὶ αὐδυναίῳ πρὸ δ' νωνῶν ἰανουαρίων, καὶ πολλοὶ σεισμοὶ ἐγένοντο ἡμέρᾳ δευτέρᾳ ὥραν δεκάτην μηνὶ ξανθικῷ πρὸ ζ' ἰδῶν ἀπριλίων.

τα' Ὀλυμπιάς.

Ἰνδ. ζ'. ις'. ὑπ. Βίκτωρος καὶ Καστίνου.

Ἰνδ. η'. ιζ'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ια' καὶ Οὐαλεντινιανοῦ Καίσαρος.

P 314 Ἐπὶ τούτων τῶν ὑπάτων ἐπήρθη ὑπὸ Θεοδοσίου νέου Αὐγούστου Οὐαλεντινιανὸς νέος Αὔγουστος μηνὶ ὑπερβερεταίῳ πρὸ ι' καλανδῶν νοεμβρίων.

Ἰνδ. θ'. ιη'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιβ' καὶ Οὐαλεντινιανοῦ νέου Αὐγούστου τὸ β'.

Ἰνδ. ι'. ιθ'. ὑπ. Ἱερίου καὶ Ἀρδαβουρίου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεκαινίσθη τὸ δημόσιον τὸ ποτὲ

17. νέου om. P.

Anni a m. c.	A. C.		[Ol. Iph.]
5930.	422.	XIV. Ind. V. Honorio XIII. et Theodosio Augusto X. Coss.	2.
		His Coss. sidus in coelo apparuit, radium quendam candidum ac longissimum promittens, mense Dystro, per noctes circiter X. post gallicinium: eodemque anno terrae motus factus est.	
	423.	XV. Ind. VI. Asclepiodoto et Mariniano Coss.	3.
		His Coss. Eudocia renuntiata est Augusta mense Audynaeo, ex a. d. IV. Nonas Januarias, crebrique fuere terrae motus feria II. hora X. mense Xanthico, ex a. d. VII. Idus Apriles.	
		CCCI. Olympias.	
	424.	XVI. Ind. VII. Victore et Castino Coss.	4.
	425.	XVII. Ind. VIII. Theodosio Augusto XI. et Valentiniano Caesare Coss.	1. 302.
		His Coss. Valentinianus Junior levatus est Augustus a Theodosio Juniore Augusto mense Hyperberetaeo, ex a. d. X. Kal. Novembres.	
	426.	XVIII. Ind. IX. Theodosio Augusto XII. et Valentiniano Augusto II. Coss.	2.
	427.	XIX. Ind. X. Hierio et Ardaburio Coss.	3.
		His Coss. dedicatum est Balneum publicum, olim dictum	

μὲν Κωνσταντινιαναί, νῦν δὲ Θεοδοσιαναί, τελέσαντος αὐτὸ Ἱε- R 728
ρίου τοῦ δὶς ἐπάρχου καὶ ὑπάτου μηνὶ ὑπερβερεταίῳ πρὸ ε΄ νω-
νῶν ὀκτωβρίων.

τβ΄ Ὀλυμπιάς. B

Ἰνδ. ια΄. κ΄. ὑπ. Φήλικος καὶ Ταύρου.

Ἐπὶ τούτων τῶν ὑπάτων Οὐάνδαλοι εἰσῆλθον εἰς Ἀφρικήν.

Ἰνδ. ιβ΄. κα΄. ὑπ. Φλωρεντίου καὶ Διονυσίου.

Ἰνδ. ιγ΄. κβ΄. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιγ΄ καὶ Οὐαλεντινιανοῦ νέου Αὐγούστου γ΄.

Ἰνδ. ιδ΄. κγ΄. ὑπ. Ἀντιόχου καὶ Βάσσου.

Ἐν ἔτει να΄ τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου καὶ
τῆς Θεοδοσίου νέου Αὐγούστου βασιλείας ἔτους κγ΄ καὶ τῶν προ- C
κειμένων ὑπάτων ἐγένετο ἡ τρίτη σύνοδος ἐν Ἐφέσῳ τῶν σ΄ ἁγίων καὶ μακαρίων πατέρων κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, ἥτις καὶ αὐτὴ τοῦ συμβόλου τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως ἐχομένη ἐν ὀνόματι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τὸν αὐτὸν κατέβαλεν Νεστόριον. οὗτος γὰρ τὸν ὑπὲρ νοῦν ἀνθρώπων καὶ πᾶσαν φύσιν ὑπεραίροντα ἐκ τῆς παρθένου κύριον Ἰησοῦν Χριστὸν ἀνθρωπίνης μόνης οὐσίας, οὐχ ἅμα δὲ καὶ θείας εἶναι διδάσκειν ὁ παράφρων ἐτόλμησεν.

1. *Κωνσταντινιαναί*] Vid. Ducang. Hist. Byzant. p. II. p. 91. s. 2. *ὑπάτων* RV. 9. *γ΄* om. V, *τὸ γ΄* P sola. 14. *πατέρων καὶ μακαρίων* P.

A. C. [Ol. Iph.]

Constantinianae, nunc vero Theodosianae, opus conficiente Hierio iterum Praefecto Urbi et Consule, mense Hyperberetaeo, ex a. d. v. Nonas Octobres.

CCCII. Olympias.

428. xx. Ind. xi. Felice et Tauro Coss. 4.

His Coss. Vandali Africam ingressi sunt.

429. xxi. Ind. xii. Florentio et Dionysio Coss. 1. 302.

430. xxii. Ind. xiii. Theodosio Augusto XIII. et Valentiniano Augusto III. Coss. 2.

431. xxiii. Ind. xiv. Antiocho et Basso Coss. 3.

Anno cdi. Domini in coelum Assumptionis, Theodosii vero Junioris Augusti imperii anno xxiii. iisdemque Coss. celebrata est iii. Synodus Ephesi cc. sanctorum et beatorum Patrum contra Nestorium impium: quae quidem secundum rectae et inculpatae fidei Symbolum, in nomine Christi veri Dei nostri eundem Nestorium dejecit. Hic enim Dominum nostrum Jesum Christum supra captum hominum, et naturam omnem praecellentem, ex Virgine natum, humanam duntaxat, non

V 251 τγ' Ὀλυμπιάς.

D Ἰνδ. ιε'. κδ'. ὑπ. Οὐαλερίου καὶ Ἀετίου.

Ἰνδ. α'. κε'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιδ' καὶ Μαξίμου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐγένετο πυρκαϊὰ μεγάλη ἀπὸ τοῦ νεωρίου· καὶ ἐκάησαν τὰ ὅρια καὶ τὸ δημόσιον ὁ Ἀχιλλεὺς μηνὶ λώῳ πρὸ ιβ' καλανδῶν σεπτεμβρίων.

Ἰνδ. β'. κς'. ὑπ. Ἀρεοβίνδου καὶ Ἄσπαρος.

Ἰνδ. γ'. κζ'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιε' καὶ Οὐαλεντινιανοῦ νέου Αὐγούστου τὸ δ'.

P 315 τδ' Ὀλυμπιάς.

Ἰνδ. δ'. κη'. ὑπ. Ἰσιδώρου καὶ Σενάτορος.

Ἰνδ. ε'. κθ'. ὑπ. Ἀετίου τὸ β' καὶ Σιγισβούλδου.

Ἐπὶ τούτων τῶν ὑπάτων εἰσῆλθεν ἐν Κωνσταντινουπόλει
R 730 Οὐαλεντινιανὸς νέος Αὔγουστος μηνὶ ὑπερβερεταίῳ πρὸ ιβ' καλανδῶν νοεμβρίων. καὶ ἐπετέλεσε τοὺς αὐτοῦ γάμους, λαβὼν Εὐδοξίαν τὴν θυγατέρα Θεοδοσίου καὶ Εὐδοκίας Αὐγούστων, μηνὶ ὑπερβερεταίῳ πρὸ δ' καλανδῶν νοεμβρίων, καὶ ἔσχεν ἐξ αὐ-
B τῆς δύο θυγατέρας, Εὐδοκίαν καὶ Πλακιδίαν.

5. Ἀχιλεὺς P. 6. λόῳ PV. 12. Σιγισβάλδου P. 16. Αὐγούστης P.

Anni a m. c. A. C. [Ol. Iph.]

vero simul et divinam habuisse substantiam docere uti insanus ausus est.

CCCIII. Olympias.

432. xxiv. Ind. xv. Valerio et Aëtio Coss. 4.

433. xxv. Ind. i. Theodosio Augusto XIV. et Maximo Coss. 1. 303.

His Coss. exortum est incendium ingens a Neorio, et conflagrarunt Horrea, et Balneum publicum, Achilleus appellatum, mense Loo, ex a. d. xii. Kal. Septembres.

434. xxvi. Ind. ii. Areobindo et Aspare Coss. 2.

435. xxvii. Ind. iii. Theodosio Augusto XV. et Valentiniano Juniore Augusto IV. Coss. 3.

CCCIV. Olympias.

5944. 436. xxviii. Ind. iv. Isidoro et Senatore Coss. 4.

437. xxix. Ind. v. Aëtio II. et Sigisvaldo Coss. 1. 303.

His Coss. Valentinianus Junior Augustus venit Constantinopolim mense Hyperberetaeo, ex a. d. xii. Kal. Novembr. et suas celebravit nuptias, accepta Eudoxia, filia Theodosii et Eudociae Augustae, mense Hyperberetaeo, ex a. d. iv. Kal. Novembres: et ex ea filias duas suscepit, Eudociam et Placidiam.

Ἰνδ. ϛ'. λ'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιϛ' καὶ Φαύστου.

Ἰνδ. ζ'. λα'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιζ' καὶ Φήστου.

Ἐν τούτῳ τῷ ἔτει ἐκέλευσε Θεοδόσιος Αὔγουστος τὰ τείχη κύκλῳ γενέσθαι ἐν ὅλῳ τῷ παραθαλασσίῳ Κωνσταντινουπόλεως. καὶ αὐτῷ τῷ ἔτει εἰσῆλθεν ἐν Καρθαγένῃ Ζινζίριχος ὁ βασιλεὺς τῶν Οὐανδάλων μηνὶ ὑπερβερεταίῳ· καὶ αὐτῷ τῷ ἔτει πειρᾶται τὴν Σικελίαν ἐρημῶσαι.

τε' Ὀλυμπιάς. C

Ἰνδ. η'. λβ'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ε' καὶ Ἀνατολίου.

Ἰνδ. θ'. λγ'. ὑπ. Κύρου μόνου.

Ἐπὶ τούτου ἐσφάγη Ἰωάννης Οὐάνδαλος ἐν τῇ Θράκῃ.

Ἰνδ. ι'. λδ'. ὑπ. Εὐδοξίου καὶ Διοσκόρου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐπέρασαν οἱ Οὖννοι καὶ τὸ Ἰλλυρικὸν ἠρήμωσαν Ἀττίλας καὶ Βλίδας.

Ἰνδ. ια'. λε'. ὑπ. Μαξίμου τὸ β' καὶ Πατέρνου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεκαινίσθη τὸ δημόσιον λουτρὸν D
ὁ Ἀχιλλεὺς μηνὶ αὐδυναίῳ πρὸ γ' ἰδῶν ἰανουαρίων. καὶ εἰσῆλ-

5. Ζινζίροχος V. 6. τῷ αὐτῷ P. 12. Ἰωάννης σου ἄνδαλος V. 15. ἐρήμωσαν P. 18. Ἀχιλεὺς PV.

A. C. [Ol. Iph.]

438. xxx. Ind. vi. Theodosio Augusto XVI. et Fausto Coss. 2.

439. xxxi. Ind. vii. Theodosio Augusto XVII. et Festo Coss. 3.

Hoc anno Theodosius Augustus praecepit muris claudi universum littus maritimum Constantinopoleos. Sed et ipso anno Gensericus Vandalorum Rex Carthaginem ingressus est mense Hyperberetaeo: eodemque anno, Siciliam vastare annisus est.

CCCV.' Olympias.

440. xxxii. Ind. viii. Valentiniano Augusto V. et Anatolio Coss. 4.

441. xxxiii. Ind. ix. Cyro solo Cos. 1. 304

Hoc Cos. caesus est Joannes Vandalus in Thracia.

442. xxxiv. Ind. x. Eudoxio et Dioscoro Coss. 2.

His Coss. trajecerunt Hunni, et Illyricum vastarunt Attilas et Blidas.

443. xxxv. Ind. xi. Maximo II. et Paterno Coss. 3.

His Coss. dedicatum est publicum Balneum Achilleus mense Audynaeo, ex a. d. iii. Idus Januarias. Et ingressus est Theodosius Augustus Constantinopolim, rediens ab expeditione Asiae, mense Loo, ex a. d. vi. Kal. Septembres.

θεν Θεοδόσιος ὁ Αὔγουστος ἐν Κωνσταντινουπόλει ἀπὸ τοῦ ἐξπεδίτου τῆς Ἀσίας μηνὶ λώῳ πρὸ ς′ καλανδῶν σεπτεμβρίων.

τς′ Ὀλυμπιάς.

Ἰνδ. ιβ′. λς′. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιη′ καὶ Ἀλβίνου.

Ἐν τούτῳ τῷ ἔτει προϊόντος τοῦ βασιλέως Θεοδοσίου εἰς
P 316 *τὴν ἐκκλησίαν τῇ ἑορτῇ τῶν ἁγίων θεοφανίων, συνέβη τὸν μά-*
V 252 *γιστρον Παυλῖνον ἀῤῥωστῆσαι ἐκ τοῦ ποδὸς καὶ μεῖναι ἀπρόϊτον καὶ ἐξσκουσεῦσαι. καὶ προσήνεγκεν πένης τις τῷ βασιλεῖ Θεοδοσίῳ μῆλον Φρύγιον παμμέγεθες εἰς πᾶσαν ὑπερβολήν. καὶ ἐξε-*
R 732 *νίσθη ὁ βασιλεὺς καὶ πᾶσα ἡ σύγκλητος, καὶ εὐθέως ὁ βασιλεὺς δέδωκεν τῷ πένητι νομίσματα ρν′, καὶ ἔπεμψε τὸ μῆλον τῇ Αὐγούστᾳ Εὐδοκίᾳ, καὶ ἡ Αὔγουστα ἔπεμψεν αὐτὸ Παυλίνῳ τῷ μαγίστρῳ καὶ φίλῳ τοῦ βασιλέως. ὁ δὲ αὐτὸς μάγιστρος ἀγνοῶν ὅτι ὁ βασιλεὺς ἔπεμψεν αὐτὸ τῇ Αὐγούστᾳ, αὐτὸς πάλιν ἔπεμ-*
B *ψεν αὐτὸ τῷ βασιλεῖ Θεοδοσίῳ, ὡς ἐξέρχεται ἀπὸ τῆς ἐκκλησίας. καὶ ἐδέξατο αὐτὸ ὁ βασιλεὺς δίχα τῆς Αὐγούστας, καὶ ἀποκρύψας αὐτὸ καλέσας τὴν Αὔγουσταν ἐπηρώτησεν αὐτήν, Ποῦ ἐστι τὸ μῆλον ὃ ἔπεμψά σοι; ἡ δὲ εἶπεν ὅτι Ἔφαγον αὐτό. καὶ ὥρκωσεν αὐτὴν κατὰ τῆς ἑαυτοῦ σωτηρίας εἰ ἔφαγεν ἤ τινι ἔπεμψεν αὐτό. κἀκείνη ἐπωμόσατο ὅτι οὐδενὶ αὐτὸ ἔπεμψεν, ἀλλ᾽ αὐτὴ αὐτὸ ἔφαγεν. καὶ ἐκέλευσεν, καὶ ἠνέχθη τὸ μῆλον, καὶ ἔδειξεν*

2. *σεπτεμβρίου* P. 6. *τὴν* om. P. 11. 14. *Αὐγούστῃ* P. 12. *Αὐγούστῃ* P. 16. *αὐτὸ* om. P. 19. *αὐτὴν* Malalas p. 357. 8. *αὐτῇ* PV. *ibid. εἰ*] *ἢ* R.

A. C. [Ol. Iph.]

CCCVI. Olympias.

444. xxxvi. Ind. xii. Theodosio XVIII. et Albino Coss. 4.

Hoc anno, procedente Theodosio Imperatore in Ecclesiam die sanctorum Epiphaniorum festo, accidit ut Paulinus Magister ex pede aeger decumberet, nec processui interesset, cum sese excusasset. Obtulit interim pauper quidam pomum Phrygium, ultra quam solet, magnitudinis, ad quam obstupuit Imperator ac universus Senatus, statimque pauperi cl. aureos numerari jussit, misitque pomum Augustae Eudociae, Augusta vero Paulino Magistro et amico Imperatoris. Idem vero Paulinus Magister, cum ignoraret ab Imperatore illud ad Augustam fuisse missum, ipse rursum ad Imperatorem Theodosium, dum ex Ecclesia egrederetur, illud ipsum misit. Recepit Imperator clam Augusta, et abscondit, advocatamque Augustam rogavit: *Ubi est malum, quod misi tibi?* Illa vero, *Comedi*, inquit. Tum Imperator exacto ab ea per suam salutem sacramento, rursum rogat an comedisset, an vero misisset alteri? Juravit illa se comedisse. Tum Imperator adferri pomum imperavit, allatumque illi ostendit. Exhinc illos inter divortium intercessit, ac separatio, Paulinumque deinceps suspectum habuit, ac tandem interfici praecepit. Quare

αὐτῇ αὐτό· καὶ ἐγένετο μεταξὺ αὐτῶν λύσις καὶ ἀπομερισμός. καὶ λοιπὸν ὑπενόησεν τὸν αὐτὸν Παυλῖνον Θεοδόσιος ὁ βασιλεύς, καὶ ἐκέλευσεν αὐτὸν ἀποκτανθῆναι. καὶ λυπηθεῖσα ἡ αὐτὴ δέσποινα Εὐδοκία ὡς ὑβρισθεῖσα, ἐγνώσθη γὰρ πανταχοῦ ὅτι διὰ C αὐτὴν ἐσφάγη ὁ Παυλῖνος, ὡς ὢν εὔμορφος νεώτερος, ᾐτήσατο τὸν βασιλέα Θεοδόσιον ἡ Αὔγουστα Εὐδοκία ἀπελθεῖν εὐχῆς χάριν εἰς τοὺς ἁγίους τόπους, καὶ παρέσχεν αὐτῇ, καὶ ἀπιοῦσα ἀπὸ Κωνσταντινουπόλεως ἐπὶ τὰ Ἱεροσόλυμα εὔξασθαι, εἰσελθοῦσα ἐν τῇ Ἀντιοχείᾳ τῇ μεγάλῃ εἶπεν ἐν τῷ βουλευτηρίῳ λόγον ἐγκωμιαστικὸν εἰς τὴν αὐτὴν Ἀντιόχειαν, καθημένη ἔσωθεν τοῦ δίφρου ὁλοχρύσου ὄντος καὶ διαλίθου βασιλικοῦ, καὶ ἔκραξαν αὐτῇ οἱ τῆς πόλεως, καὶ ἀνηνέχθη αὐτῇ ἔσω ἐν τῷ βουλευτηρίῳ εἰκὼν ἔγχρυσος, καὶ εἰς τὸ λεγόμενον Μουσεῖον στήλην χαλκῆν D ἔστησαν αὐτῇ, αἵτινες ἕως τοῦ νῦν ἵστανται. καὶ φιλοτιμησαμένη τῇ τῶν Ἀντιοχέων πόλει τῆς Συρίας χρήματα λόγῳ σιτωνικοῦ ὥρμησεν ἐπὶ τοὺς ἁγίους τόπους, καὶ ἔκτισεν εἰς Ἱεροσόλυμα πολλά, καὶ τὸ τεῖχος ἅπαν ἀνενέωσεν τῆς Ἱερουσαλήμ, εἰποῦσα ὅτι Δι' ἐμὲ εἶπε Δαβὶδ ὁ προφήτης ὅτι Καὶ ἐν τῇ εὐδοκίᾳ σου οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. καὶ μείνασα εἰς αὐτὴν Ἱερουσαλὴμ καὶ κτίσασα μνῆμα ἑαυτῆς ἐκεῖσε βασιλικὸν τελευτᾷ, καὶ ἀπετέθη ἐκεῖ ἐν Ἱερουσαλήμ. ἐν τῷ δὲ μέλλειν αὐτὴν τελευτᾶν ἐπωμόσατο μὴ συγγινώσκειν τῇ κατηγορίᾳ τῇ γενομένῃ κατ' αὐτῆς ἕνεκεν Παυλίνου.

5. ὢν] ἂν P, ὃν V. 6. εὐχῆς χάριν om. P. 8. ἐλθοῦσα P. 9. ἐν τῷ] αὐτῷ R. 12. ἐν τῷ om. R. 18. ὁ προφήτης] Psalm. L. 20 19. οἰκοδομηθείτω P. *ib.* μείνασα — 20. καὶ om. P. 21. ἐν] εἰς P. *ib.* δὲ τῷ P. *ib.* τελευτᾶν αὐτὴν P.

mirum in modum moerore confecta Domina Eudocia, quod in suam contumeliam redundaret, (notum enim erat omnibus illius causa interfectum esse Paulinum, ut qui formosus esset adolescens), petiit ab Imperatore Theodosio, uti sancta loca adire sibi liceret: quod ille concessit. Illa igitur Constantinopoli profecta Hierosolyma precandi causa, cum Antiochiam magnam venisset, orationem habuit ad Senatum de laudibus Antiochiae, sedens in sella ex auro tota confecta, gemmisque perfusa, ac plane regia, universis urbis civibus fausta illi adclamantibus Illius deinde illata aurea effigies in Senatum, statua vero aerea in Musaeum, locum ita nuncupatum, quae usque hodie adhuc manent. Illa porro Antiochiae Syriae civitati multis erogatis pecuniis, annonae vice, ad sancta loca profecta, Hierosolymis complura aedificia condidit, murosque urbis universos instauravit, dicens: *Propter me dixit David Propheta, In bona voluntate tua aedificentur muri Hierusalem.* Ibique condito sibi Regio monumento, moritur, ac in eo Hierosolymis sepelitur. Moritura

R 734 P 317 Ἰνδ. ιγʹ. λζʹ. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ϛʹ καὶ Νόμου.
Ἰνδ. ιδʹ. ληʹ. ὑπ. Λεοντίου τὸ γʹ καὶ Συμμάχου.
Ἰνδ. ιεʹ. λθʹ. ὑπ. Ἀρδαβουρίου καὶ Ἀλυπίου.

Ἐπὶ τούτων τῶν ὑπάτων Μαρκιανούπολις παρελήφθη, καὶ ἐσφάγη Ἀνάργισκος στρατηλάτης Θρᾴκης.

Καὶ αὐτῷ τῷ ἔτει ἐγένοντο σεισμοὶ μεγάλοι, ὥστε τὰ τείχη πεσεῖν· ἐκράτησαν γὰρ ἐπὶ χρόνον, ὥστε μὴ τολμᾶν τινα ἐν οἴκῳ
B V 253 μένειν, ἀλλ' ἔφυγον ἔξω τῆς πόλεως πάντες λιτανεύοντες ἡμέρας καὶ νυκτός· γέγονε γὰρ ἀπειλὴ μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς· τινὲς δὲ ἔλεγον καὶ πῦρ ἐν τῷ οὐρανῷ τεθεᾶσθαι. ὅθεν καὶ ἡ ἀνάμνησις κατ' ἔτος ἐπιτελεῖται μέχρι νῦν τῆς λιτανείας ὑπὲρ τῆς τοῦ φιλανθρώπου θεοῦ μακροθυμίας ἐν τῷ Τρικόγχῳ πρὸ ηʹ ἰδῶν νοεμβρίων. ἐν γὰρ τῇ τοσαύτῃ ἀπειλῇ οὐκ ἐθανάτωσέν τινας.

τζʹ Ὀλυμπιάς.

Ἰνδ. αʹ. μʹ. ὑπ. Ζήνωνος καὶ Ποστουμιανοῦ.
C Ἰνδ. βʹ. μαʹ. ὑπ. Πρωτογένους καὶ Ἀστερίου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν Μαρῖνα Αὔγουστα, γυνὴ Οὐαλεντινιανοῦ Αὐγούστου, μηνὶ λώῳ πρὸ γʹ νωνῶν αὐγούστου.

7. γὰρ om. R. 11. λιτανίας P. 12. Τρικόχῳ V. 14. τινα P.

Anni am. c. vero juravit se a calumnia, quam Paulini causa passa erat, esse prorsus innocentem.

A. C. [Ol. Iph.]

5953. 445. XXXVII. Ind. XIII. Valentiniano Augusto VI. et Nomo Coss. 1. 306.
446. XXXVIII. Ind. XIV. Leontio III. et Symmacho Coss. 2.
447. XXXIX Ind. XV. Ardaburio et Alypio Coss. 3.

His Coss. Marcianopolis recepta est, et Anargiscus Magister militum Thraciae est interfectus.

Eodem ipso anno, ingentes adeo terrae motus extitere, ut muri prosternerentur, cum longo tempore perstitissent, ita ut nemo domi manere auderet, sed omnes extra urbem fugerent, dieque ac nocte Litaniis insisterent. Ingens enim extitit pavor, qualisque nondum fuerat. Quidam dicebant ignem in coelo visum fuisse: unde quotannis celebratur Litaniae istius memoria pro clementis Dei bonitate ac patientia in Triconcho, ex a. d. VIII. Idus Novembres. In tantis quippe terroribus neminem morti dedit.

CCCVII. Olympias.

448. XL. Ind. I. Zenone et Posthumiano Coss. 4.
449. XLI. Ind. II. Protogene et Asterio Coss.

His Coss. mortua est Marina Augusta Valentiniani Augusti uxor, mense Loo, ex a. d III. Nonas Augusti.

Ἰνδ. γ'. μβ'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ζ' καὶ Ἀβιήνου.

Τούτοις τοῖς ὑπάτοις ἡ ἐν Ἐφέσῳ δευτέρα σύνοδος ἐγένετο, καὶ καθῃρέθησαν ὑπὸ Διοσκόρου ἐπισκόπου Ἀλεξανδρείας Δόμνος ἐπίσκοπος Ἀντιοχείας καὶ Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως καὶ Ἴβας καὶ Θεοδώρητος καὶ ἄλλοι πλείονες.

Ἐπὶ τῆς βασιλείας Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ Αὐγούστων D ἐπεστράτευσεν κατὰ Ῥώμης καὶ Κωνσταντινουπόλεως Ἀττίλας ὁ ἐκ τοῦ γένους τῶν Γηπέδων Οὔννων, ἔχων πλῆθος μυριάδων πολλῶν. καὶ ἐδήλωσεν διὰ Γότθου ἑνὸς πρεσβευτοῦ Οὐαλεντινιανῷ βασιλεῖ Ῥώμης, Ἐκέλευσέ σοι δι' ἐμοῦ ὁ δεσπότης μου καὶ δεσπότης σου Ἀττίλας ἵνα εὐτρεπίσῃς αὐτῷ παλάτιν. ὁμοίως δὲ καὶ Θεοδοσίῳ βασιλεῖ τὰ αὐτὰ ἐν Κωνσταντινουπόλει ἐδήλωσεν δι' ἑνὸς Γότθου πρεσβευτοῦ. καὶ ἀκηκοὼς Ἀέτιος ὁ πρῶτος συγκλητικὸς Ῥώμης τὴν ὑπερβάλλουσαν τόλμαν τῆς ἀπο- R 736 νενοημένης ἀποκρίσεως Ἀττίλα, ἀπῆλθε πρὸς Ἀλλάριχον εἰς τὰς P 318 Γαλλίας, ὄντα ἐχθρὸν Ῥώμης διὰ Ὁνώριον, καὶ προετρέψατο αὐτὸν ἅμα αὐτῷ κατὰ Ἀττίλα, ἐπειδὴ ἀπώλεσεν πόλεις πολλὰς τῆς Ῥώμης. καὶ ἐξαίφνης ἐπιῤῥίψαντες αὐτῷ, ὡς ἔστιν ἡπληκευμένος πλησίον τοῦ Δανουβίου ποταμοῦ, ἔκοψαν αὐτοῦ χιλιάδας πολλάς· εἰς δὲ τὴν συμβολὴν ὁ Ἀλλάριχος πληγὴν λαβὼν ἀπὸ

1. *Ἀλβίνου* P. 9. *Γηπαίδων* PV. 10. *Γόθου* hic et 12. R. *ib.* *τινὸς ἑνὸς* R. 12. *παλάτιον* P, *παλάτην* V. 17. *Γαλλίους* V. 18. *αὐτὸν ἅμα*] *ἅμα αὐτὸς* P. 19. *ἡπληκευσάμενος* P.

A. C. [Ol. Iph.]
450. XLII. Ind. II. Valentiniano Augusto VII. et Albino Coss. 1. 307.

His Coss. Ephesi Synodus altera acta est, in qua damnati sunt a Dioscoro Alexandriae Episcopo Domnus Episcopus Antiochiae, Flavianus Episcopus Constantinopoleos, Ibas, Theodoretus, aliique complures.

Imperantibus Theodosio et Valentiniano Augustis, expeditionem movit adversus Romam et Constantinopolim Attilas, ex Gepidis Hunnis ortus, una cum infinita copiarum multitudine, haecque Valentiniano qui Romae imperabat, per quendam Gotthum suum legatum denuntiavit: *Imperat per me Dominus meus et Dominus tuus Attilas, uti sibi Palatium instruas.* Pari quoque modo, Theodosio Imperatori per quendam alium Gotthum legatum similia mandata transmisit. Quibus quidem auditis, Aëtius primus Romae Senator, cum intolerandam audaciam fatui ac inepti mandati Attilae accepisset, profectus est in Gallias ad Allarichum, Romanorum hostem propter Honorium, illumque in Attilam impulit, ut qui Romani imperii plurimas evertisset civitates. Illi e vestigio impressione in illum facta, cum is ad Danubium fluvium castra posuisset, multa millia de ejus exercitu ceciderunt. Inter pugnandum vero Allari-

σαγίττας τελευτᾷ. ὡσαύτως δὲ καὶ ὁ Ἀττίλας τελευτᾷ καταφορᾷ αἵματος διὰ τῶν ῥινῶν ἐνεχθεὶς νυκτὸς μετὰ Οὔννας παλλακίδος αὐτοῦ καθεύδων, ἥτις κόρη καὶ ὑπενοήθη ὅτι αὐτὴ ἀνεῖλεν B αὐτόν· περὶ οὗ πολέμου συνεγράψατο ὁ σοφώτατος Πρίσκος ὁ Θρᾷξ.

Λέγει ὅτι Κῦρος προεβλήθη ἐν Κωνσταντινουπόλει ἔπαρχος πραιτωρίων καὶ ἔπαρχος πόλεως. καὶ προήει μὲν ὡς ἔπαρχος πραιτωρίων εἰς τὴν καροῦχαν τῶν ἐπάρχων· ἀνεχώρει δὲ καθήμενος εἰς τὴν καροῦχαν τοῦ ἐπάρχου τῆς πόλεως· ἐκράτησεν γὰρ τὰς δύο ἀρχὰς ἐπὶ χρόνους τέσσαρας, διότι καθαρὸς ἦν πάνυ· καὶ αὐτὸς ἐπενόησεν τὰ ἑσπερινὰ φῶτα ἅπτεσθαι εἰς τὰ ἐργαστήρια, ὁμοίως καὶ τὰ νυκτερινά. καὶ ἔκραξαν αὐτῷ τὰ μέρη εἰς τὸ Ἱππικὸν ὅλην τὴν ἡμέραν, Κωνσταντῖνος ἔκτισεν, Κῦρος ἀνενέωσε. καὶ ἐχόλεσεν αὐτῷ ὁ βασιλεύς, ὅτι ταῦτα ἔκραξαν, καὶ C διεδέξατο αὐτὸν δημεύσας καὶ ἐποίησεν αὐτὸν κληρικὸν καὶ ἔπεμ- V 254 ψεν αὐτὸν ἐπίσκοπον εἰς Σμύρναν τῆς Ἀσίας· ἦσαν γὰρ οἱ τῆς πόλεως ἐκείνης ἤδη τέσσαρας ἐπισκόπους φονεύσαντες· καὶ ἵνα καὶ αὐτὸν Κῦρον ἀνέλωσιν. φθάσαντος δὲ αὐτοῦ τὴν πόλιν ἐν τοῖς ἁγίοις γενεθλίοις τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπονοήσαντες οἱ τῆς πόλεως Σμύρνης ὅτι ὡς Ἕλληνα αὐτὸν ὁ βασιλεὺς ἐκεῖ ἐπίσκοπον ἐποίησεν, ᾔτησαν αὐτὸν προσφωνῆσαι. ὅστις ἀναγκασθεὶς ὑπ' αὐτῶν ἀνέβη προσομιλῆσαι· καὶ μετὰ τὸ δοῖ-

1. *καὶ* om. P. 7. *προήει μὲν ὡς*] *προειημένος* V, *προειρημένος* P. 8. *τῶν — καροῦχαν* om. P. 13. *καὶ Κωνσταντῖνος* P. 14. *ἐχώλεσεν* P, *ἐχόλεσεν* V cum Malala p. 362. 1. Oportuerat *ἐχόλησεν*. Conf. annot. ad p. 98. D. 19. *σωτῆρος*] *κυρίου* P.

chus sagitta ictus interiit: similiter et Attilas, sanguine ex naribus erumpente extinctus est, dum cum Hunna pellice noctu dormiret. Quae quidem puella de ejus nece suspecta habita est. De hoc bello scripsit doctissimus Priscus Thrax.

Is porro ait Cyrum Praefectum Praetorio et Praefectum Urbi creatum esse. Idem vero praedictus Praefectus Praetorio in carruca Praefecti Urbi sedens, (hos enim geminos magistratus per IV. annos obtinuit, quod inculpatae prorsus esset vitae) processit Ipsa etiam lumina vespertina in officinis, similiter et nocturna accendi adinvenit. Et acclamarunt illi Factiones in Circo, toto die: *Constantinus condidit*, *Cyrus renovavit.* Ob hasce acclamationes Cyro factas offensus Imperator, ipsique iratus, alium substituit, et bonis ejus publicatis, Clericum fieri coegit, misitque Smyrnam Asiae civitatem, ut ibi Episcopum ageret: cujus quidem urbis cives cum quatuor suos Episcopos jam interfecissent, Cyrum pariter perempturos persuasum habebat. Cum autem in urbem venisset Cyrus ipso Domini nostri Jesu Christi natali die, Smyrnenses suspicati, tanquam hominem paganum, ad se missum esse ab Imperatore

ναι εἰρήνην ἤρξατο λέγειν οὕτως, Ἀδελφοί, ἡ γέννησις τοῦ θεοῦ
καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ
μόνον συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ· λόγος γὰρ ἦν. αὐτῷ ἡ D
δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. καὶ εὐφημηθεὶς κατῆλθεν, καὶ
ἔμεινεν ἐκεῖ ἕως θανάτου αὐτοῦ.

Τούτῳ τῷ ἔτει ἔπαθε Κωνσταντινούπολις ἀπὸ σεισμοῦ μη-
νὶ αὐδυναίῳ ϛ΄ καὶ κ΄ νυκτὸς ἀπὸ τῶν λεγομένων Τρῳαδησίων
Ἐμβόλων ἕως τοῦ χαλκοῦ Τετραπύλου ἐπὶ χρόνον, ὥστε μὴ τολ- R 738
μᾶν ἐν οἴκῳ τινὰ μένειν, ἀλλ᾽ ἔφυγον ἔξω τῆς πόλεως πάντες
λιτανεύοντες ἡμέρας καὶ νυκτός. καὶ ὁ βασιλεὺς ἐλιτάνευσε με-
τὰ τῆς συγκλήτου καὶ τοῦ ὄχλου καὶ τοῦ κλήρου ἀνυπόδετος ἡμέ-
ρας πολλάς. γέγονε γὰρ ἀπειλὴ μεγάλη, οἵα οὐ γέγονεν ἀπ᾽ ἀρ- P 319
χῆς· τινὲς δὲ ἔλεγον καὶ πῦρ ἐν τῷ οὐρανῷ τεθεᾶσθαι. ὅθεν
καὶ ἡ μνήμη κατ᾽ ἔτος ἐπιτελεῖται τῆς λιτανείας μέχρι καὶ νῦν
ἐν τῷ Κάμπῳ ὑπὲρ τῆς τοῦ φιλανθρώπου θεοῦ μακροθυμίας.
ἐν γὰρ τοσαύτῃ ὀργῇ οὐδεὶς ἐθανατώθη.

Τούτῳ τῷ ἔτει ἐξῆλθεν Θεοδόσιος Αὔγουστος ἱππασθῆναι, καὶ ἐν τῷ ἱππάζεσθαι αὐτὸν συνέπεσεν ἐκ τοῦ ἵππου· καὶ πληγεὶς τὸν σφόνδυλον αὐτοῦ εἰσῆλθεν λεκτικίῳ ἀπὸ Λευκοῦ ποταμοῦ, καὶ καλέσας τὴν ἀδελφὴν αὐτοῦ τὴν δέσποιναν Πουλχερίαν

2. καὶ om. P. 10. ἐλιτάνευε P. 12. „Repetuntur superiora“ (p. 317. B) Raderus. Conf. annot. ad p. 94. D. 13. θεᾶσθαι P. 14. λιτανίας PV. 19. Λευκοῦ] Λύκου Ducangius.

in Episcopum, petierunt ab eo ut pro concione verba faceret. Coactus ille ab iis, Ambonem conscendit verba facturus, paceque data, sic sermonem suum exorsus est: *Fratres, natalis Dei Salvatoris nostri Jesu Christi silentio colatur, quia solo auditu in Sancta Virgine conceptus est, erat enim Verbum: ipsi gloria in saecula, Amen.* Factaque acclamatione, descendit, ibique mansit usque ad mortem.

Hoc anno, magnam labem accepit Constantinopolis ex terrae motu mense Audynaeo, XXVI. die, noctu, a Troadensibus ita appellatis Porticibus, usque ad aereum Tetrapylum, sat diu, ita ut nemo auderet domi manere, sed omnes extra urbem fugerent, die ac nocte Litaniis vacantes. Sed et Imperator ipse cum Senatu ac plebe et Clero nudis pedibus per multos dies pariter supplicationes peregit: ingens enim extitit terror, et qualis nunquam fuerat. Quidam etiam affirmabant se ignem in coelo vidisse: unde anniversaria memoria istius supplicationis ad hoc usque tempus in Campo peragitur in gratiarum actionem pro Dei clementia. In tanta enim malorum trepidatione nemo extinctus est.

Hoc anno, cum Theodosius Augustus equitandi gratia urbem esset egressus, inter equitandum equo excidit, ac vertebram spinae luxavit. Lectica a Lyco fluvio in urbem illatus, ac Domina Pulcheria sorore advocata, cum ea de Marciano Ex-Tribuno verba habuit. Tumque rursum idem Imperator Theodosius Marciano, coram Aspare et reliquis Se-

εἶπεν αὐτῇ διὰ Μαρκιανὸν τὸν ἀπὸ τριβούνων. καὶ τότε πάλιν αὐτὸς ὁ βασιλεὺς Θεοδόσιος εἶπεν Μαρκιανῷ ἐπὶ Ἄσπαρος καὶ τῶν λοιπῶν συγκλητικῶν πάντων ὅτι Ἐφάνη μοι ὡς δεῖ σε γενέσθαι βασιλέα μετ᾽ ἐμέ. καὶ μεθ᾽ ἡμέρας τελευτᾷ ὁ αὐτὸς Θεοδόσιος, ὢν ἐτῶν να'.

Καὶ αὐτῷ τῷ ἔτει ἐσφάγη Χρυσάφις ὁ σπαθάριος εἰς τὴν πόρταν Μελαντιάδος.

Καὶ αὐτῷ τῷ ἔτει ἐπήρθη Μαρκιανὸς Αὔγουστος ἀπὸ τοῦ Κερκησίου ἐν τῷ Ἑβδόμῳ μηνὶ λώῳ πρὸ η' καλανδῶν σεπτεμβρίων ἡμέρᾳ πέμπτῃ. ἢ μόνον δὲ ἐβασίλευσεν, ἔγημε τὴν ἀδελφὴν
C Θεοδοσίου τοῦ νέου βασιλέως τὴν δέσποιναν Πουλχερίαν, παρθένον οὖσαν ἐτῶν νδ'.

Ῥωμαίων μβ' ἐβασίλευσεν Μαρκιανὸς ἔτη ζ'.

ὁμοῦ ἔτη ,εϡξϛ'.

Ἰνδ. δ'. α'. ὑπ. Μαρκιανοῦ Αὐγούστου καὶ Ἀδελφίου.

Πουλχερία ἡ γυνὴ Μαρκιανοῦ τοῦ βασιλέως τῶν ἁγίων τεσσαράκοντα τῶν ἐν Σεβαστείᾳ μαρτυρησάντων κατ᾽ ὀπτασίαν εὑρίσκει τὰ λείψανα κατακρυπτόμενα εἰς τὸν οἶκον τοῦ ἁγίου Θύρσου ὀπίσω τοῦ ἄμβωνος. καὶ ἀνεδομήσατο αὐτῶν οἶκον ἔξω
D τῶν τειχῶν τῶν Τρῳαδησίων Καισάριος ὕπατος καὶ ἔπαρχος.

R 740
V 255 τη' Ὀλυμπιάς.

Ἰνδ. ε'. β'. ὑπ. Σφωρακίου καὶ Ἑρκουλάνου.

6. τῷ αὐτῷ P. ib. Χρυσάφης PV. 9. Κερκεσίου PV. 10. ἢ de meo addidi. Conf. Malalas p. 367. 9. 11. νέου om. P. 17. Σεβαστίᾳ PV. 20. τῶν prius om. P. ib. ὕπαρχος PV.

Anni a m. c. natoribus, *Divinitus*, inquit, *mihi significatum est te in imperio mihi successurum.* Et post aliquot dies moritur idem Theodosius, cum annum ageret LI.

Eodem anno, interfectus est Chrysaphius Spatharius ad portam Melantiadis.

Eodem ipso anno, levatus est Marcianus Augustus a Circensibus, seu Factionibus, in Hebdomo, mense Loo, ex a. d. VIII. Kal. Septembr. feria V. Solus vero imperavit. Uxorem duxit Dominam Pulcheriam. Theodosii Imperatoris sororem, virginem, annos natam LIV.

Romanis XLII. imperavit Marcianus annos VII. Colliguntur anni V. MDCCCCLXVI.

A. C. [Ol. Iph.]
5959. 451. I. Ind. IV. Marciano Augusto et Adelfio Coss. 3.

Pulcheria Marciani Imperatoris conjux, Sanctorum XL. Martyrum Sebastiae passorum per visum reliquias invenit, reconditas in aede Sancti Thyrsi, pone Ambonem: iisque aedem sacram extruxit extra muros Troadenses Caesarius Consul et Praefectus.

Ἔτους υκβ΄ τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου γέγονεν ἡ τετάρτη σύνοδος ἐν Χαλκηδόνι τῶν χλ΄ ἁγίων πατέρων κατὰ τῶν μιαρῶν Εὐτυχοῦς καὶ Διοσκόρου ἐπισκόπου Ἀλεξανδρείας τῶν καὶ καθαιρεθέντων.

Ἰνδ. ϛ΄. γ΄. ὑπ. Βινκομάλου καὶ Ὀπιλίωνος.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν ἡ δέσποινα Πουλχερία. P 320

Ἐπὶ τῶν προκειμένων ὑπάτων Βινκομάλου καὶ Ὀπιλίωνος, βασιλευόντων Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ Αὐγούστων μηνὶ περιτίῳ πρὸ ιβ΄ καλανδῶν μαρτίων τῇ μέσῃ ἑβδομάδι τῶν νηστειῶν ἔτους Συρομακεδόνων ψξγ΄, Ἀντιοχέων φα΄, καὶ υκε΄ ἔτους ἀφ᾽ οὗ ἀπετμήθη ὁ ἅγιος πρόδρομος προφήτης καὶ βαπτιστὴς Ἰωάννης, ηὑρέθη ἡ τιμία αὐτοῦ κεφαλὴ ἐν τῇ Ἐμεσηνῶν πόλει.

Ἰνδ. ζ΄. δ΄. ὑπ. Ἀετίου καὶ Στουδίου.

Τούτῳ τῷ ἔτει βασιλεύοντος Ἀνθήμου ἐν Ῥώμῃ ἐκτίσθη B *ὑπ᾽ αὐτοῦ ὁ οἶκος τοῦ ἁγίου Θωμᾶ, πλησίον τοῦ Βοραιδίου, ἐπιλεγόμενον τὸ Ἀποστολεῖον.*

Ἰνδ. η΄. ε΄. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ η΄ καὶ Ἀνθήμου.

Τούτῳ τῷ ἔτει ἐσφάγη Οὐαλεντινιανὸς Αὔγουστος ἐν Ῥώμῃ

10. *ψξγ΄*] *ψκδ΄* Scaliger p. 290. Conf. Clinton. Fast. vol. II. p. 369. 12. *Ἐμεσίων* P, *Ἐμεσινῶν* V. 15. *Βοραιδίου*] Vide p. 323. D. *ib.* *λεγόμενον* P. 16. *τῷ Ἀποστολίῳ* V. 17. *Ἀνθημίου* P.

A. C. [Ol. Iph.]

CCCVIII. Olympias.

452. II. Ind. V. Sphoracio et Herculano Coss. 4.

Anno CDXXII. Domini in coelum Assumptionis, acta est quarta Synodus Chalcedone DCXXX. Sanctorum Patrum contra scelestos Eutychen et Dioscorum Alexandriae Episcopum, qui depositi fuere.

453. III. Ind. VI. Vincomalo et Opilione Coss. 1. 308.

His Coss. obiit Domina Pulcheria.

Praedictis Vincomalo et Opilione Coss. imperantibus Valentiniano et Marciano Augustis, mense Peritio, ex a. d. XII. Kalend. Martias, media jejuniorum hebdomade, anno Syro-Macedonum DCCLXIII. Antiochenorum DI. et CDXXV. anno quo, postquam capite truncatus est sanctus Praecursor Propheta et Baptista Joannes, illius venerandum caput in Emesenorum civitate inventum est.

454. IV. Ind. VII. Aëtio et Studio Coss. 2.

Hoc anno, imperante Romae Anthemio, condita est ab illo aedes Sancti Thomae juxta Boraedium, quae Apostolium vulgo appellatur.

455. V. Ind. VIII. Valentiniano Augusto VIII. et Anthemio Coss. 3.

μέσον δύο δαφνῶν, καὶ ἐπήρθη βασιλεὺς Μάξιμος, καὶ ἐσφάγη καὶ αὐτὸς τῷ αὐτῷ ἔτει. καὶ εἰσῆλθεν Ζινζίριχος βασιλεὺς τῶν Ἄφρων εἰς Ῥώμην, καὶ παρέλαβεν Εὐδοξίαν τὴν γυναῖκα Οὐαλεντινιανοῦ καὶ τὰς δύο αὐτῆς θυγατέρας, Πλακιδίαν καὶ Ὁνω-
C ρίαν, ἃς μετ' ὀλίγον ἀγοράζει ἐκ τῆς αἰχμαλωσίας Λέων ὁ βασιλεύς. τὴν δὲ Ὁνωρίαν νύμφην ἐκράτησεν Ζινζίριχος εἰς Ὁνάριχον υἱὸν αὐτοῦ.

τθ' Ὀλυμπιάς.

Ἰνδ. θ'. ϛ'. ὑπ. Οὐαρανᾶ καὶ Ἰωάννου.

Ὁ βασιλεὺς Μαρκιανὸς ἐφίλει τὸ Βένετον μέρος οὐ μόνον ἐν Κωνσταντινουπόλει, ἀλλὰ καὶ πανταχοῦ. ὅς ταραχῆς γενομένης ὑπὸ τῶν τοῦ Πρασίνου μέρους, διάταξιν αὐτοῦ θείαν ἐξεφώνησεν μὴ πολιτεύεσθαι Πρασίνους μήτε στρατεύεσθαι ἐπὶ ἔτη γ'.

R 742 Ἰνδ. ι'. ζ'. ὑπ. Κωνσταντίνου καὶ Ῥούφου.

D Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν Μαρκιανὸς Αὔγουστος, ὢν ἐτῶν ξε'. καὶ ἐπήρθη Λέων ὁ μέγας βασιλεὺς ὑπὸ τοῦ ἐξερκέτου μηνὶ περιτίῳ πρὸ ζ' ἰδῶν φεβρουαρίων, καὶ ἐβασίλευσεν ἔτη ιϛ'. ὁμοῦ ,εϡπβ'.

μγ' ἐβασίλευσε Ῥωμαίων Λέων ἔτη ιϛ'. ὁμοῦ ,εϡπβ'.

6. ὁ Ζινζίριχος P. 20. μγ' — ,εϡπβ' om. V.

A. C. [Ol. Iph.]

Hoc anno, Valentinianus Augustus Romae inter duas lauros est interfectus, levatusque Imperator Maximus, eodem anno occisus est. Et Romam ingressus est Gensericus Afrorum Rex, uxoremque Valentiniani Eudoxiam, et filias illius duas, Placidiam et Honoriam, secum abduxit, quas paullo post Leo Imperator ex captivitate redemit. Honoriam vero retinuit Gensericus pro filio suo Honoricho.

CCCIX. *Olympias.*

456. VI. Ind. IX. Varane et Joanne Coss. 4.

Marcianus Imperator Venetae Factioni favebat, non Constantinopoli duntaxat, sed et ubique. Is tumultu a Prasina Factione excitato, Sacram suam jussionem emisit, qua Prasini a publicis muneribus et a militia ad triennium arcebantur.

457. VII. Ind. X. Constantino et Rufo Coss. 1. 309.

His Coss. obiit Marcianus Augustus, annos tum natus LXV. levatusque est Imperator ab exercitu Leo Magnus, mense Peritio, ex a. d. VII. Idus Februarias, et imperavit annos XXI. Colliguntur anni V. MDCCCCLXXXII.

XLIII. imperavit Romanis Leo annos XVI. Colliguntur anni V. MDCCCCLXXXII.

Ἰνδ. ια΄. α΄. ὑπ. Λέοντος Αὐγούστου καὶ Μαϊουρίνου.

Ἰνδ. ιβ΄. β΄. ὑπ. Ῥεκιμέρου καὶ Πατρικίου.

Ἐπὶ τούτων τῶν ὑπάτων προήχθη ἔπαρχος πόλεως Θεο- V 256 P 321
δόσιος· καὶ ἔκτισεν τὸ Αὐγουσταῖον ἐκ πλαγίων τῆς μεγάλης ἐκκλησίας.

Τούτῳ δὲ τῷ ἐνιαυτῷ ἤρξατο Ἄσπαρ ὁ στρατηλάτης κτίζειν τὴν μεγίστην κιστέρναν πλησίον τοῦ παλαιοῦ τείχους.

τι΄. Ὀλυμπιάς.

Ἰνδ. ιγ΄. γ΄. ὑπ. Ἀπολλωνίου καὶ Μάγνου.

Ἰνδ. ιδ΄. δ΄. ὑπ. Δαγαλαΐφου καὶ Σευηριανοῦ.

Ἰνδ. ιε΄. ε΄. ὑπ. Λέοντος Αὐγούστου τὸ β΄ καὶ Σερπεντίου. B

Ἰνδ. α΄. ϛ΄. ὑπ. Βιβιανοῦ καὶ Βασιλείου.

Ἐπὶ τούτων τῶν ὑπάτων λεῖψις γέγονεν τοῦ ἄρτου, ὥστε πραθῆναι τὸν ἕνα ἄρτον φόλεων τριῶν.

τια΄ Ὀλυμπιάς.

Ἰνδ. β΄. ζ΄. ὑπ. Ῥουστικίου καὶ Ὀλυβρίου.

Τούτῳ τῷ ἔτει τελευτᾷ ὁ ἅγιος Συμεὼν ὁ στηλίτης, ὄντος τότε κόμητος ἀνατολῆς Ἀρδαβουρίου τοῦ πατρικίου τοῦ υἱοῦ
Ἄσπαρος τοῦ στρατηλάτου. καὶ κραξάντων τῶν Ἀντιοχέων καὶ C
αἰτησάντων τὸ σῶμα τοῦ δικαίου, ἔπεμψεν ὁ αὐτὸς Ἀρδαβού-

1. Μαιωριανοῦ P. 4. τὸν P. 6. τῷ om. R. 11. Σερπεντίνου P. 13. τῶν] τῶν αὐτῶν P. 17. στυλίτης PV cum Malala p. 369. 10.

A. C.				[Ol. Iph.]	Anni a m. c.
458.	I.	Ind. XI.	Leone Augusto et Majoriano Coss.	2.	
459.	II.	Ind. XII.	Recimere et Patricio Coss.	3.	

His Coss. processit Praefectus Urbi Theodosius, condiditque Augustaeum ad latus Magnae Ecclesiae.

Eodem anno, coepit Aspar Magister militum condere magnam Cisternam, juxta antiquum urbis murum.

CCCX. Olympias.

460.	III.	Ind. XIII.	Apollonio et Magno Coss.	4.	5968.
461.	IV.	Ind. XIV.	Dagalaipho et Severiano Coss.	1. 310.	
462.	V.	Ind. XV.	Leone Augusto II. et Serpentino Coss.	2.	
463.	VI.	Ind. I.	Viviano et Basilio Coss.	3.	

His ipsis Coss. ingens adeo extitit in urbe panis penuria, ut unicus tribus follibus venderetur.

CCCXI. Olympias.

464.	VII.	Ind. II.	Rusticio et Olybrio Coss.	4.

Hoc anno, e vita excessit Sanctus Symeon Stylites, cum Ardaburius Patricius, Asparis Magistri militum filius, tum Comes esset Orientis. Et clamantibus ac petentibus civibus An-

ριος Γοτθικὴν βοήθειαν, καὶ ἤνεγκε τὸ λείψανον τοῦ ἁγίου Συμεῶνος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, καὶ ἐκτίσθη αὐτοῦ μαρτύριον οἶκος μέγας.

Ὀλύβριος πεμφθεὶς ἐν Ῥώμῃ ὑπὸ Λέοντος βασιλέως, καὶ βιασθεὶς ὑπὸ τῶν ἐκεῖσε Ῥωμαίων, ἐκεῖσε χειροτονεῖται βασιλεύς, καὶ ἔσχεν γυναῖκα Πλακιδίαν τὴν καὶ ἀγορασθεῖσαν, ἤγουν ἀναῤῥυσθεῖσαν, ἐκ τῆς αἰχμαλωσίας. οὗτοι κτίζουσι τὴν ἁγίαν Εὐφημίαν τὰ
R 744 D Ὀλυβρίου. καὶ γεννᾷ ἐξ αὐτῆς Ὀλύβριος Ἰουλιάναν τὴν γενομένην γυναῖκα Ἀρεοβίνδου τοῦ μεγάλου τοῦ μονομαχήσαντος ἐν Περσίδι, ἐξ ὧν γεννᾶται Ὀλύβριος ὁ μικρός.

Ἰνδ. γ'. η'. ὑπ. Βασιλίσκου καὶ Ἀρμεναρίχου.

Ἐπὶ τούτων τῶν ὑπάτων Μηνᾶς, νυκτέπαρχος ὤν, κατηγορηθεὶς ἐπὶ φαύλοις πράγμασιν, ἠρωτήθη ἐν τῷ Ἱππικῷ ἀπὸ τῆς συγκλήτου, καὶ κατὰ κέλευσιν τοῦ βασιλέως ἐπὶ τῆς βαθείας τοῦ Ἱππικοῦ καμπτοῦ παιδίον αὐτὸν ἐσκέλισεν καὶ ἔῤῥιψεν ἐπὶ
P 322 πρόσωπον, καὶ λαβὼν αὐτὸν ὁ δῆμος ἤρξαντο σύρειν. ἰδόντες δὲ οἱ ἄρχοντες τὸ γεγονός, φοβηθέντες ἀνεχώρησαν. καὶ ἔσυραν ἐκεῖνον ἕως τῶν οἴκων τοῦ Στουδίου· καὶ λαβὼν εἷς Γότθος λίθον ἔδωκεν αὐτὸν κατὰ τῆς ἀκοῆς, καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἐσύρη ἀπὸ τοῦ δήμου τὸ σκήνωμα αὐτοῦ ἕως θαλάσσης.

1. Γοθικὴν R. Sic et infra. 5. Alterum ἐκεῖσε om. P. 6. ἀναρυσθεῖσαν PV. 15. ἐσκέλισεν Ducangius, ἐσκέλλησεν PV.

A. C. [Ol. Iph.]
tiochenis corpus viri istius Justi, misit Ardaburius Gotthicum praesidium, illudque detulit Antiochiam magnam, ubi conditum est illius Martyrium, aedes amplissima.

Olybrius Romam missus a Leone Imperatore, a Romanis invitus coronatur Imperator, ducta uxore Placidia illa, quae a barbaris redempta, seu a captivitate liberata fuerat. Hi condiderunt aedem sacram Sanctae Euphemiae, Olybrii nuncupatam. Genuit autem Olybrius ex Placidia Julianam, conjugem Areobindi, magni illius viri, qui in Perside singulari certamine cum hoste est congressus: ex quibus natus est Olybrius minor.

465. VIII. Ind. III. Basilisco et Armenaricho Coss. 1. 311.

His Coss. Menas cum Praefectum Vigilum ageret, postulatus est reus de aliquot pravis actis, interrogatusque a Senatu in Circo, jussu Imperatoris in imam, qua is flectitur, partem, caesum ac debilitatum, in faciem quidam dejecit, huncque arreptum populus coepit trahere, (hisce conspectis, recedentibus interea cum pavore judicibus) ipsumque ad aedes usque Studii pertraxit, ubi Gotthus quidam saxum in aurem impegit, eumque morti dedit, cujus cadaver a populo usque ad mare tractum est.

Post dies autem XXX. conflagrarunt ex Dei vindicta ur-

Μεθ' ἡμέρας δὲ τριάκοντα ἐκάησαν τῆς πόλεως ἀπὸ θεο-
μηνίας ῥεγεῶνες η' μηνὶ γορπιαίῳ σεπτεμβρίου β', ἡμέρᾳ δ', ἰν-
δικτιῶνος γ', ἐν τῇ συνάξει τοῦ ἁγίου Μαμᾶ.

Ἰνδ. δ'. θ'. ὑπ. Λέοντος Αὐγούστου τὸ γ' μόνου.

Ἰνδ. ε'. ι'. ὑπ. Πουσαίου καὶ Ἰωάννου.

Ἐπὶ τούτων τῶν ὑπάτων κατηγορήθη Ἰσοκάσιος ὁ φιλόσο- B
φος καὶ κυεστόριος, ὡς Ἕλλην, ὅστις κατήγετο μὲν ἐκ γένους
Αἴγεος τῆς Κιλικίας, ἦν δὲ κτήτωρ Ἀντιοχείας τῆς μεγάλης καὶ
οἰκήτωρ, ὅστις διήνυσεν ἀρχὰς πολλὰς μετὰ δόξης· ἦν δὲ σφό-
δρα λογικός. καὶ συσχεθεὶς κατὰ κέλευσιν τοῦ βασιλέως διὰ τὴν V 257
τότε γενομένην ἀταξίαν ἐν Κωνσταντινουπόλει, ἀποζωσθεὶς τῆς
ἀξίας αὐτοῦ παρεπέμφθη ἐν Χαλκηδόνι, πέραν τῆς Κωνσταντι-
νουπόλεως, τῷ ἄρχοντι Βιθυνίας Θεοφίλῳ, ὅστις καὶ τὰς φω-
νὰς αὐτοῦ ἔλαβεν. Ἰάκωβος δὲ ὁ Κίλιξ ἀρχιητρὸς ὢν τῆς πό-
λεως, ὁ λεγόμενος ψυχριστός, παρεκάλεσε τὸν βασιλέα. ἐφίλει
γὰρ αὐτὸς ὁ Λέων αὐτὸν τὸν ψυχριστὸν καὶ πᾶσα ἡ σύγκλητος
καὶ ἡ πόλις, ὡς ἄριστον ἰατρὸν καὶ φιλόσοφον, ᾧτινι οἱ συγκλη- C
τικοὶ καὶ εἰκόνας αὐτοῦ ἔστησαν ἐν τῷ Ζευξίππῳ. οὗτος ἐδυσ-
ώπησεν τὸν βασιλέα, αἰτῶν αὐτὸν ἐν Κωνσταντινουπόλει τὸν
Ἰσοκάσιον ἐξετασθῆναι παρὰ τῆς συγκλήτου καὶ τοῦ ἐπάρχου τῶν
πραιτωρίων καὶ μὴ παρὰ ἄρχοντι ἐπαρχίας, ἐπειδὴ κυεστορίου εἶ-
χεν ἀξίαν. καὶ πεισθεὶς ὁ βασιλεὺς Λέων ἐκέλευσεν ἐνεχθῆναι

2. σεπτεμβρίῳ R. 8. Αἴγεος om. P, Αἰγεώτης Malalas p. 369. 19.
14. ὢν om. P. 16. αὐτὸς] αὐτὸν RV.

A. C. [Ol. Iph.]

bis Regiones octo, mense Gorpiaeo, Septembris II. Feria IV. Ind. III. die Sancto Mamanti sacro.

466. IX. Ind. IV. Leone Augusto III. solo Coss. 2.

467. X. Ind. V. Pusaeo et Joanne Coss. 3.

His Coss. delatus est Isocasius Philosophus, vir Quaestorius, ut paganus: qui quidem gente Cilix erat, civis vero et habitator magnae Antiochiae, quique multos magistratus cum laude obierat, magna caeterum vir prudentia. Comprehensus ille jussu Imperatoris propter turbas Constantinopoli tum ortas, abrogata illius dignitate, missus est Chalcedonem, trans Constantinopolim, ad Theophilum Bithyniae Praetorem, qui delata in eum testimonia excepit. Sed Jacobus Cilix, Urbis Archiater, cognomento Psychristus, erga Imperatorem pro eo precator intervenit. Amabat enim illum Leo, ac Senatus universus, ipsaque civitas, veluti praestantissimum Medicum, et Philosophum, cui etiam Senatus statuas posuit in Zeuxippo. Hic, inquam, Imperatorem deprecatus est, ut Jsocasii causam a Senatu et Praefecto Praetorio, non vero a Praeside Provinciae cognosci pateretur, ut qui Quaestoriam dignitatem gessisset. Exoratus Imperator Isocasium Chalcedone reduci in urbem prae-

R 746 *τὸν Ἰσοκάσιον ἀπὸ Χαλκηδόνος, καὶ εἰς τὸν Ζεύξιππον προνεχθεὶς ἐξητάζετο ἀπὸ τοῦ ἐπάρχου τῶν πραιτωρίων καὶ ὑπάτου Πουσαίου. καὶ διελάλησεν ὁ αὐτὸς Πουσαῖος κατὰ τοῦ Ἰσοκασίου, εἰσελθόντος πρὸ βηλοῦ γυμνοῦ, δεδεμένου ὀπισθάγκωνα,* D *ταῦτα· Ὁρᾷς ἑαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας; καὶ ἀποκριθεὶς Ἰσοκάσιος εἶπεν, Ὁρῶ, καὶ οὐ ξενίζομαι; ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις περιέπεσα συμφοραῖς. ἀλλὰ δίκη δίκασον ἐπ' ἐμοὶ ὡς ἐδίκαζες σὺν ἐμοί. καὶ ἀκούσας τοῦ Ἰσοκασίου ὁ δῆμος τῶν Βυζαντίων ὁ ἑστὼς καὶ θεωρῶν, εὐφήμησε τὸν βασιλέα Λέοντα πολλά· καὶ ἀποσπάσαντες τὸν αὐτὸν Ἰσοκάσιον ἀπήγαγον αὐτὸν ἀπὸ τοῦ Ζευξίππου εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ κατηχηθεὶς ἐφωτίσθη καὶ ἐπέμφθη εἰς τὴν χώραν αὐτοῦ.*

Ὁ δὲ αὐτὸς θειότατος βασιλεὺς τὰς κυριακὰς ἀπράκτους P 323 *ἐκέλευσε γίνεσθαι, ἐκφωνήσας περὶ τούτου θεῖον αὐτοῦ νόμον, ἵνα μήτε αὐλὸς ἢ κιθάρα ἢ ἄλλο τι μουσικὸν λέγειν ἐν κυριακῇ, ἀλλὰ πάντα ἀργεῖν. καὶ πᾶς ἄνθρωπος ἠνέσχετο.*

Τούτῳ τῷ ἔτει τυραννίδα μελετήσαντα Ἄσπαρα τὸν πατρίκιον καὶ πρῶτον τῆς συγκλήτου ἐφόνευσεν ἐν τῷ παλατίῳ ἔσω, καὶ Ἀρδαβούριον καὶ Πατρίκιν τοὺς υἱοὺς αὐτοῦ ἐν κομβένδῳ, καὶ αὐτοὺς συγκλητικοὺς ὄντας, κατακόψας τὰ σώματα αὐτῶν. καὶ ἐγένετο ἐν Κωνσταντινουπόλει ταραχή· εἶχαν γὰρ πλῆθος Γότθων καὶ κόμητας καὶ ἄλλους παῖδας παρα-

1. *τὸν* prius om. P. 4. *πρὸ βηλοῦ*] *πρὸ δήλου* PV, *πρὸ βήματος* Malalas p. 370. 17. 6. *εἶπεν* post *ξενίζομαι* ponit P. 7. *δίκη*] *καθαρᾷ* addit Malalas. 13. *δὲ* om. P. 15. *μήτε*] *μὴ* P. 17. *μελετήσαντα* Labbeus ad Candidum p. 582 ed. Bonn. et Ducangius, *μελετήσας τις* PV. 18. *καὶ* Ducangius, *ὡς* PV. 19. *Ἀρδαβάριν καὶ Πατρίκιον* P. 21. *εἶχαν*] *εἶχον* P. Vide p. 140. B.

A. C. [Ol. Iph.]

cepit: qui deductus in Zeuxippum, a Praefecto Praetorio et Consule Pusaeo examinatus est: quo palam ingrediente nudo, vinctisque post tergum manibus: Pusaeus sic adversus illam est interlocutus: *Vides, Isocasi, quali habitu hic adstes?* Ad quae Isocasius: *Video*, inquit, *neque miror, homo enim cum sim, in humanas calamitates incidi. Tu vero ita mihi jus dicito, sicut me collega solebas dicere.* Quae quidem Isocasii ubi populus Byzantinus qui ibi stabat et quae gerebantur spectabat, audivit, Leonem Imperatorem saepius faustis acclamationibus prosecutus, arreptum Isocasium a Zeuxippo deduxit ad Magnam Ecclesiam: ac elementa fidei edoctus, et sacro baptismo donatus, domum remissus est.

Idem sanctissimus Imperator diebus Dominicis ab opere cessari sanxit, edicta ac promulgata hac super re Sacra sua constitutione, et ut nulla tibia vel cithara, aliudve quidpiam musicum die Dominico cantaretur, sed omnia cessarent. Ac universi ferias egerunt.

Hoc anno, quidam tyrannidem meditatus, Asparem Patricium et Principem Senatus intra Palatium interfecit: Ardaburium pariter et Pa-

μένοντας αὐτοῖς. ὅθεν εἷς Γότθος τῶν διαφερόντων αὐτῷ Ἄσπαρι B, ὀνόματι Ὄστρους, κόμης, εἰσῆλθεν εἰς τὸ παλάτιον τοξεύων μετὰ ἄλλων Γότθων, καὶ συμβολῆς γενομένης μετὰ τῶν ἐξκουβιτώρων καὶ Ὄστρου κόμητος πολλοὶ ἐκόπησαν. καὶ μεσασθεὶς εἶδεν ὅτι ἡττήθη, καὶ ἔφυγεν λαβὼν τὴν παλλακίδα Ἄσπαρος, εὐπρεπεστάτην οὖσαν καὶ εὔπορον Γότθαν, ἥτις ἔφιππος ἅμα αὐτῷ ἐξῆλθεν ἐπὶ τὴν Θρᾴκην, καὶ ἐπραίδευσεν τὰ χωρία, περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι, Νεκροῦ φίλος οὐδείς, εἰ μὴ μόνος Ὄστρους.

Ὁ αὐτὸς βασιλεὺς Λέων διωγμὸν μέγαν ἐποίησε τοῖς τοῦ δόγματος τῶν Ἀρειανῶν ἐξωκιονιτῶν. καὶ διατάξεις πανταχοῦ C ἔπεμψεν μὴ ἔχειν αὐτοὺς ἐκκλησίας ἢ ὅλως συνάγεσθαι.

Τῷ αὐτῷ ἔτει ἐφάνη ἐν τῷ οὐρανῷ σημεῖον μέγιστον, ἀπό R 748 τινων λεγόμενον σάλπιγξ, ἀπό τινων δὲ λογχίας, καὶ ἀπό τινων V 258 δοκίς· ἐφάνη δὲ ἐπὶ ἡμέρας τινάς.

Τῷ αὐτῷ ἔτει ἐβασίλευσεν Ἀνθήμιος, καὶ ἀπῆλθεν εἰς Ῥώμην· καὶ εἰσῆλθεν τὰ λαβρᾶτα αὐτοῦ ἐν Κωνσταντινουπόλει ὑπὸ Διαφερεντίου ἐπάρχου πόλεως.

τιβʹ Ὀλυμπιάς.

Ἰνδ. ϛʹ. ιαʹ. ὑπ. Ἀνθημίου Αὐγούστου τὸ βʹ μόνου. D

2. 9. Ὄστρος P. 3. τῶν ἄλλων P. ib. συμβουλῆς R. 5. ἴδεν P. 7. ἐπραίδευσαν P. 8. οὐδεὶς φίλος P. 10. Λέων βασιλεὺς P. ibid. μέγα V. 13. ἄπι V. 14. λοχίας V. ibid. καὶ om. P. 15. δὲ post ἡμέρας ponunt PV. 16. τούτῳ τῷ ἔτει P. 18. ὑπὸ Διαφερεντίου] διὰ Φερεντίου P.

tricium, illius filios, viros Senatorios, in Conventu, eorum corporibus in frusta concisis. Unde tumultus extitit Constantinopoli: magnam enim habebant Gotthorum copiam, et Comites, aliosque famulos qui sibi praesidio erant. Unde Gotthus quidam ex Asparis familiaribus, Ostrus Comes nomine, Palatium ingressus est una cum aliis Gotthis sagittas emittens: pugnaque inita inter Excubitores et Ostrum Comitem, multi interfecti sunt. Tandem cum circumveniretur, videretque se hostibus imparem, arrepta Asparis pellice Gottha, singulari forma praedita, ac divite, et una cum illo equo vecta. in Thraciam perrexit, regiones subinde populatus: de quo Byzantii haecce inclamabant: *Mortui nemo amicus, nisi solus Ostrus.*

Idem Leo Imperator graviter persecutus est haereticos Arianos Exocionitas, ac missis ubique edictis, vetuit illos habere Ecclesias, atque ullos conventus agere.

Eodem anno, maximum in coelo signum apparuit, quod a quibusdam Tuba, ab aliis Hasta, ab aliis denique Trabs appellatur, visumque est per aliquot dies.

Eodem anno, imperavit Anthemius, et Romam profectus est: illiusque Laureatae imagines Constantinopolim illatae sunt per Ferentium Praefectum urbi.

Οὗτος Ἀνθήμιος δομεῖται τὸν οἶκον τοῦ ἁγίου Θωμᾶ τοῦ ἀποστόλου, τὰ λεγόμενα Ἀνθημίου, πλησίον τῶν Βοῤῥαΐδου.

Ἐπὶ τούτου τοῦ προκειμένου ὑπάτου Δινζίριχος, υἱὸς Ἀττίλα, ἐσφάγη ὑπὸ Ἀναγάστου τοῦ στρατηλάτου Θρᾴκης, καὶ εἰσῆλθεν ἡ κεφαλὴ αὐτοῦ εἰς Κωνσταντινούπολιν ἱππικοῦ ἀγομένου, καὶ ἐπόμπευσεν διὰ τῆς μέσης, καὶ ἀπηνέχθη εἰς τὸν Ξυλόκιρκον καὶ ἐπάγη ἐν ξύλῳ· καὶ ἐξῆλθε πᾶσα ἡ πόλις εἰς θέαν αὐτῆς ἐπὶ ἡμέρας ἱκανάς.

P 324 *Ἰνδ. ζʹ. ιβʹ. ὑπ. Ζήνωνος καὶ Μαρκιανοῦ.*

Τούτῳ τῷ ἔτει ἔβρεξεν ἐν Κωνσταντινουπόλει κονίαν ἀντὶ βροχῆς· ἐπὶ παλαιστὴν ὕψους ἐτέθη εἰς τὰς κεράμους ἡ κονία. καὶ πάντες ἔτρεμον λιτανεύοντες καὶ λέγοντες ὅτι Πῦρ ἦν καὶ ἐσβέσθη, καὶ ηὑρέθη κόνις τοῦ θεοῦ φιλανθρωπευσαμένου μηνὶ δίῳ νοεμβρίου ιαʹ.

Τούτῳ τῷ ἔτει ἐγένετο ἐμπρησμὸς μέγας ἐν Κωνσταντινουπόλει οἷος οὐδέποτε· ἐκάη γὰρ ἀπὸ θαλάσσης ἕως θαλάσσης. καὶ φοβηθεὶς Λέων ὁ βασιλεὺς ἐξῆλθεν πέραν εἰς τὸν ἅγιον Μαμᾶν, καὶ ἐποίησεν ἐκεῖ πρόκεσσον μῆνας ἕξ, καὶ ἔκτισεν ἐκεῖ λιμενάριον
B *καὶ ἔμβολον, ὅστις οὕτω καλεῖται ὁ τόπος, Νέος ἔμβολος.*

Ἰνδ. ηʹ. ιγʹ. ὑπ. Γορδιανοῦ καὶ Σεβήρου.

2. *Βοῤῥαΐδίου* P. 3. *Γινζίριχος* R. *ib.* *Ἀττιλᾶ* R, *Ἀτιλᾶ* P. 6. *τὸν*] *τὸ* P. 12. *ἦν* om. R. 18. *πρόκεσσον — ἐκεῖ* om. P.

A. C. [Ol. Iph.]

CCCXII. Olympias.

469. XI. Ind. VI. Anthemio Augusto II. solo Cos. 4.

Hic Anthemius aedificavit aedem Sancti Thomae Apostoli, quae Anthemii dicitur, juxta locum Borraidii.

Eodem praedicto Cos. Dinsirichus, Attilae filius, ab Anagasto Magistro militum Thraciae caesus est, cujus caput allatum est Constantinopolim, dum Circenses agerentur, et per mediam urbis plateam traductum, et ad Xylocircum delatum, paloque infixum est: ad quod spectaculum urbs universa egressa est per aliquot dies.

469. XII. Ind. VII. Zenone et Marciano Coss. 1. 312.

Hoc anno, Constantinopoli, imbris vice, cinis depluit, et IV. digitos altus supra tegulas resedit, adeo ut omnes terrefacti supplicationes agerent, ac dicerent, ignem esse et extinctum esse, et cinerem inventum, Deo genus humanum miserante, mense Dio, Novembris XI.

Eodem anno, tantum Constantinopoli extitit incendium, quantum ante nunquam: conflagravit enim civitas a mari usque ad mare. Territus ergo Leo Imperator contulit se versus Fretum ad Sanctum Mamantem, fecitque ibi Portum et Porticum, qui quidem locus vocatur Nova porticus.

Ἰνδ. θ'. ιδ'. ὑπ. Λέοντος τὸ δ' καὶ Προβιανοῦ.

τιγ' Ὀλυμπιάς.

Ἰνδ. ι'. ιε'. ὑπ. Μαρκιανοῦ καὶ Φήστου.

Ἰνδ. ια'. ις'. ὑπ. Λέοντος τὸ ε' μόνον.

Μετὰ τελευτὴν Λέοντος τοῦ μεγάλου Ῥωμαίων μγ' ἐβασί- R 750
λευσεν Λέων νέος Αὔγουστος ἔτος α'. ὁμοῦ ͵εϡπγ'.

Ἰνδ. ιβ'. α'. ὑπ. Λέοντος νέου μόνου. C

Οὗτος Λέων ὑποβληθεὶς ὑπὸ τῆς ἰδίας αὐτοῦ μητρὸς τῆς ἐπιφανεστάτης Ἀριάδνης, ὡς προσκυνεῖ αὐτὸν ὡς βασιλέα Ζήνων ὁ στρατηλάτης καὶ πατρίκιος, ὁ αὐτοῦ πάππος, ἐπέθηκε στέφανον βασιλικὸν ἐπὶ τὴν κεφαλὴν τοῦ αὐτοῦ Ζήνωνος· καὶ ἐβασίλευσεν Ζήνων ὁ Κοδισσεὺς ὁ Ἴσαυρος μετὰ τοῦ ἰδίου ἐκγόνου Λέοντος ὀλίγον χρόνον. καὶ τῷ ια' μηνὶ τῆς αὐτοῦ ὑπατείας ἀῤῥωστήσας Λέων νέος μηνὶ δίῳ τῷ καὶ νοεμβρίῳ ἐτελεύτησεν, ὢν ἐτῶν ιζ', καθὼς Νεστοριανὸς ὁ σοφώτατος χρονογράφος ἕως Λέοντος νέου συνεγράψατο. D

Ῥωμαίων μδ' ἐβασίλευσεν Ζήνων Αὔγουστος ἔτη ιζ'. ὁμοῦ ͵ς.

Ἰνδ. ιγ'. α'. ὑπ. Ζήνωνος Αὐγούστου τὸ β' μόνου.

5. *Λέοντος τοῦ μεγάλου*] *τοῦ Λέοντος* P. 12. *Κοδιοσεὺς* P. *ib.* *ἐκγόνου*] *ἐγκόνου* R, *ἐγγόνου* P.

A. C. [Ol. Iph.] Anni a m. c.
470. XIII. Ind. VIII. Gordiano et Severo Coss. 2.
471. XIV. Ind. IX. Leone IV. et Probiano Coss. 3.

CCCXIII. Olympias.

472. XV. Ind. X. Marciano et Festo Coss. 4.
473. XVI. Ind. XI. Leone V. solo Cos. 1. 313.

Post mortem Leonis, Romanis XLIII. imperavit Leo Junior Augustus an. I. Collig. an. V. MDCCCCLXXXIII.
474. I. Ind. XII. Leone Juniore solo Cos. 2. 5982.

Hic Leo, a suamet matre Nobilissima Ariadne ad hoc monitus, cum a Zenone Magistro militum et Patricio, avo suo, tanquam Imperator salutaretur, coronam Imperatoriam ipsius Zenonis capiti imposuit: et imperavit Zeno Codioseus Isaurus cum nepote suo Leone exiguo tempore. Quippe XI. Consulatus sui mense, morbo correptus Leo junior, mense Dio, seu Novembri, decessit cum XVII. aetatis annum attigisset, quemadmodum scripsit Nestorianus doctissimus Chronographus, qui historiam usque ad Leonem Juniorem perduxit.

Romanis XLIV. imperavit Zeno Augustus annos XVII. Colliguntur anni VI. M. 5999.
475. I. Ind. XIII. Zenone Augusto solo II. Cos. 3.

V 259 τιδ' Ὀλυμπιάς.

Ἰνδ. ιδ'. β'. Βασιλίσκου καὶ Ἀρμάτου.

Ἰνδ. ιε'. γ'. ὑπ. Βασιλίσκου καὶ Ἀρμάτου.

P 325 Ζήνων ὁ βασιλεὺς αἰτηθεὶς πρᾶγμα παρὰ τῆς πενθερᾶς αὐτοῦ Βηρίνης, καὶ μὴ παρασχὼν, κατεσκευάσθη παρ' αὐτῆς· καὶ φοβηθεὶς μὴ σφαγῇ ἀπό τινος τῶν τοῦ παλατίου, σὺν αὐτῷ γὰρ οἴκει ἐν τῷ παλατίῳ καὶ ἡ πενθερὰ αὐτοῦ Βηρῖνα, ποιήσας πρόκεσσον ἐν Χαλκηδόνι, ἐκεῖθεν ἔφυγεν βερέδοις, καὶ ἀπῆλθεν εἰς τὴν Ἰσαυρίαν, ὡς ἦν βασιλεύς. ὅντινα κατέλαβε φυγοῦσα τὴν ἰδίαν αὐτῆς μητέρα λάθρᾳ ἡ βασίλισσα Ἀριάδνη εἰς τὴν Ἰσαυρίαν, καὶ διῆγεν ἐκεῖσε ἅμα τῷ ἰδίῳ ἀνδρί.

Καὶ μετὰ τὸ φυγεῖν Ζήνωνα τὸν βασιλέα καὶ Ἀριάδνην τὴν
B Αὔγουσταν εὐθέως προεχειρίσατο ἡ δέσποινα Βηρῖνα βασιλέα στέψασα Βασιλίσκον τὸν ἴδιον αὐτῆς ἀδελφόν. καὶ ἐβασίλευσεν ὁ αὐτὸς Βασιλίσκος ἔτη δύο, ἅτινα συναριθμοῦνται σὺν τοῖς πρώτοις καὶ τοῖς μετὰ ταῦτα Ζήνωνος ἔτεσιν.

Ὁ δὲ Βασιλίσκος ἅμα ἐβασίλευσεν, ἔστεψε τὸν ἑαυτοῦ υἱὸν Μάρκον εἰς βασιλέα, καὶ ἐβασίλευσαν οἱ δύο ἅμα.

R 752 Ἰνδ. α'. δ'. ὑπ. Ἴλλου μόνου.

Τούτῳ τῷ ἔτει ἐπανῆλθε Ζήνων ὁ βασιλεὺς μετ' ὄχλου πολλοῦ ἐκ τῆς Ἰσαυρίας. ὁ δὲ Βασιλίσκος μαθὼν τὴν τοῦ βα-

6. ὑπὸ P. 7. ᾤκει P. 8. βερένδοις R, alterum in m. ponens. 13. Βηρίνη P.

A. C. [Ol. Iph.]

CCCXIV. Olympias.

476. II. Ind. XIV. Basilisco et Armato Coss. 4.

477. III. Ind. XV. Basilisco et Armato Coss. 1. 314.

Zeno Imperator petitus rem quampiam a socru sua Verina, eaque denegata, ab illa insidiis est appetitus: veritusque ne ab aliquo e Palatinis interficeretur, (in Palatio quippe una habitabat illius socrus Verina) Chalcedonem concessit, velut illic moraturus, atque inde conscensis veredis, arrepta fuga in Isauriam, ipse licet Imperator, abiit: quem Imperatrix Ariadne, fugiens matrem suam, in Isauriam clam secuta est, ibique cum conjuge suo degit.

Zenone Imperatore et Ariadne Augusta sic fuga dilapsis, statim Domina Verina Basiliscum, fratrem suum, Imperatorem renuntiavit ac coronavit. Ipse vero annos II. imperavit, qui adscribuntur prioribus ac posterioribus annis Zenonis.

Porro Basiliscus simul ac imperavit, Marcum filium suum Imperatorem dixit, ac uterque una imperavit.

478. IV. Ind. I. Illo solo Cos. 2.

Hoc anno, Zeno Imperator cum ingentibus copiis ex Isauria rediit. Basiliscus vero accepto Zenonis Imperatoris reditu, misit Armatum Ma-

σιλέως Ζήνωνος ἐπάνοδον, ἔπεμψεν Ἀρμᾶτον τὸν στρατηλάτην C τοῦ πραισέντου μετὰ πάσης ἧς εἶχεν βοηθείας τοῦ στρατοῦ εἰς τὴν Θρᾴκην καὶ εἰς Κωνσταντινούπολιν καὶ τὸ παλάτιον, ὁρκώσας αὐτὸν εἰς τὸ ἅγιον βάπτισμα μὴ προδοῦναι. καὶ λαβὼν τὸ ἄπειρον πλῆθος τοῦ στρατοῦ ὁ Ἀρμᾶτος ἐπέρασεν. καὶ τοῦτο προμαθὼν Ζήνων ὁ βασιλεὺς ἔπεμψεν πρὸς αὐτὸν Ἀρμᾶτον, ἐπαγγειλάμενος αὐτῷ πολλὰ καὶ τὴν στρατηλασίαν τοῦ πραισέντου ἕως τῆς αὐτοῦ ζωῆς καὶ τὸν υἱὸν αὐτοῦ ποιεῖν Καίσαρα. καὶ προτραπεὶς Ἀρμᾶτος ὑπὸ Ζήνωνος τοῦ βασιλέως προέδωκεν, εὑρεθεὶς εἰς τὸ μέρος Ζήνωνος τοῦ βασιλέως, καὶ οὐχ ὑπήντησεν Ζήνωνι ἐρχομένῳ, ἀλλὰ δι' ἄλλης ὁδοῦ ἔδοξεν ἀπιέναι. ὁ δὲ D βασιλεὺς Ζήνων μετὰ τῆς αὐτοῦ βοηθείας διὰ τῆς ὁδοῦ τῆς Ἰσαυρίας ἐξορμήσας ἐπέρασεν ἀπὸ τῶν λεγομένων Πυλῶν, καὶ εἰσῆλθεν ἐν Κωνσταντινουπόλει εἰς τὸ παλάτιν μετὰ τῶν ἰδίων, καὶ ἐδέχθη ἀπὸ τῶν στρατευμάτων καὶ τῆς συγκλήτου. ἀκούσας δὲ ἐξαίφνης Βασιλίσκος ὁ βασιλεὺς ὅτι Ζήνων ὁ βασιλεὺς εἰς τὸ παλάτιν ὥρμησεν καὶ εἰσῆλθεν, καὶ ὅτι ἐδέξαντο αὐτὸν πάντες καὶ Βηρῖνα ἡ δέσποινα ἡ αὐτοῦ πενθερά, λαβὼν Βασιλίσκος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα ἔφυγεν εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως εἰς τὸ μέγα φωτιστήριον. ὁ δὲ θειότατος Ζήνων παρασχὼν τὸ βῆλον τοῦ ἱππικοῦ, εὐθέως ἀνελθὼν ἐθεώ- P 326 ρησεν, καὶ ἐδέχθη ὑπὸ τῶν τῆς πόλεως. καὶ εὐθέως πέμψας ὁ

6. μαθὼν P. 8. ποιεῖν om. P. 10. οὐχ ἠπήντησεν P, οὐκ ὑπήντησεν V. 11. τῷ Ζήνωνι P. 14. 17. παλάτιον P. 18. Βηρίνη P.

gistrum Militum Praesentalem cum universo quem habebat exercitu, tum in Thraciam, tum Constantinopolim, et in Palatium, exacto prius ab eo in sanctum Baptisma sacramento, se minime defecturum. Armatus assumptis innumeris copiis exercitus, trajecit. Quod ubi Zeno Imperator intellexit, misit ad ipsum Armatum, multa illi pollicitus, ac in primis Magistri Militum Praesentalis, quoad viveret, dignitatem, filiumque illius Caesarem se facturum. Hisce pollicitationibus illectus Armatus defecit, Zenonis Imperatoris partibus favere deprehensus, cum nec venienti occurrerit Zenoni, sed alia via abire visus sit. Imperator autem Zeno cum copiis suis, arrepto Isauriae itinere profectus, a Pylis, ita appellatis, trajecit, veniensque Constantinopolim, ac Palatium ingressus cum familiaribus, exceptusque est a Praetorianis et a Senatu. Cum vero accepisset Basiliscus Imperator occupatum esse a Zenone Palatium, et ab omnibus exceptum, atque adeo ab ipsa etiam socru sua Domina Verina, assumptis uxore et liberis, fugit in Magnae Ecclesiae magnum Baptisterium. Religiosissimus autem Zeno dato Circensium velo, statim conscendit Tribunal, ac Circenses dedit, receptusque est a civibus. Nec moratus, misit Imperator in Magnam Ecclesiam, et abstulit a Basilisco

βασιλεὺς εἰς τὴν μεγάλην ἐκκλησίαν ἐπῆρεν παρὰ Βασιλίσκου
καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτῶν τὰ τῆς βασιλείας
ἅπαντα, καὶ ἐξέβαλεν αὐτὸν καὶ τὰ τέκνα αὐτοῦ καὶ τὴν γυναῖκα,
λαβόντας λόγον ὅτι οὐκ ἀποκεφαλίζονται. καὶ ἔπεμψεν αὐτὸν
καὶ τοὺς μετ' αὐτοῦ εἰς Λίμνας τὸ κάστρον ὁ αὐτὸς Ζήνων βα-
V 260 *σιλεὺς εἰς τὴν Καππαδοκίαν. καὶ ἐβλήθησαν εἰς ἕνα πύργον τοῦ*
κάστρου, καὶ ἀνοικοδομήθη ἡ θύρα καὶ ἐφυλάττετο ὁ πύργος
καὶ τὸ κάστρον αὐτὸ ὑπὸ στρατιωτῶν καὶ Ἰσαύρων πλήθους πολ-
B *λοῦ· καὶ λιμοκτονηθεὶς ὁ αὐτὸς Βασιλισκος καὶ ἡ γυνὴ αὐτοῦ καὶ*
τὰ τέκνα αὐτῶν ἀπέδωκαν τὰς ψυχάς, καὶ ἐτάφησαν ἐκεῖ εἰς τὸν
αὐτὸν πύργον Λιμνῶν.

R 754 *Ἰνδ. β'. ε'. ὑπ. Ζήνωνος Αὐγούστου τὸ γ' μόνον.*

τιε' Ὀλυμπιάς.

Ἰνδ. γ'. ς'. ὑπ. Βασιλείου μόνου.
Ἰνδ. δ'. ζ'. ὑπ. Πλακίτα μόνου.
Ἰνδ. ε'. η'. ὑπ. Τροκόνδου καὶ Σεβηριανοῦ.
Ἰνδ. ς'. θ'. ὑπ. Φαύστου μόνου.

τις' Ὀλυμπιάς.

Ἰνδ. ζ'. ι'. ὑπ. Θεοδωρίχου καὶ Βεναντίου.

C *Τούτῳ τῷ ἔτει Ζήνων ὁ βασιλεὺς ἐποίησε Καίσαρα τὸν υἱὸν*
Ἁρμάτου τοῦ στρατηλάτου πραισέντου, Βασιλίσκον ὀνόματι, καὶ

2. *αὐτοῦ* P. 8. *καὶ* alterum om. P. 12. *γ' καὶ μόνου* R.

Anni a m. c. et uxore ejus et filio omnia Imperatoria insignia, fide interposita ac data ipsos non plexum iri capitibus. Amandavitque illum Zeno Imperator cum suis in Limnas, castrum Cappadociae, ubi conjecti sunt in turrim quandam castri, cujus ostium obstrui, ipsum vero castrum una cum turri a militum Isaurorum praesidio custodiri imperavit: sicque Basiliscus, uxor et liberi fame enecati interierunt, ibidemque in Limnarum turri sepulti sunt.

	A. C.				[Ol. Iph.]
5987.	479.	v.	Ind. II.	Zenone Augusto III. solo Cos.	3.

CCCXV. Olympias.

480.	VI.	Ind. III.	Basilio solo Cos.	4.
481.	VII.	Ind. IV.	Placita solo Cos.	1. 315.
482.	VIII.	Ind. V.	Trocondo et Severiano Coss.	2.
483.	IX.	Ind. VI.	Fausto solo Cos.	3.

CCCXVI. Olympias.

484.	X.	Ind. VII.	Theodoricho et Venantio Coss.	4.

Hoc anno, Zeno Imperator Caesarem creavit Armati Magistri Militum Praesentalis filium, Basiliscum nomine, isque Zenoni assedit dum Circenses ederentur, ac uterque, Imperator et Caesar aurigas spectarunt.

συνεκάθισεν αὐτῷ εἰς τὸ θεωρεῖν· καὶ εἶδαν τοὺς ἡνιόχους ὁ βασιλεὺς καὶ ὁ Καῖσαρ.

Ὁ δὲ βασιλεὺς Ζήνων λογισάμενος ὅτι ἐπιώρκησεν Ἁρμᾶτος ὁ στρατηλάτης τοῦ πραισέντου, ὁ πατὴρ τοῦ Καίσαρος, ὀμόσας εἰς τὸ ἅγιον βάπτισμα Βασιλίσκῳ μὴ προδοῦναι αὐτόν, καὶ ὅτι προτραπεὶς παρ᾽ ἐμοῦ προέδωκεν αὐτόν, καὶ ἀπέθανεν, πῶς τῇ ἐμῇ βασιλείᾳ πιστὰ φυλάξει; μικρὸν γὰρ ἐὰν ἀνδρειωθῇ ὁ υἱὸς αὐτοῦ ὁ Καῖσαρ, πάντως κἀμὲ παραβαίνει. ἐγὼ δὲ οὐ παρέβην D αὐτόν, ἀλλὰ καὶ αὐτὸν ἐποίησα ἐπὶ τόπου μεῖναι στρατηλάτην, καὶ τὸν υἱὸν αὐτοῦ Καίσαρα ἐποίησα. καὶ ἐκέλευσεν ὁ βασιλεὺς Ζήνων σφαγῆναι Ἁρμᾶτον τὸν ἀπὸ ὑπάτων καὶ στρατηλάτην ὡς ἐπίορκον. καὶ ἐσφάγη εἰς τὸν Κόχλιον τοῦ παλατίου κατὰ τὸ Δέκιμον, ὡς ἀνέρχεται εἰς τὸ ἱππικὸν θεωρῆσαι ὁ αὐτὸς Ἁρμᾶτος. καὶ μετὰ τὸ φονευθῆναι Ἁρμᾶτον τότε καὶ τὸν υἱὸν αὐτοῦ Βασιλίσκον τὸν Καίσαρα νεώτερον ὄντα ἐχειροτόνησεν ἐπίσκοπον εἰς Κύζικον τὴν μητρόπολιν Ἑλλησπόντου, ἐπειδὴ ἦν φορέσας πορφύραν βασιλικήν, ὡς Καῖσαρ, δημεύσας πᾶσαν τὴν οὐσίαν τοῦ αὐτοῦ Ἁρμάτου.

Ἐν τοῖς χρόνοις τούτοις πρόφασιν λαβόντες οἱ ἐκ τοῦ ἔθνους P 327 τῶν Σαμαρειτῶν ἐν Παλαιστίνῃ ἐτυράννησαν, καὶ ἔστεψαν λῄσταρχον, ὀνόματι Ἰουστασᾶν, Σαμαρείτην. καὶ εἰσῆλθεν ἐν Καισαρείᾳ, καὶ ἐθεώρησεν ἱππικόν, καὶ πολλοὺς ἐφόνευσεν ἡγε-

1. εἰς — ὁ om. R. *ib.* εἶδαν] ἴδαν V, ἴδον P. 8. ὁ om. P. 13. δόκιμον R. 14. αὐτὸν Ἁρμᾶτον P. 15. ἐπίσκοπον ἐχειροτόνησεν P. 21. Ἰουστουσᾶν P. *ib.* Σαμαρίτην PV. 22. θεώρησεν P.

Armati Magistri Militum Praesentalis Patris Caesaris, perjurium secum colens Zeno Imperator, ut qui per sanctum Baptisma Basilisco jurasset, eum se non proditurum: *qui tamen*, ait, *a me impulsus illum prodidit, isque mortuus est, quo pacto Majestati meae fidem servabit? Ubi adoleverit filius illius Caesar, prorsus in me perinde perfidus erit. Ego vero fidem illi servavi, dum ut Militum Magister permaneret, effeci, ac filium Caesarem dixi.* Praecepit igitur Zeno Imperator, ut Armatus Ex-Consule et Magister Militum velut perjurus interimeretur. Interfectusque est in Palatii Cochlea, versus Decimum, cum ascenderet, Circenses spectaturus. Post caedem Armati, Basiliscum filium Caesarem, adolescentem adhuc, Cyzici Hellesponti Metropoleos Episcopum ordinari curavit, ut qui purpuram Regiam, tanquam Caesar, induisset, bonis Armati omnibus in fiscum relatis.

Hisce temporibus, arrepta nescio qua occasione, Samaritae in Palaestina tyrannidem excitavere, Justusa quodam latronum principe Samarita coronato. Is porro Caesaream ingressus, Circenses exhibuit, multosque interfecit, Palaestinae imperans. Sed et concremavit Eccle-

μονεύων τῆς Παλαιστίνης. ἔκαυσεν δὲ καὶ τὴν ἐκκλησίαν τοῦ
ἁγίου Πρόβου ὁ αὐτὸς Ἰουστασᾶς ἐπὶ Τιμοθέου ἐπισκόπου
R 756 Καισαρείας. καὶ εὐθέως ὁ δοὺξ Παλαιστίνης Ἀσκληπιάδης ἦλ-
θεν μετὰ τῆς ἑαυτοῦ βοηθείας, ὡς ληστοδιώκτης, ὁ ἀξιωματι-
κὸς Καισαρείας, μετὰ τῶν Ἀρκαδιανῶν, καὶ ὁρμήσας κατ' αὐτοῦ
Ἰουστασᾶ συνέβαλεν αὐτῷ, καὶ ἀπεκεφαλίσθη ὁ αὐτὸς Ἰουστα-
σᾶς, καὶ ἐπέμφθη ἡ κεφαλὴ αὐτοῦ μετὰ τοῦ διαδήματος αὐτοῦ
B τῷ βασιλεῖ Ζήνωνι. ὁ δὲ βασιλεὺς Ζήνων εὐθέως ἐποίησε τὴν
συναγωγὴν αὐτῶν τὴν οὖσαν εἰς τὸ καλούμενον Γαργαρίδην εὐ-
κτήριον οἶκον μέγαν τῆς δεσποίνης ἡμῶν τῆς θεοτόκου καὶ ἀει-
παρθένου Μαρίας, ἀνανεώσας καὶ τὸν οἶκον τοῦ ἁγίου Προ-
κοπίου, ποιήσας διάταξιν μὴ στρατεύεσθαι Σαμαρείτην, δημεύ-
σας τοὺς εὐπόρους αὐτῶν. καὶ ἐγένετο φόβος καὶ εἰρήνη.

V 261 Ἰνδ. η'. ια'. ὑπ. Συμμάχου μόνου.

Τούτῳ τῷ ἔτει Θεοδερὶχ τῷ γενομένῳ ῥηγὶ Ῥώμης προσῆλ-
θεν μία γυνὴ συγκλητικὴ Ῥώμης, ὀνόματι Ἰουβεναλία, διδά-
σκουσα αὐτὸν ὅτι Τρία ἔτη ἔχω δικαζομένη μετὰ τοῦ πατρικίου
C Φόρμου, καὶ εὐλύτωσόν με. καὶ ἐνεγκὼν τοὺς δικολόγους τῶν
ἀμφοτέρων μερῶν εἶπεν αὐτοῖς ὅτι Εἰ μὴ διὰ τῆς αὔριον καὶ
διὰ τῆς μετ' αὐτῆς δώσετε αὐτοῖς ὅρον καὶ ἀπαλλάξετε αὐτούς,

2. Ἰουστασὸς V, Ἰουστουσᾶς P. Conf. Malalas p. 382. 4. ὡς ληστοδιώκτης] καὶ ὁ ληστοδιώκτης Ῥήγης Malalas. 6. Οὐισταςᾶ PV, Ἰουστουσᾶ R. *ib.* Ἰουστουσᾶ R. 12. Σαμαρίτην PV. 15. Θεοδωρίχῳ P. 18. Φίρμου Malalas p. 384. *ib.* τῶν] αὐτῶν P. 19. καὶ διὰ τῆς μετ' αὐτῆς (vel potius αὐτὴν) sumpsi ab Malala.

Anni a m. c. siam Sancti Probi, cum Timotheus Caesareae esset Episcopus. Confestim vero Asclepiades Palaestinae Dux cum suo praesidio venit, ut et Latrunculator, Caesareae magistratus, cum Arcadianis: contraque ipsum Justusam profectus, atque cum eo congressus, Justusam capite truncavit, ac illius caput, cum eo quo cinctum erat diademate, ad Zenonem Imperatorem transmisit. Idem porro Imperator Zeno illorum Synagogam, quae in loco Gargaride dicto erat, in aedem sacram, eamque ingentem, Dominae nostrae Deiparae et semper Virginis Mariae, statim convertit: instaurata praeterea Sancti Procopii aede. Edixit etiam ne Samaritae deinceps militarent, bonis potentiorum omnibus proscriptis: unde et terror est insecutus, paxque firmata.

A. C. [Ol. Iph.]

5993. 485. XI. Ind. VIII. Symmacho solo Cos. 1. 316.

Hoc anno, ad Theodorichum, qui Romae regnabat, accessit femina Senatorii generis Romana, Juvenalia nomine, Regemque hisce verbis est allocuta: *Tertium jam annum cum Formo Patricio controversiam habeo, fac ut expediar.* Rex accersitis utriusque partis judicibus: *Nisi*, inquit, *intra crastinum diem sententiam tuleritis, et litigantes dimiseritis, plectam vos capite.* Ii vero biduo invicem congressi, sententia

ἀποκεφαλίζω ὑμᾶς. καὶ καθίσαντες διὰ τῶν δύο ἡμερῶν εἶπαν τὰ δοκοῦντα τοῖς νόμοις, δεδωκότες αὐτοῖς ὅρον, καὶ ἀπήλλαξαν αὐτούς. καὶ ἅψασα κηροὺς ἡ Ἰουβεναλία προσῆλθεν αὐτῷ εὐχαριστοῦσα, ὅτι ἐλυτώθη ἡ δίκη αὐτῶν. καὶ ἠγανάκτησεν ὁ αὐτὸς ῥὴξ κατὰ τῶν δικολόγων, καὶ ἀγαγὼν αὐτοὺς εἶπεν αὐτοῖς, Διὰ τί, ὃ ἐποιήσατε εἰς δύο ἡμέρας καὶ ἀπηλλάξατε αὐτούς, εἰς τρία ἔτη οὐκ ἐποιήσατε; καὶ ἀπεκεφάλισεν τοὺς D δύο δικολόγους ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ ἐγένετο φόβος. καὶ ἐποίησε διάταξιν περὶ ἑκάστου νόμου. καὶ ἐξελθὼν ἀπὸ Ῥώμης οἴκησεν τὴν Ῥάβενναν, πόλιν παραθαλασσίαν, ἕως θανάτου αὐτοῦ. καὶ μετὰ θάνατον αὐτοῦ ἐγένετο ῥὴξ Ῥώμης ὁ ἐκ γένους αὐτοῦ Ἀταλλάριχος. ἦν δὲ Ἀρειανὸς τῷ δόγματι, ὅ ἐστιν ἐξωκιονίτης.

Ἰνδ. θʹ. ιβʹ. ὑπ. Λογγίνου καὶ Δεκίου.

Ἰνδ. ιʹ. ιγʹ. ὑπ. Βοηθίου μόνου.

Τούτῳ τῷ ἔτει ἔπαθεν ἀπὸ θεομηνίας σεισμοῦ Κωνσταντι- R 758 νούπολις τὸ δεύτερον αὐτῆς πάθος μηνὶ γορπιαίῳ σεπτεμβρίῳ κςʹ P 328 ἐπ' ὀλίγον διάστημα ἕως τοῦ Ταύρου.

τιζʹ Ὀλυμπιάς.

Ἰνδ. ιαʹ. ιδʹ. ὑπ. Δυναμίου καὶ Σιφιδίου.

2. ἀπηλλάξαντες P. 3. Οὐβεναλία V. 4. εὐλυτρώθη P. 9. ἀπὸ Ῥώμης om. P 10. Ῥάβαινναν P, Ῥάβαιναν V. ib. παραθαλάσσιον P. 15. Βοηθείτου RV, Βοηθείου P.

A. C. [Ol. Iph.]

ex legibus data, utrumque dimiserunt. Tum Juvenalia accensis cereis Regem convenit, ut gratias ageret quod a lite esset absoluta. At Rex indignatus, accersitis judicibus: *Quare*, inquit, *quod uno biduo confecistis, protraxistis in triennium?* Et extemplo utriusque partis judices securi percussit, ex quo ingens in alios ortus est terror. Rex postmodum Decreto de singulis legibus edito, urbe digressus, Ravennam maritimam civitatem concessit, ubi usque ad vitae exitum habitavit. Post Theodorichi mortem, ex illius stirpe Romae regnavit Atallarichus. Fuit autem ille ex haeresi Ariana, id est Exocionita.

486. XII. Ind. IX. Longino et Decio Coss. 2.

487. XIII. Ind. X. Boëthio solo Cos. 3.

Hoc ipso anno, Constantinopolis alteram a terrae motu cladem ex divina ira passa est mense Gorpiaeo, XXVI. Septembris, in brevi spatio, usque ad Taurum.

CCCXVII. Olympias.

488. XIV. Ind. XI. Dynamio et Sifidio Coss. 4.

Ἰνδ. ιβʹ. ιεʹ. ὑπ. Εὐσεβίου καὶ Προβίνου.

Ἰνδ. ιγʹ. ιϛʹ. ὑπ. Λογγίνου τὸ βʹ καὶ Φαύστου τὸ βʹ.

Λέγει ὅτι Ζήνων ὁ βασιλεὺς ἐρωτήσας Μαυριανὸν τὸν σοφώτατον κόμητα, ὅστις καὶ πολλὰ αὐτῷ προέλεγεν, ἦν γὰρ B *μυστικά τινα εἰδὼς ὁ αὐτὸς Μαυριανός, τίς μετ᾽ αὐτὸν Ζήνωνα βασιλεύει, καὶ ἔμαθεν παρ᾽ αὐτοῦ ὅτι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν γυναῖκα αὐτοῦ διαδέχεταί τις ἀπὸ σιλεντιαρίων. καὶ ταῦτα ἀκούσας ὁ βασιλεὺς Ζήνων συνέσχεν τὸν πατρίκιον Πελάγιον τὸν ἀπὸ σιλεντιαρίων πληρώσαντα καὶ ἐλθόντα εἰς τὴν τοῦ πατρικίου ἀξίαν, ἄνδρα σοφόν. καὶ δημεύσας αὐτὸν ἐκέλευσεν φυλάττεσθαι. ὅντινα οἱ φυλάσσοντες ἐξκουβίτωρες ἔπνιξαν ἀγχόνῃ κατὰ κέλευσιν τοῦ βασιλέως Ζήνωνος. καὶ ἀκούσας ὁ ἔπαρχος τῶν πραιτωρίων Ἀρκάδιος ἐλοιδόρησε τὸν βασιλέα Ζήνωνα διὰ τὸν πατρίκιον Πελάγιον, ὅτι ἐφονεύθη. καὶ εἰσῆλθεν εἰς τὰς ἀκοὰς* C *Ζήνωνος τοῦ βασιλέως, καὶ ἐκέλευσεν εἰσερχόμενον αὐτὸν Ἀρκάδιον εἰς τὸ παλάτιον σφαγῆναι. ὁ δὲ ἔπαρχος τῶν πραιτωρίων Ἀρκάδιος μαθὼν τοῦτο, καὶ ὅτι μετεστάλη ἀπὸ τοῦ βασιλέως, ὡς παρήρχετο διὰ τῆς μεγάλης ἐκκλησίας, ἐποίησεν ἑαυτὸν βουλόμενον εὔξασθαι, καὶ κατελθὼν ἐκ τοῦ ὀχήματος εἰσῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως, καὶ ἔμεινεν ἐκεῖ ἔσω, καὶ ἐρρύσθη πικροῦ θανάτου.*

7. *αὐτοῦ* om. P. 12. *ὁ* om. P. 17. *ὅτε μετεσλάτει* V. 18. Post *ἑαυτὸν* V addit *τὸν* pene evanidum. 21. *ἐρύσθη* PV.

A. C. [Ol. Iph.]
489. XV. Ind. XII. Eusebio et Probino Coss. 1. 317.
490. XVI. Ind. XIII. Longino II. et Fausto II. Coss. 2.

Cum rogasset Imperator Zeno Maurianum Comitem, virum doctissimum, qui multa illi hactenus praedixerat, (is enim arcana quaedam noverat) quis post se imperaret, ex eo didicit fore ut illius imperium et uxorem exciperet quidam Ex-Silentiario. Quibus intellectis, Pelagium Patricium comprehendit, qui Silentiarium egerat, et inde ad Patricii pervenerat dignitatem, virum sapientem, bonisque illius publicatis, jussit custodiri: quem deinde Excubitores, ipsius Zenonis Imperatoris jussu, laqueo suffocarunt. Quod Arcadius Praefectus Praetorio accipiens, Zenonem Imperatorem convitiis est insectatus, quod Pelagium Patricium interfecisset. Zeno perlata ad se Pelagii criminatione, jussit, simul ac Palatium ingrederetur, occidi. Praefectus vero Praetorio Arcadius cum id rescisset, seque ab imperatore accersiri videret, versus Magnam Ecclesiam transiens, simulavit se velle precari, et exscenso curru, ingressus est Magnam Ecclesiam Constantinopoleos, ibique intus moratus, ab acerba morte liberatus est.

491. XVII. Ind. XIV. Olybrio solo Cos. 3.

Ἰνδ. ιδʹ. ιζʹ. ὑπ. Ὀλυβρίου μόνου. V 262

τιηʹ Ὀλυμπιάς.

Τούτῳ τῷ ἔτει μηνὶ ξανθικῷ τῷ καὶ ἀπριλίῳ δυσεντερίᾳ D ληφθεὶς Ζήνων τελευτᾷ, ὢν ἐτῶν ξεʹ καὶ ἡμερῶν ἐννέα.

Ῥωμαίων μεʹ ἐβασίλευσεν Ἀναστάσιος ὁ Δίκορος, ὁ ἐκ τῆς νέας Ἠπείρου ἐπαρχίας, ἀπὸ σιλεντιαρίων, ἐπὶ τῆς ὑπατείας Ὀλυβρίου υἱοῦ Ἀρεοβίνδου, στεφθεὶς μηνὶ ξανθικῷ τῷ καὶ ἀπριλίῳ τῇ εʹ τῆς μεγάλης ἑβδομάδος, ἰνδικτιῶνος ιδʹ, ἔτους χρη- R 760 ματίζοντος κατὰ Ἀντιόχειαν τὴν μεγάλην ζλʹ καὶ φʹ. καὶ ἔγημε τὴν δέσποιναν τὴν Ἀριάδνην, τὴν Ζήνωνος τοῦ πρὸ αὐτοῦ βασιλέως γενομένην γαμετήν. ἐβασίλευσεν δὲ ὁ αὐτὸς Ἀναστάσιος ἔτη κζʹ. ὁμοῦ ,ςκζʹ.

Ἰνδ. ιεʹ. αʹ. ὑπ. Ἀναστασίου Αὐγούστου καὶ Ῥούφου. P 329

Ἰνδ. αʹ. βʹ. ὑπ. Εὐσεβίου τὸ βʹ καὶ Ἀλβίνου.

Ἰνδ. βʹ. γʹ. ὑπ. Ἀστερίου καὶ Πραισιδίου.

Ἰνδ. γʹ. δʹ. ὑπ. Βεάτωρος μόνου.

τιθʹ Ὀλυμπιάς.

Ἰνδ. δʹ. εʹ. ὑπ. Παύλου μόνου.

Ἰνδ. εʹ. ςʹ. ὑπ. Ἀναστασίου Αὐγούστου τὸ βʹ μόνου.

Ἰνδ. ςʹ. ζʹ. ὑπ. Ἰωάννου Σκυθοπολίτου καὶ Παυλίνου.

7. Ἀριοβίνδου R. 9. ξλʹ] θλʹ cum Malala p. 391. 3. Clintonus Fast. vol. II. p. 367. 11. γαμετὴν om. P. *ib.* δὲ om. P. 16. Βενάτωρος P.

A. C. [Ol. Iph.] Anni a m. c.

CCCXVIII. Olympias.

Hoc anno, mense Xanthico, sive Aprili, Zeno sanguinis fluxu correptus diem suum obiit, annos natus LXV. dies IX.

Imperavit XLV. Anastasius Dicorus, ex Novae Epiri Provincia oriundus, Ex-Silentiario, Olybrio Areobindi filio Consule, coronatus est mense Xanthico, seu Aprili, feria V. majoris Hebdomadae, Indictione XIV. anno secundum Antiochiae magnae aeram DXXXVII. duxitque Dominam Ariadnen Augustam, Zenonis decessoris uxorem. Imperavit Anastasius annos XXVII. Colliguntur anni VI. MXXVII.

492.	I.	Ind. XV.	Anastasio Augusto et Rufo Coss.	4.	6000.
493.	II.	Ind. I.	Eusebio II. et Albino Coss.	1. 318.	
494.	III.	Ind. II.	Asterio et Praesidio Coss.	2.	
495.	IV.	Ind. III.	Venatore solo Cos.	3.	

CCCXIX. Olympias.

496.	V.	Ind. IV.	Paulo solo Cos.	4.	
497.	VI.	Ind. V.	Anastasio Augusto II. solo Cos.	1. 319.	
498.	VII.	Ind. VI.	Joanne Scythopolita et Paulino Coss.	2.	

B Ἐπὶ τούτων τῶν ὑπάτων ἱππικοῦ ἀγομένου παρεκάλουν οἱ τοῦ μέρους τῶν Πρασίνων τὸν βασιλέα Ἀναστάσιον ἀπολυθῆναί τινας συσχεθέντας ἀπὸ τοῦ ἐπάρχου τῆς πόλεως λιθοβόλους. καὶ οὐ παρεκλήθη ἀπὸ τοῦ δήμου ὁ αὐτὸς Ἀναστάσιος, ἀλλὰ ἀγανακτήσας ἐκέλευσεν ἅρμα κατ᾽ αὐτῶν ἐξελθεῖν, καὶ ἐγένετο ἀταξία μεγάλη, καὶ κατῆλθαν οἱ δῆμοι κατὰ τῶν ἐξκουβιτώρων. καὶ ἐλθόντες ἐπὶ τὸ κάθισμα ἔῤῥιψαν λίθους κατὰ τοῦ βασιλέως Ἀναστασίου, ἐν οἷς εἷς Μαῦρος ἔῤῥιψεν ἐπάνω τοῦ βασιλέως Ἀνα- C στασίου. καὶ ἐξέφυγεν ὁ βασιλεὺς τὸν λίθον, ἐπεὶ ἐφονεύετο. καὶ θεασάμενοι οἱ ἐξκουβίτωρες τὴν τοῦ αὐτοῦ Μαύρου τόλμαν, ὥρμησαν κατ᾽ αὐτοῦ, καὶ ἔκοψαν αὐτὸν κατὰ μέλος, καὶ οὕτω τὴν ψυχὴν ἀπέδωκεν. ὁ δὲ δῆμος στενωθεὶς ἔβαλεν πῦρ ἐν τῇ λεγομένῃ Χαλκῇ τοῦ Ἱππικοῦ· καὶ ὁ περίβολος ὅλος ἐκαύθη ἕως τοῦ βασιλικοῦ καθίσματος. καὶ ὁ δημόσιος ἔμβολος ἕως τοῦ Ἑξαϊππίου καὶ ἕως τοῦ φόρου Κωνσταντίνου ὅλως καυθεὶς κατηνέχθη διακοπῶν πανταχοῦ γενομένων, καὶ πολλῶν συσχεθέντων καὶ τιμωρηθέντων γέγονεν ἡσυχία, προαχθέντος ἐπάρχου πόλεως Πλάτωνος.

R 762 D Λέγει ὅτι ὁ βασιλεὺς Ἀναστάσιος μετὰ τὸ περιγενέσθαι αὐτὸν τοῦ Περσικοῦ πολέμου ἐτείχισεν τὸ Δόρας, χωρίον ὄντα

3. λιθοβόλους in margine V ab alia manu scriptum videtur. Conf. Malalas p. 394. 5. ἐλθεῖν P. 6. κατῆλθον P. 10. ἐκσκουβίτωρες V. 19. Omisso λέγει P Πλάτωνος λᾶας ..... 20. Δωρεχωρίον V, ὂν τὸ Δωρεκῶ m. R, quorum prius ad ὄντα pertinet, Δῶρας χωρίον PR, ut infra.

His Coss. dum agerentur Circenses ludi, rogarunt Imperatorem Anastasium qui erant ex Factione Prasinorum, uti vinculis solverentur qui ob jactos lapides, in carcerem missi fuerant a Praefecto urbi. Verum id non modo impetrarunt ab Anastasio, sed et irritatus ille viros armatos accersiri jussit, unde ingens tumultus coortus est, Factionibus adversus Excubitores insurgentibus. Cumque ad Circi Tribunal pervenissent, conjecere saxa in ipsum Imperatorem Anastasium: in quibus Maurus quidam in Imperatorem lapidem emisit: quem Imperator declinavit, fuga elapsus, ne interficeretur. Excubitores, spectata Mauri audacia, impetu in illum facto, membratim eum conciderunt, atque ita ille animam efflavit. Populus vero in arctum redactus, ignem in Chalcen Hippodromi sic appellatam immisit, ex quo Circi ambitus universus usque ad Imperatorium Tribunal conflagravit. Sed et publica Porticus usque ad Hexahippium, et usque ad Forum Constantini omnino exusta procubuit. Verum caedibus ubique factis, multisque comprehensis et punitis, tumultus conquievit, creato Praefecto urbi Platone.

Imperator Anastasius, post relatas de Persis victorias, Doras muris cinxit, oppidum in Mesopotamia amplum omnino et munitum, in confinio Romanorum et Persarum situm: in eoque condidit Balnea publica duo,

τῆς Μεσοποταμίας μέγα πάνυ καὶ ὀχυρόν, κείμενον μέσον τῶν ὅρων Ῥωμαίων καὶ Περσῶν. καὶ ἐποίησεν ἐν αὐτῷ δημόσια λοῦτρα β′ καὶ ἐκκλησίας καὶ ἐμβόλους καὶ ὅρια εἰς ἀπόθετα σίτου καὶ κιστέρνας ὑδάτων. τὸ δὲ αὐτὸ χωρίον διὰ τοῦτο λέγεται κληθῆναι Δόρας ὑπὸ Ἀλεξάνδρου Μακεδόνος, διότι Δαρεῖον τὸν βασιλέα Περσῶν ὁ αὐτὸς Ἀλέξανδρος ἐκεῖ δόρατι ἔκρουσεν, ὅθεν V 263 καὶ τὸ ὄνομα ἔχει μέχρι νῦν.

Ἰνδ. ζ′. η′. ὑπ. Ἰωάννου Κυρτοῦ μόνου.

τκ′ Ὀλυμπιάς. P 330

Ἰνδ. η′. θ′. ὑπ. Πατρικίου καὶ Ὑπατίου.
Ἰνδ. θ′. ι′. ὑπ. Πομπηίου καὶ Ἀβιήνου.
Ἰνδ. ι′. ια′. ὑπ. Πρόβου καὶ Ἀβιήνου τὸ β′.
Ἰνδ. ια′. ιβ′. ὑπ. Δεξικράτους καὶ Βολουσιανοῦ.

τκα′ Ὀλυμπιάς.

Ἰνδ. ιβ′. ιγ′. ὑπ. Κεθήγου μόνου.
Ἰνδ. ιγ′. ιδ′. ὑπ. Σαβινιανοῦ καὶ Θεοδώρου.
Ἰνδ. ιδ′. ιε′. ὑπ. Ἀρεοβίνδου καὶ Μεσσαλᾶ. B
Ἰνδ. ιε′. ις′. ὑπ. Ἀναστασίου Αὐγούστου τὸ γ′ καὶ Βεναντίου.

4. καὶ τὸ δὲ P. 13. Δεξικράτου R. 17. Ἀρενοβίνδου V.

Ecclesias, Porticus, Horrea ad condendum frumentum, et Cisternas aquarum. Ideo porro oppidum istud Doras ab Alexandro Macedone appellatum fertur, quod eo in loco Darium Persarum Regem *dorati*, seu hasta percusserit: unde hodieque id nominis obtinet.

A. C.				[Ol. Iph.]
499.	VIII.	Ind. VII.	Joanne Gibbo solo Cos.	3.
			CCCXX. Olympias.	
500.	IX.	Ind. VIII.	Patricio et Hypatio Coss.	4.
501.	X.	Ind. IX.	Pompeio et Avieno Coss.	1. 320.
502.	XI.	Ind. X.	Probo et Avieno iterum Coss.	2.
503.	XII.	Ind. XI.	Dexicrate et Volusiano Coss.	3.
			CCCXXI. Olympias.	
504.	XIII.	Ind. XII.	Cethego solo Cos.	4.
505.	XIV.	Ind. XIII.	Sabiniano et Theodoro Coss.	1. 321.
506.	XV.	Ind. XIV.	Areobindo et Messala Coss.	2.
507.	XVI.	Ind. XV.	Anastasio Augusto III. et Venantio Coss.	3.
508.	XVII.	Ind. I.	Celere et Venantio Coss.	4.
509.	XVIII.	Ind. II.	Opportuno solo Cos.	1. 322.
510.	XIX.	Ind. III.	Boethio solo Cos.	2.
511.	XX.	Ind. IV.	Secundino et Felice Coss.	3.
512.	XXI.	Ind. V.	Paulo et Musciano Coss.	4.

Ἰουλιάνας τῆς ἐπιφανεστάτης πατρικίας ἔκραζον διὰ τὸν αὐτῆς ἄνδρα Ἀρεόβινδον βασιλέα τῇ Ῥωμανίᾳ. καὶ ἔφυγεν ὁ
C Ἀρεόβινδος πέραν. καὶ λοιπὸν ὁ βασιλεὺς Ἀναστάσιος ἀνῆλθεν εἰς τὸ κάθισμα τοῦ Ἱππικοῦ δίχα διαδήματος. καὶ τοῦτο γνοὺς ὁ πᾶς δῆμος ἀνῆλθεν εἰς τὸ Ἱππικόν, καὶ διὰ προσφωνήσεως αὐτοῦ μετεχειρίσατο τὸ πλῆθος τῆς πόλεως.

Τούτῳ τῷ ἔτει ἐκτίσθη τὸ μακρὸν τεῖχος τὸ λεγόμενον Ἀναστασιακόν.

Ἰνδ. α΄. ιζ΄. ὑπ. Μάγνου μόνου.

D Ἐπὶ τούτου τοῦ ὑπάτου εἶδεν ὁ βασιλεὺς Ἀναστάσιος ἐν
R 764 ὁράματι ὅτι ἐναντίον αὐτοῦ ἀνήρ τις τέλειος, εὐσχήμων, βαστάζων κώδικα γεγραμμένον, καὶ ἀναπτύξας φύλλα τοῦ κωδικίου πέντε, ἀναγνοὺς τὸ τοῦ βασιλέως ὄνομα εἶπεν αὐτῷ, Ἴδε, διὰ τὴν ἀπληστίαν σου ἀπαλείφω ιδ΄. καὶ τῷ ἰδίῳ δακτύλῳ ἀπήλειψεν. καὶ διυπνισθεὶς καὶ καταῤῥαγεὶς ὁ αὐτὸς βασιλεὺς Ἀναστάσιος, προσκαλεσάμενος Ἀμάντιν τὸν κουβικουλάριον καὶ πραιπόσιτον εἶπεν αὐτῷ τὴν τοῦ ὁράματος δύναμιν. ὅστις Ἀμάντις εἶπεν αὐτῷ, Εἰς τὸν αἰῶνα ζῆθι, βασιλεῦ· κἀγὼ γὰρ ἐθεα-

5. *αὐτοῦ καὶ μ.* R. 9. Ante hunc versum addit R *Ἰνδ. α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄, θ΄, ι΄.* *ib.* *α΄*] *ια΄* P. *ib.* *ιζ΄*] *κζ΄* P. 11. *ὅτι*] *ἔστη* R. *ib.* *λευσχήμων* PV. Correxi ex Malala p. 408. 13. 12. *κωδικίου* V, m. R, *κώδικος* P. 13. *εἶδε* PV. 14. *ἀπολείφω* P. 15. *ἀπέλειψεν* P. *ib.* *καταῤῥαγεὶς*] Conf. Cedreni p. 362. D *κατέῤῥαξέ με εἰς τὴν γῆν.*

A. C. [Ol. Iph.]

Julianae Nobilissimae Patriciae acclamarunt (Factiones in Circo) ob illius conjugem: *Areobindum Imperatorem Romaniae*, (volumus.) Fugitque Areobindus trans Fretum. Ac demum Anastasius Imperator in Circi Tribunal ascendit absque diademate. Quo cognito, populus omnis in Circum pariter ascendit: atque is habita oratione universam multitudinem sibi conciliavit.

Hoc anno, Longus murus, Anastasiacus appellatus, conditus est.

513.	XXII.	Ind. VI.	Clementino et Probo Coss.	1. 323.
514.	XXIII.	Ind. VII.	Senatore solo Cos.	2.
515.	XXIV.	Ind. VIII.	Anthemio et Florentio Coss.	3.
516.	XXV.	Ind. IX.	Petro solo Cos.	4.
517.	XXVI.	Ind. X.	Anastasio et Agapeto Coss.	1. 324.
518.	XXVII.	Ind. XI.	Magno solo Cos.	2.

Hoc Consule, vidit Anastasius Imperator per visum, virum quendam plena aetate, candida indutum veste, e regione stantem, ac codicem scriptum ferentem, qui evolutis quinque ejusdem codicis pagellis, Imperatoris lecto nomine, dixit: *Vide, ecce propter tuam inexplebilem avaritiam deleo XIV. annos.* Et suomet digito delevit. Imperator Anastasius experrefactus, ac viso perculsus, Amantium Cubicularium et Praepositum accersivit, somniumque suum illi exposuit. Tum Amantius: *Aeter-*

σάμην ταύτῃ τῇ νυκτὶ ὅτι ὡς ἵσταμαι ἐναντίον τοῦ ὑμετέρου κρά- P 331
τους, ὄπισθέν μου ἐλθὼν χοῖρος μέγας δραξάμενος τῷ στόματι
τὴν ἀρχὴν τῆς χλαμύδος μου καὶ τινάξας κατήγαγέ με εἰς τὸ ἔδα-
φος, καὶ ἀνήλισκέ με κατεσθίων καὶ πατῶν. καὶ προσκαλεσά-
μενος βασιλεὺς Πρόκλον τὸν Ἀσιανὸν τὸν φιλόσοφον καὶ ὀνειρο-
κρίτην εἶπεν αὐτῷ τὸ ὅραμα, ὁμοίως δὲ καὶ Ἀμάντιος. ὁ δὲ
ἐσαφήνισεν αὐτοῖς τὴν αὐτῶν δύναμιν καὶ ὅτι μετ' ὀλίγον χρόνον
τελειοῦνται. καὶ μετ' ὀλίγον ἀρρωστήσας ὁ βασιλεὺς Ἀναστά-
σιος ἔκειτο· καὶ ἀστραπῆς γενομένης καὶ βροντῆς μεγάλης πάνυ V 264
θροηθεὶς ἀπέδωκεν τὸ πνεῦμα, ὢν ἐνιαυτῶν ϟ' καὶ μηνῶν πέντε. B

Μετὰ τὴν βασιλείαν Ἀναστασίου τοῦ Δικόρου ἐβασίλευσεν
ὁ θειότατος Ἰουστῖνος ὁ Βενδαρίτης, ὁ Θρᾲξ, ἐπὶ τῆς ὑπατείας
Μάγνου, μηνὶ πανέμῳ τῷ καὶ ἰουλίῳ θ', ἰνδ. ια', χρηματίζον-
τος κατὰ τοὺς Ἀντιοχεῖς τῆς Συρίας ἔτους, ϛξφ', ὅντινα ὁ στρα-
τὸς τῶν φυλαττόντων τὸ παλάτιον ἐξκουβιτώρων ἅμα τῷ δήμῳ
στέψαντες ἐποίησαν βασιλέα· ἦν γὰρ κόμης ἐξκουβιτώρων. καὶ
ἐβασίλευσεν ἔτη θ'. *ὁμοῦ ͵ϛλϛ'.*

Ἰνδ. β'. ιη'. ὑπ. Ἰουστίνου Αὐγούστου καὶ Εὐθερίχου.

Οὗτος Ἰουστῖνος ἅμα ἐβασίλευσεν, ἀνεῖλεν Ἀμάντιον τὸν C
πραιπόσιτον αὐτοῦ καὶ Ἀνδρέαν τὸν κουβικουλάριον τὸν Λαυ-

2. *χοῖρος ἐλθὼν* P. 6. *δὲ* om. R. 10. *τὸ* om. P. 12. *Βενδαρίτης*] Scribendum videtur *Βεδεριανίτης*. *Βεδερίτης* Alemannus ad Procop. Hist. arc. c. 6. *ib. τῆς* om. P. 14. *Ἀντιοχείας* PV. 18. *β'. ιη'.*] *ιβ'. α'.* P. 20. *τὸν Λαυσιακὸν καὶ Θεόκριτον κόμητα* om. P.

num, inquit, *vivas*, *Imperator: ego quoque hac eadem nocte haec vidi: dum coram vestra Majestate consisterem, pone me porcus ingens venit, qui chlamydis meae ora rostro apprehensa, hacque subinde vellicata, in terram me dejecit, ac proculcatum et devoratum absumpsit.* Advocato deinde ab Imperatore Proclo Asiano Philosopho, et Somniorum conjectore, quod per nocturnam speciem viderat is illi exposuit: similiter et Amantius. Ille vero somniorum vim iis declaravit, et quod uterque brevi esset moriturus. Imperator paulo post decubuit: cumque coruscatio, ingensque omnino fieret tonitru, externatus, animam efflavit, annos tum natus xc. et mensibus v.

Post imperium Anastasii Dicori, imperavit piissimus Justinus Bederita, Thrax, Magno tum Consule, mense Panemo, Julii IX. Indict. XI. anno juxta Antiochenorum Syriae aeram DLXVI. quem Excubitorum, qui ad Palatium excubias agebant, militia, una cum plebe, coronatum Imperatorem proclamavit: erat enim Comes Excubitorum, imperavitque annos IX. Colliguntur anni VI. MXXXVI.

A. C. [Ol. Iph.]
519. I. Ind. XII. Justino Augusto et Eutherícho Coss. 3.

Hic Justinus simul ac imperium accepit, Amantium Praepositum suum, et Andream Cubicularium, ejusdem Amantii Domesticum, de medio

σιακὸν καὶ Θεόκριτον κόμητα τὸν τοῦ ῥηθέντος Ἀμαντίου δομέστικον, ὃν ἐβούλετο ποιῆσαι βασιλέα ὁ αὐτὸς Ἀμάντιος, δεδωκὼς αὐτῷ Ἰουστίνῳ χρήματα ῥογεῦσαι, ἵνα γένηται Θεόκριτος βασιλεύς, καὶ ἐρόγευσεν. ὁ δὲ στρατὸς καὶ ὁ δῆμος λαβόντες οὐχ εἵλαντο Θεόκριτον ποιῆσαι βασιλέα, ἀλλ' ἐποίησαν τὸν αὐτὸν Ἰουστῖνον βασιλέα. μετὰ οὖν τὸ βασιλεῦσαι αὐτὸν ὡς τυράννους καὶ βουληθέντας ἐπιβουλεῦσαι τῇ βασιλείᾳ αὐτοῦ ἐφόνευσεν αὐτούς. ἐσφάγησαν δὲ εἰς τὸ παλάτιον ἔσω.

R 766 D Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνεκαλέσατο τὸν πατρίκιον Ἀπίωνα
καὶ Διογενιανὸν ἀπὸ στρατηλατῶν καὶ Φιλόξενον καὶ αὐτὸν ἀπὸ στρατηλατῶν, πεμφθέντας εἰς ἐξορίαν παρὰ τοῦ πρὸ αὐτοῦ βασιλέως. καὶ ἐποίησεν Ἀπίωνα μὲν ἔπαρχον πραιτωρίων, Διογενιανὸν δὲ ἀπὸ στρατηλατῶν ἀνατολῆς, καὶ Φιλόξενον μετὰ χρόνον ἐποίησεν ὕπατον.

Τῷ αὐτῷ ἔτει ἀνῆλθεν εἰς πέραν ἐν τῇ ἀνατολῇ ἀστὴρ φοβερός, ὀνόματι κομήτης, ὃς εἶχεν ἀκτῖνα πέμπουσαν ἐπὶ τὸ κά-
P 332 τω, ὅντινα ἔλεγόν τινες πωγωνίαν εἶναι· καὶ ἐφοβοῦντο οἱ ἄνθρωποι.

τκε' Ὀλυμπιάς.

Ἰνδ. ιγ'. β'. ὑπ. Βιταλιανοῦ καὶ Ῥουστικίου.

2. ἠβούλετο P. 5. οὐκ V. *ib.* εἵλοντο P. 6. τὸ om. P. 15. εἰς πέραν] εἰπέραν V. Conf. ad p. 335. C. 16. τὸ] τῷ R. 18. „τκβ', τκγ', τκδ'. *Tertia et quarta omissae sunt cum duobus annis secundae.*" m. R. 20. Βεταλιανοῦ P.

sustulit, quod idem Amantius Imperatorem Theocritum facere in animo habuisset, datis ipsi Justino pecuniis, quas erogaret ut Theocritus ille Imperator fieret. Atque revera is pecunias dedit: verum iis acceptis, Praetoriani, plebsque, posthabito Theocrito, ipsum Justinum creavere Imperatorem. Postquam igitur Imperator factus est, illos tanquam tyrannos, quique imperio suo insidias struerent, interfecit. Caesi autem sunt intra Palatium.

Idem vero Imperator Apionem Patricium revocavit, et Diogenianum Ex-Magistro militum, et Philoxenum perinde Ex-Magistro militum, a decessore Imperatore in exilium missos. Ac Apionem quidem Praefectum Praetorio: Diogenianum vero Ex-Magistro militum per Orientem, Philoxenum denique post aliquod tempus Consulem dixit.

Eodem anno, exortum est in ulterioribus Orientis partibus astrum horrendum, quod Cometam vulgo vocant, radium inferius demittens. Id Pogoniam esse quidam asserebant: unde ingens homines invasit pavor.

CCCXXV. Olympias.

A. C. [Ol. Iph.]
520. II. Ind. XIII. Vitaliano et Rustico Coss. 4.

Ἰνδ. ιδ΄. γ΄. ὑπ. Ἰουστινιανοῦ καὶ Οὐαλερίου.

Ἰνδ. ιε΄. δ΄. ὑπ. Συμμάχου καὶ Βοηθίου.

Ἐν τούτῳ τῷ χρόνῳ Τζάθιος ὁ υἱὸς Ζαμνάξου τοῦ Λαζῶν βασιλέως, ᾗ μόνον ἐτελεύτα ὁ πατὴρ αὐτοῦ Ζαμνάξης, εὐθέως ἀνῆλθεν ἐν Κωνσταντινουπόλει πρὸς τὸν θειότατον βασιλέα Ἰουστῖνον. καὶ ἑαυτὸν ἐκδεδωκὼς παρεκάλεσεν ἀναγορευθῆναι αὐτὸν B *βασιλέα Λαζῶν ὑπὸ τοῦ Ῥωμαίων βασιλέως, γινόμενον χριστιανόν, καὶ μὴ πρὸς συνήθειαν ὑπὸ τοῦ Περσῶν βασιλέως προχειριζόμενον ἀναγκασθῆναι αὐτόν, ὡς οἷα ὑποκείμενον καὶ παρ᾽ αὐτοῦ προχειριζόμενον βασιλέα, καὶ τὰς θυσίας ποιῆσαι καὶ πάντα τὰ Περσικὰ σεβάσματα. ἦν δὲ κατ᾽ αὐτὸν τὸν καιρὸν βασιλεὺς Περσῶν Κωάδης, καὶ παρὰ Πέρσαις ἐκράτει ὥστε βασιλέως Λαζῶν τελευτῶντος ἄλλον βασιλέα στέφεσθαι τούτοις ὑπὸ τοῦ κατὰ καιρὸν βασιλέως Περσῶν, τοῦ ἔθνους μέντοι τῶν Λαζῶν ὑπάρχοντα. καὶ δεχθεὶς ὁ* V 265 *Τζάθιος παρὰ τοῦ αὐτοῦ βασιλέως Ἰουστίνου ἐφωτίσθη· καὶ χρι-* C *στιανὸς γενόμενος ἔγημε γυναῖκα Ῥωμαίαν, ἔκγονον Ὀνίνου τοῦ πατρικίου τοῦ ἀπὸ κουροπαλατῶν, Οὐαλεριανήν. ἥντινα εἰς τὴν ἰδίαν αὐτοῦ χώραν λαβὼν ἀπήγαγεν, προχειρισθεὶς καὶ στεφθεὶς βασιλεὺς Λαζῶν ὑπὸ τοῦ αὐτοῦ Ἰουστίνου βασιλέως, φορέσας στέφανον Ῥωμαίων καὶ χλαμύδιν ἄσπρον ὁλοσηρικόν, ἔχον ἀντὶ*

2. *Βοηθείου* PV. 3. *Ξαμνάξου* R et mox *Ξαμνάξης*. *Ζαμνάξου* m. R. 4. *ᾗ* PV. 7. *γενόμενον* P. 12. *Καβάδις* m. R, *Κανάδης* P. *ib.* *ὡς δὲ* R. 19. *αὐτοῦ* om. P. 20. *χλαμύδην* PV. *ib.* *ἄσπρην* m. R. *ib.* *ἔχων* PV.

521. III. Ind. XIV. Justiniano et Valerio Coss. 1. 325.

522. IV. Ind. XV. Symmacho et Boethio Coss. 2.

Hoc anno, Tzathius, Zamnaxis Lazorum Regis filius, simul ac obiit pater Zamnaxes, confestim profectus est Constantinopolim ad religiosissimum Imperatorem Justinum, seque ei totum commendavit, illum deprecatus, uti se Lazorum Regem ab ipso Romanorum Imperatore creatum, ac Christianum effectum, renuntiaret; ne ex more a Persarum Rege inauguratus, veluti subditus, et ab illo Rex dictus, sacrificia facere, aliosque omnes Persarum cultus exequi cogeretur. Erat autem ea tempestate Persarum Rex Cavades: et apud Persas ea invaluerat consuetudo, ut Lazorum Rege defuncto, ab Rege Persarum, qui tum rerum potiebatur, alius qui ex Lazorum gente esset Rex iis daretur. Susceptus itaque ab Imperatore Justino Tzathius, ac Christianus effectus, uxorem duxit Valerianam, feminam Romanam, Onini Patricii et Ex-Cura Palatii neptem: quam secum in regionem suam abduxit, cum antea creatus fuisset et coronatus Lazorum Rex ab Imperatore Justino, gestans diadema Romanorum, et chlamydem candidam holosericam, habens etiam loco purpurae

πορφυροῦ χρυσοῦν βασιλικὸν τάβλιν, ἐν ᾧ ὑπῆρχεν ἐν μέσῳ στη-
θάριν ἀληθινὸν μικρὸν τοῦ βασιλικοῦ χαρακτῆρος Ἰουστίνου καὶ
R 768 στιχάριν ἄσπρον παραγαῦδιν, καὶ αὐτὸ ἔχον χρυσᾶ πλουμμία
βασιλικά, ὡσαύτως φέροντα τὸν χαρακτῆρα τοῦ αὐτοῦ βασιλέως
D Ἰουστίνου. τὰ γὰρ τζαγγία αὐτοῦ ἦν ἀπὸ τῆς χώρας αὐτοῦ
ῥουσαῖα, Περσικῷ σχήματι, ἔχοντα μαργαρίτας· ὁμοίως δὲ
καὶ ἡ ζώνη αὐτοῦ ὑπῆρχεν διὰ μαργαριτῶν. ἔλαβεν δὲ παρὰ τοῦ
βασιλέως Ἰουστίνου δῶρα πολλὰ καὶ αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ Οὐ-
αλεριανή, ὡς ἅπαξ ἀναγκασθεῖσα ἤτοι προτραπεῖσα γαμηθῆναι
αὐτῷ εἰς ἄλλα βασίλεια. καὶ γνοὺς τοῦτο Κωάδης βασιλεὺς
Περσῶν ἐδήλωσεν διὰ πρεσβευτοῦ τῷ βασιλεῖ Ἰουστίνῳ ταῦτα,
ὅτι Φιλίας καὶ εἰρήνης μεταξὺ ἡμῶν λαλουμένης καὶ γινομένης
τὰ ἐχθρῶν πράττεις. ἰδοὺ γὰρ τὸν ὑποκείμενόν μοι βασιλέα
P 333 Λαζῶν αὐτὸς προεχειρίσω, μὴ ὄντα ὑπὸ τὴν Ῥωμαίων διοίκη-
σιν, ἀλλ' ὑπὸ τῶν Περσῶν τάξιν ἐξ αἰῶνος. καὶ πρὸς ταῦτα
ἀντεδήλωσεν αὐτῷ ὁ αὐτὸς βασιλεὺς Ἰουστῖνος ταῦτα. Ἡμεῖς τι-
να τῶν ὑποκειμένων τῇ σῇ βασιλείᾳ οὔτε προσελαβόμεθα οὔτε
προετρέψαμεν, ἀλλ' ἐλθών τις ὀνόματι Τζάθιος εἰς τὰ ἡμέτερα βα-
σίλεια ἐδεήθη προσπίπτων ἡμῖν ῥυσθῆναι μυσαροῦ τινος καὶ ἑλλη-
νικοῦ δόγματος καὶ ἀσεβῶν θυσιῶν καὶ πλάνης δαιμόνων ἀδίκων, καὶ
χριστιανὸς γενέσθαι ἀξιούμενος τῆς δυνάμεως τοῦ αἰωνίου καὶ ἐπου-
ρανίου θεοῦ καὶ δημιουργοῦ τῶν ἁπάντων, καὶ κωλῦσαι τὸν βουλόμε-

1. ταῦλιν P. 2. ἀληθεῖδιν PV. Correxi ex Malala p. 413. 14.

tabulam auream regiam, in cujus medio effícta erat imaguncula caerulea pectoralis Imperatoris Justini: et tunicam albam reticulatam opere aureo plumario Regio, habentem similiter ejusdem Justini Imperatoris imaginem. Ipsius vero cothurni, juxta gentis suae ritum, russei erant coloris, more scilicet Persico, margaritis distincti et exornati: quemadmodum etiam illius Zona unionibus interstinguebatur. Multis porro donis ab Imperatore Justino cohonestatus est, ac uxor ejus Valeriana, ut quae plane coacta, vel certe impulsa, nupserat, in aliena regna profectura.

Coades vero, seu Cavades Persarum Rex rei gestae certior factus, Imperatori Justino haec per legatum nuntiavit: *Cum amicitia paxque inter nos hactenus tractata sit ac firmata, hostilia tamen moliris. En Lazorum Regem mihi subditum ipsemet inaugurasti, cum sub Romanorum provincia nunquam, sed ab omni hominum memoria sub Persarum dominatione extiterit.* Ad haec Justinus Imperator respondit: *Neminem ex iis qui Regno tuo subjecti sunt, vel excepimus, vel accivimus: sed cum quidam, Tzathius nomine, in terras nostras venisset, pedibus nostris advolutus, enixe nos deprecatus est, uti ab impura quadam et pagana religione, impiisque sacris, et malorum daemonum praestigiis expiaretur, ac Christum profiteri sibi liceret, aeterni ac caelestis Dei, et conditoris uni-*

νον εἰς τὸ βέλτιον ἐλθεῖν καὶ γνῶναι θεὸν ἀληθινὸν οὐκ ἐνεδέχετο. B ὅθεν χριστιανὸν αὐτὸν γενόμενον καὶ ἀξιωθέντα τῶν ἐπουρανίων μυστηρίων εἰς τὴν ἰδίαν ἀπελύσαμεν χώραν.

Καὶ ἐγένετο λοιπὸν ἔχθρα μεταξὺ Ῥωμαίων καὶ Περσῶν. καὶ προέτρεψε Κωάδης βασιλεὺς Περσῶν τῷ αὐτῷ χρόνῳ ῥῆγα τῶν Οὔννων ὀνόματι Ζίλγβι. περὶ οὗ ἀκούσας ὁ αὐτὸς βασιλεὺς Ἰουστῖνος καὶ ὡς πρώην αὐτὸς αὐτὸν ἦν προτρεψάμενος πρὸς βοήθειαν Ῥωμαίων, πέμψας αὐτῷ δῶρα πολλὰ καὶ σύνταξιν λαβὼν μεθ᾽ ὅρκων παρ᾽ αὐτοῦ, ἐλυπήθη σφόδρα.

Ὁ δὲ αὐτὸς Οὖννος προτραπεὶς παρὰ τῶν Περσῶν ἀπῆλθεν πρὸς Κωάδην βασιλέα Περσῶν κατὰ Ῥωμαίων μετὰ χιλιάδων C κʹ, ὀφείλων Ῥωμαίοις πολεμῆσαι.

Ὁ δὲ θειότατος Ἰουστῖνος ἐδήλωσε διὰ πρεσβευτοῦ Κωάδῃ R 770 τῷ Περσῶν βασιλεῖ μετὰ φιλικῆς αὐτοῦ ἀποκρίσεως ὡς ἐπ᾽ ἄλλῳ τινὶ γράψας τὴν τοῦ αὐτοῦ Τζίλγβιρος ῥηγὸς τῶν Οὔννων παραβασίαν καὶ ἐπιορκίαν καὶ ὅτι παρὰ Ῥωμαίων ἐκομίσατο χρήματα κατὰ Περσῶν, ὀφείλων αὐτοὺς προδοῦναι καὶ τῷ καιρῷ τῆς συμβολῆς εἰς τὸ μέρος Ῥωμαίων συμμαχεῖν, καὶ ὅτι Δεῖ ἡμᾶς ἀδελφοὺς ὄντας εἰς φιλίαν λαλεῖν καὶ μὴ ἀπὸ τῶν κυνῶν τούτων παίζεσθαι. καὶ γνοὺς ταῦτα Κωάδης βασιλεὺς Περσῶν ἐπηρώτησεν V D 266 τὸν Ζίλγβιν, εἰρηκὼς αὐτῷ ὅτι Δῶρα ἔλαβες παρὰ Ῥωμαίων προτραπεὶς κατὰ Περσῶν; καὶ εἶπεν ὁ Ζίλγβις ὅτι Ναί.

9. παρ᾽ om. P. 10. δὲ om. P. 15. Ζιάγβιρος P. 19. κυνῶν m. R, κοινῶν PV.

versi virtutem et majestatem obtestatus, hunc ad meliorem religionem transire volentem, ut verum Deum agnosceret impedire non decebat. Unde Christianis sacris initiatum, coelestibusque mysteriis dignatum, in suam regionem remisimus. Hinc inimicitiae deinceps inter Romanos et Persas intercessere. Eodem igitur anno, Coades Rex Persarum Hunnorum Regem, Zilgbi nomine, adversus Romanos concitavit. Quod cum rescisset Justinus, ut qui ipse ad Romanorum auxilium, missis multis muneribus illum prius invitarat, foedusque jurejurando cum eo firmarat, non modico dolore affectus est.

Hunnus porro a Persis impulsus ad Persarum Regem Coadem cum xx. militum millibus profectus est, adversus Romanos bellum gesturus.

Religiosissimus autem Justinus, cum benevola sua responsione, Coadae Persarum Regi per legatum, velut alterius negotii nomine missum, Ziagbiris Hunnorum Regis perfidiam ac perjuriam significavit: et quod is a Romanis pecuniam accepisset, quo Persas, sub praelii tempus in Romanorum partes transeundo, cum iis praeliaturus, proderet: *Nos proinde, cum fratres simus, decet ut amicitiam invicem colamus, et a canibus istis non patiamur nobis illudi.* Quibus intellectis, Coades Persarum Rex Zilgbin percontatur, hisque affatur verbis: *Accepisti ne dona a Romanis contra Persas sollicitatus?* Cui Zilgbis, *Etiam*, inquit. Tum

καὶ ὀργισθεὶς ὁ Κωάδης ἐφόνευσεν αὐτόν, καὶ πολλοὺς τοῦ ὄχλου αὐτοῦ νυκτὸς ἀνεῖλεν, πέμψας κατ' αὐτῶν πλῆθος πολύ, ἀγνοούντων τῶν Οὔννων ὅτι ἀπὸ τοῦ βασιλέως τῶν Περσῶν ἐπέμφθη κατ' αὐτῶν τὸ πλῆθος, ἀλλ' ὡς ἀπ' ἄλλης χώρας τινῶν, φησίν, ἐπελθόντων τοῖς Οὔννοις καὶ τῷ ῥηγὶ αὐτῶν. οἱ δὲ λοιποὶ τῶν Οὔννων οἱ ὑπολειφθέντες ἔφυγον. καὶ ἔδοξε λοιπὸν ὁ Κωάδης
P 334 λαλεῖν, φησίν, περὶ πάκτων εἰρήνης ἤτοι φιλίας, δηλώσας διὰ Βροΐου πρεσβευτοῦ τῷ βασιλεῖ Ῥωμαίων Ἰουστίνῳ.

Ἰνδ. α'. ε'. ὑπ. Μαξίμου μόνου.

τκς' Ὀλυμπιάς.

Ἰνδ. β'. ς'. ὑπ. Ἰουστινιανοῦ τὸ β' καὶ Ὀπιλίωνος.
Ἰνδ. γ'. ζ'. ὑπ. Φιλοξένου καὶ Πρόβου.
Ἰνδ. δ'. η'. ὑπ. Ὀλυβρίου μόνου.
Ἰνδ. ε'. θ'. ὑπ. Μαβορτίου Ῥωμαίου μόνου.

B Μετὰ τὸ διελθεῖν τὸ ὄγδοον ἔτος καὶ μῆνας θ', ἡμέρας ε', τῆς βασιλείας Ἰουστίνου τοῦ θειοτάτου συνεβασίλευσεν αὐτῷ ὁ εὐσεβέστατος Ἰουστινιανὸς ὁ αὐτοῦ συγγενὴς ὁ μεγαλόψυχος εἰς ὑπερβολήν, μετὰ τῆς γαμετῆς αὐτοῦ Θεοδώρας ἀναγορευθείς, καὶ ἐστέφθη ὑπὸ τοῦ θειοτάτου Ἰουστίνου τοῦ αὐτοῦ θείου μηνὶ ξανθικῷ, κατὰ Ῥωμαίους ἀπριλίου πρώτῃ, ἰνδικτίωνος ε', τοῦ
R 772 ͵εοφ' ἔτους Ἀντιοχείας τῆς Συρίας, ὑπατείας τοῦ προκειμένου

9. *Μαξιμίνου* P. 14. *Μοβροτίου* R, alterum in m. ponens.

Coades iratus illum interfecit, multosque ex Hunnis sub noctem sustulit, ingenti in illos immissa militum copia, ignorantibus iis a Persarum Rege contra se missos, cum ex aliis regionibus advenisse, seque ac eorum Regem aggressos esse ii arbitrarentur. Caeteri qui caedem evaserant, fugam arripuerunt. Tum vero Coades deinceps pacisci cum Romanis, ut fertur, decrevit, missoque ad Justinum Imperatorem legato Broeo, amicitiam instauravit.

A. C.				[Ol. Iph.]
523.	v.	Ind. I.	Maximino solo Cos.	3.

CCCXXVI. Olympias.

524.	VI.	Ind. II.	Justiniano II. et Opilione Coss.	4.
525.	VII.	Ind. III.	Philoxeno et Probo Coss.	1. 326.
526.	VIII.	Ind. IV.	Olybrio solo Cos.	2.
527.	IX.	Ind. V.	Mavortio Romano solo Cos.	3.

Anno VIII. cum mensibus IX. diebusque V. imperii religiosissimi Justini exacto, cum illo imperavit piissimus Justinianus, illius affinis, ingentis vir animi supra quam vulgo solet, et cum conjuge Theodora renuntiatus, coronatus est a religiosissimo Justino illius avunculo, mense Xanthico, secundum Romanos, Aprilis, die I. Indictione V. aerae Antio-

Μαβορτίου Ῥωμαίου. ὅστις βασιλεὺς Ἰουστινιανὸς μεγάλην ἐποίησεν κατάστασιν ἐν Κωνσταντινουπόλει καὶ ἐν ἑκάστῃ πόλει, πέμψας θείας σάκρας ὥστε τιμωρηθῆναι τοὺς ἀταξίας ἢ φόνους ποιοῦντας καὶ μήτινα λιθοβολεῖν ἢ φονεύειν, ἀλλὰ θεωρεῖν εὐτάκτως C· καὶ φόβον ἔδειξε πολὺν καὶ εἰρήνην εἰς πάσας τὰς ἐπαρχίας. ἐν δὲ τῷ μεταξὺ συνέβη ἀσθενήσαντα τὸν βασιλέα Ἰουστῖνον ἐκ τοῦ ἕλκους οὗ εἶχεν ἐν τῷ ποδὶ αὐτοῦ ἐξ ἧς ἔλαβε σαγίττας ἐν τῷ πολέμῳ τελευτῆσαι μηνὶ λῴῳ, κατὰ Ῥωμαίους αὐγούστου πρώτῃ, ἡμέρᾳ κυριακῇ, ὥραν τρίτην, τῆς παρούσης εʹ ἐπινεμήσεως. τελευτᾷ δὲ ἐτῶν οζʹ.

Καὶ λοιπὸν ἐβασίλευσεν μονάρχης Ῥωμαίων Ἰουστινιανὸς D
Αὔγουστος ἔτη ληʹ, μῆνας ιαʹ. ὁμοῦ ͵ςοεʹ.

Ψηφίζεται δὲ ὁ χρόνος τῆς αὐτοῦ βασιλείας ἀφ᾽ οὗπερ ἀνηγορεύθη βασιλεύς, τουτέστιν ἀπὸ μηνὸς ξανθικοῦ, κατὰ Ῥωμαίους ἀπριλίου αʹ. Ἰνδ. εʹ.

τκζʹ Ὀλυμπιάς.

Ἰνδ. ςʹ. αʹ. ὑπ. Ἰουστινιανοῦ Αὐγούστου τὸ γʹ μόνου.

Ὁ βασιλεὺς Ἰουστινιανὸς κατὰ τὸ πρῶτον ἔτος τῆς αὐτοῦ P 335
βασιλείας μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους ἰανουαρίου πρώτῃ, τῆς ἕκτης ἐπινεμήσεως, τοσαῦτα ἔρριψε χρήματα καὶ παρέσχε πᾶσιν V 267
ὡς οὐδεὶς βασιλεὺς ἕτερος ὑπατεύσας.

2. καὶ ἐν ἑκάστῃ πόλει om. P. 3. ὥστε] εἴς τε P. 4. μὴ λιθοβολεῖν τινα P. 9. κυριακῇ] κατὰ R. 13. δὲ om. P. 21. ὑπατεύων P.

chiae Syriae anno DLXXV. Consule praefato Mavortio Romano. Qui quidem Imperator Justinianus Constantinopolitanae civitatis statum emendavit et composuit, emissis Sacris jussionibus, quibus de seditiosis ac tumultus excitantibus, vel caedes facientibus poenae exigerentur, vetareturque ne quis ullum in posterum occideret, vel lapidibus impeteret, sed ut singuli in spectandis Circensibus, modeste se gererent, imperabatur: quo facto magnum incussit terrorem, pace in omnibus provinciis stabilita. Interea accidit ut Imperator Justinus ex ulcere pedis, quod ex sagittae ictu in praelio accepto ortum erat, objecit, mense Loo, secundum Romanos, Augusti I. die Dominica, hora III. praesentis V. Indictionis. Moritur vero annos natus LXXVII.

Solus deinceps imperavit Justinianus Augustus annos XXXVIII. menses XI. Colliguntur anni VI. MLXXV.

Numeratur tempus illius imperii ex quo Imperator est renuntiatus, id est a mense Xanthico, secundum Romanos Aprilis I. Ind. V.

CCCXXVII. Olympias.

A. C. [Ol. Iph.]
528. I. Ind. VI. Justiniano Augusto III. solo Cos. 4.

Justinianus Imperator anno imperii I. mense Audynaeo, secundum Romanos Januarii I. Indict VI. tantam vim pecuniae sparsit, omnibusque praebuit, quantam nullus alius Imperator in Consulatu sparserat.

Τῷ αὐτῷ ἔτει Πέρσαι ἐπολέμησαν Τζαθίῳ τῷ Λαζῶν βασιλεῖ, ὡς προσρυέντι Ῥωμαίοις. καὶ λοιπὸν ὁ αὐτὸς Τζάθιος ἔπεμψε, καὶ ἐδεήθη τοῦ βασιλέως Ἰουστινιανοῦ καὶ τῆς Ῥωμαίων βοηθείας. καὶ ἔπεμψεν αὐτῷ πλῆθος στρατιωτῶν ὁ βασιλεὺς Ἰουστινιανὸς καὶ στρατηλάτας τρεῖς, Βηλισάριον καὶ Κήρυκον καὶ Εἰρηναῖον τὸν Πενταδίας. καὶ συνέκρουσαν πόλεμον, καὶ πολλοὶ ἔπεσαν τοῦ Ῥωμαίων στρατοῦ. καὶ ἠγανάκτησε κατὰ
B τῶν στρατηλατῶν ὁ βασιλεὺς Ἰουστινιανός, ὅτι φθονοῦντες ἀλλήλοις προεδίδουν ἀλλήλους καὶ ἐγνώριζον κατ' ἀλλήλων τῷ βα-
R 774 σιλεῖ, καὶ διεδέξατο αὐτούς, Πέτρου τοῦ στρατηλάτου τοῦ ἀπὸ νοταρίων τοῦ βασιλέως κατελθόντος καὶ ἀποκινήσαντος αὐτοὺς καὶ λαβόντος τὰ ἐξπέδιτα παρ' αὐτῶν, καὶ συμβαλόντος τοῖς Πέρσαις μετὰ τῶν Λαζῶν πολλοὺς κατέκοψαν Πέρσας.

Ἐν τούτῳ τῷ χρόνῳ ὁ βασιλεὺς Ἰουστινιανὸς ἀνενέωσε τὸ προάστειον Συκὰς πρώην λεγόμενον, κείμενον κατέναντι Κωνσταντινουπόλεως, καὶ τὸ θέατρον αὐτῶν Συκῶν καὶ τὰ τείχη, δεδωκὼς δίκαιον πόλεως, μετονομάσας αὐτὰς Ἰουστινιανούπολιν.
C ἔκτισε δὲ καὶ τὴν γέφυραν, δι' ἧς δύναταί τις τὴν πορείαν ποιεῖσθαι ἀπὸ τῆς ἀντιπέραν εἰς τὴν πανευδαίμονα.

Ὁ αὐτὸς βασιλεὺς ἀνεπλήρωσε καὶ τὸ δημόσιον λουτρόν, ὃ ἦν πρώην ἀρξάμενος κτίζειν ἐν Κωνσταντινουπόλει Ἀναστάσιος ὁ βασιλεὺς τὸ ἐν τοῖς Δαγισθαίου.

2. προσφυέντι P. 9. τῷ βασιλεῖ om. R. 10. ἐδιεδέξατο P. 12. συμβάλλοντος P. 18. πορίαν PV. 19. εἰς] εἰ PV. Conf. ad p. 331. D. 22. Δαγισθαίου] τοῦ Διαπισθαίου m. R.

Eodem anno, Persae Tzathio Lazorum Regi bellum intulere, quod Romanis se adjunxisset. Tzathius autem ad Imperatorem Justinianum legatum misit, petens ab eo sibi auxilium ex Romanis submitti. Misitque idem Justinianus Imperator exercitum, et tres Magistros militum, Belisarium, Cerycum, et Irenaeum Pentadiae filium: commissoque praelio, multi ex Romanorum copiis cecidere. Indignatus vero contra duces Justinianus Imperator, quod ex invidia sese mutuo prodidissent, et alter alterius consilia Regi detulisset, iis exauctoratis, Petrum Magistrum militum et Ex-Notario Imperatoris misit, qui iis remotis, sumptaque copiarum praefectura, una cum Lazis Persas aggressus, multos ex iis cecidit.

Hac ipsa tempestate, Justinianus Imperator suburbanum, Sycas prius appellatum, quodque e regione Constantinopoleos situm est, instauravit, ut et ejus Theatrum, et muros: concessoque eidem jure civitatis, Justinianopolim nuncupavit. Aedificavit etiam pontem, per quem ab opposita regione in Felicem urbem transiretur.

Idem Imperator absolvit Balneum publicum, quod prius Imperator Anastasius in Dagisthaei tractu inchoaverat.

Ἐποίησε δὲ ὁ αὐτὸς βασιλεὺς καὶ τὸ μεσίαυλον τῆς βασιλικῆς Ἴλλου κιστέρναν μεγάλην, βουλόμενος βαλεῖν τὸ Ἀδριάνειον ὕδωρ τοῦ ἀγωγοῦ εἰς αὐτήν. ὅνπερ ἀγωγὸν ἀνενέωσεν ὁ αὐτὸς βασιλεύς, κατασκευασθέντα πρώην ὑπὸ Ἀδριανοῦ βασιλέως τοῖς Βυζαντίοις εἰς τὸ ὑδρεύεσθαι πρὸ τοῦ ὑδρεύεσθαι τὸ Βυ- D ζάντιον.

Ἰνδ. ζ΄. β΄. ὑπ. Δεκίου μόνου.

Τούτῳ τῷ ἔτει ὁ Ἰουστινιανὸς κῶδιξ ἀνεπληρώθη καὶ ἐκελεύσθη αὐθεντεῖσθαι ἀπὸ τῆς πρὸ ις΄ καλανδῶν ἀπριλίων τῆς ἐνεστώσης ζ΄ ἐπινεμήσεως.

Τούτῳ τῷ ἔτει κατὰ θεοῦ φιλανθρωπίαν γέγονε τὸ μέγα θανατικόν.

Ἰνδ. η΄. γ΄. ὑπ. Λαμπαδίου καὶ Ὀρέστου.

Τούτῳ τῷ ἔτει Σαμαρειτῶν στασιασάντων, καὶ ποιησάντων ἑαυτοῖς βασιλέα καὶ Καίσαρα, ἐπέμφθη Εἰρηναῖος ὁ Πεντα- P 336 δίας στρατηλάτης, καὶ ἐθανάτωσε πολλούς. καί τινες ἐξ αὐτῶν φοβηθέντες προσῆλθον ἐξ ἀνάγκης τῷ χριστιανισμῷ καὶ δεχθέντες ἐβαπτίσθησαν, καὶ ἕως τῆς σήμερον ἐπαμφοτερίζουσιν, καὶ ἐπ' αὐστηρίᾳ μὲν ἀρχόντων σχήματι διεψευσμένοι ὑπούλως καὶ κακούργως ὡς χριστιανοὺς ἑαυτοὺς ἐμφανίζουσιν, ἐπὶ χαυνότητι δὲ ἀρχόντων φιλοχρημάτων Σαμαρεῖται καὶ μισοχριστιανοὶ καὶ

2. Ἀδριάνιον PV. 4. τοῦ βασιλέως P. 14. Σαμαριτῶν PV. 17. ἐξ om. P. 21. Σαμαρίται PV et postea σαμαριτίζειν.

Confecit praeterea idem Imperator rex Atrio Basilicae Illi Cisternam magnam, cum in eam Aquaeductus Hadriani aquam immittere vellet. Quem quidem Aquaeductum jam olim ab Hadriano Imperatore constructum, quo Byzantio aquarum copia suppeteret, quarum penuria prius laborabat, renovavit.

A. C. [Ol. Iph.]

529. II. Ind. VII. Decio solo Cos. 1. 327.

Hoc anno, Justinianus Codex absolutus est, jussusque est vim habere a XVI. Kalend. Apriles hujus praesentis Indict. VII.

Hoc anno, Deo ita volente, magna extitit mortalitas.

530. III. Ind. VIII. Lampadio et Oreste Coss. 2.

Hoc anno, Samaritanis tumultuantibus, sibique Regem et Caesarem creantibus, missus est Irenaeus Pentadiae filius Magister militum, qui multos interfecit. Quidam vero ex iis sibi metuentes, necessitate coacti se ad Christianam religionem contulerunt, iique excepti baptizati sunt, atque ad hanc usque aetatem utramque religionem profitentur, dum in speciem quidem propter quorundam Praesidum severitatem subdole et perfide Christianos palam se profitentur: aliorum vero Praesidum pecuniae inhiantium mollitie ac indulgentia Samaritae, atque adeo Christianorum osores, ita se gerunt, ac si quid

ὡς μὴ γνόντες χριστιανισμόν, οὕτω διαπράττονται, τοὺς ἄρχον-
B τας πείθοντες σαμαρειτίζειν διὰ τῶν χρημάτων.

R 776 Πέμπτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ, μηνὶ ἰανουαρίῳ,
V 268 γέγονε τοῦ λεγομένου Νίκα ἡ ἀνταρσία τρόπῳ τοιούτῳ. ἀνελ-
θόντα τὰ μέρη ἐν τῷ Ἱππικῷ ἔκραξαν οἱ δῆμοι τῶν Πρασίνων,
Ἄκτα διὰ Καλοπόδιον τὸν κουβικουλάριον καὶ σπαθάριον. ἔτη
C πολλά, Ἰουστινιανέ, τοῦ βίγκας· ἀδικούμεθα, μόνε ἀγαθέ, οὐ
βαστάζομεν, οἶδεν ὁ θεός, φοβούμεθα ὀνομάσαι, μὴ πλέον
εὐτυχήσει, καὶ μέλλομεν κινδυνεύειν. Καλοπόδιός ἐστιν ὁ σπα-
θαροκουβικουλάριος ὁ ἀδικῶν ἡμᾶς. καὶ πολλῶν ὕβρεων γενο-
μένων μεταξὺ τῶν μερῶν Βενέτων καὶ Πρασίνων, καὶ τὸν βασι-
λέα πολλὰ λοιδορήσαντες, κατῆλθον οἱ Πράσινοι, ἐάσαντες τὸν
βασιλέα καὶ τοὺς Βενέτους θεωροῦντας τὸ ἱππικόν. καὶ ἀπέστει-
λεν ὁ βασιλεὺς ἰδεῖν τί κράζουσιν ὡς ἔτυχεν· ἀλλ' ὅτε πολλὴ γέ-
νηται ἀνάγκη, τότε ποιεῖς ἃ ἐβουλεύσω. καὶ εἶπεν αὐτοῖς ὁ βα-
σιλεύς, Ἐξέλθατε οὖν καὶ μάθετε τίνος χάριν στασιάζουσιν. καὶ
ἐξῆλθεν ἀπὸ τοῦ παλατίου ὁ πατρίκιος Βασιλείδης ὁ ποιῶν τὸν

1. *καὶ τοὺς* P. 2. *χρημάτων*] Post haec in V tertia paginae pars cum sequenti folio recto et versi parte inferiori vacua relicta fuerant: quae spatia recentior manus implevit catalogo *τεράτων* quae Zenone, Iustiniano et Leone imperantibus acciderunt *ἐκ τοῦ μεγάλου χρονογράφου*, de quo conf. annotat. ad p. 379. C. Eum catalogum non habeo descriptum. 4. *ἁμαρτία* P. 7. *βίκας* V. 8. *μὴ εὐτυχήσεις* P. 9. *σπαθάριος κουβικουλάριος* P. 14. *ὡς ἔτυχεν* — 17. *στασιάζουσιν* om. P. Et ne his quidem omnis lacuna expleta est. 17. *Βασιλίδης* P. Sic et p. seq. v. 11.

sit Christiana religio prorsus ignorarent, ipsis etiam Praesidibus, quo Samaritanam religionem profiteri sibi liceret, pecunia data, persuasis.

6039. 531. IV. Ind. IX. Lampadio et Oreste II. Coss. 3.

CCCXXVIII. Olympias.

532. V. Ind. X. Lampadio et Oreste III. Coss. 4.

Anno imperii Justiniani quinto, mense Januario, seditio, quae Vincas vulgo appellatur, in hunc modum facta est. Cum Factiones in Circum ascendissent, Prasini clamarunt: *Acta per Calopodium Cubicularium et Spatharium* (rescindantur:) *Multos annos Justiniane, Tu vincas. Injusta patimur, o solus bone, nec sumus ferendo, novit Deus. Non audemus nominare, ne feliciter agas, nosque periclitemur. Calopodius Spatharius et Cubicularius is est qui nos injuria afficit.* Pluribus inde inter Factiones Venetas et Prasinas jactatis conviciis, ac Imperatore multis probris insectato, descenderunt Prasini, relictis Imperatore et Venetis, ludos spectantibus. Interea misit Imperator qui attenderent quid clamarent. Tum exiere e Palatio Basilides Patricius, Vicarium agens Con-

τόπον τοῦ μαγίστρου Ἑρμογένους ἐν Κωνσταντινουπόλει καὶ Κων- D
σταντίολος. καὶ στήσαντες τὰ εἰσελαύνοντα πλήθη ἔξω τοῦ πα-
λατίου, κατασιγήσαντες αὐτὰ προσεφώνησαν αὐτοῖς, λέγοντες,
Τί ζητοῦντες γενέσθαι στασιάζετε; καὶ ἔκραξαν κατὰ τοῦ
ἐπάρχου τῶν πραιτωρίων Ἰωάννου τοῦ Καππάδοκος καὶ Ῥουφί-
νου τοῦ κυαίστορος καὶ τοῦ ἐπάρχου τῆς πόλεως Εὐδαίμονος. καὶ
ταῦτα ἀκηκοότες ἀνήγαγον τῷ βασιλεῖ. καὶ εὐθέως διεδέξατο
τὸν ἔπαρχον τῶν πραιτωρίων Ἰωάννην, καὶ ἐποίησεν ἀντ' αὐτοῦ
ἔπαρχον πραιτωρίων τὸν πατρίκιον Φωκᾶν τὸν Κρατεροῦ. διε-
δέξατο δὲ καὶ Ῥουφῖνον τὸν κυαίστορα, καὶ ἐποίησεν ἀντ' αὐτοῦ
τὸν πατρίκιον Βασιλείδην κυαίστορα τὸν τοποτηροῦντα τὸν μάγι-
στρον, ὡς προείρηται. καὶ τὸν ἔπαρχον δὲ τῆς πόλεως Εὐδαί- P 337
μονα διεδέξατο, καὶ ἐποίησεν ἀντ' αὐτοῦ Τρύφωνα ἔπαρχον πό-
λεως, τὸν ἀδελφὸν Θεοδώρου ἀπὸ ἐπάρχων πόλεως. ὁ δὲ δῆμος
ἐπέμενεν ἔξω τοῦ παλατίου εἰσελαύνων· καὶ τούτου γνωσθέντος,
ἐξῆλθεν ὁ πατρίκιος Βηλισάριος ὁ στρατηλάτης μετὰ πλήθους
Γότθων, καὶ ἔκοψε πολλοὺς ἄχρις ἑσπέρας. καὶ λοιπὸν ἐνέ- R 778
πρησαν τὴν εἴσοδον τοῦ παλατίου τὴν χαλκόστεγον, καὶ ἐκαύθη
μετὰ τοῦ πορτίκου τῶν σχολαρίων καὶ τῶν προτηκτόρων καὶ καν-
διδάτων, καὶ γέγονε διακοπή. ὁμοίως δὲ ἐκαύθη καὶ τὸ Σένατον,
ὅπου ἐστὶ τὸ λεγόμενον Αὐγουσταῖον, καὶ ἡ μεγάλη ἐκκλησία πᾶσα B

3. *αὐτοί* P. 6. 10. *κυέστορος* PV. 9. *Κρατεροῦ*] *Κρατερόν* PV. Vide praeter quos citat Ducangius Malalam p. 449. 5. 10. *τὸν Ῥουφῖνον τὸν* P. 11. *κυέστορα* P. 12. *εὐδαίμονος* P. 15. *ἔμεινε* P. 16. *Βελισάριος* P. 17. *ἀνέπρησαν* P. 19. *τὸ μετὰ* P. *ib. προκτητόρων* R, *προτικτόρων* PV. 20. *καὶ ἐκαύθη τὸ* P.

stantinopoli Hermogenis Magistri, et Constantiolus, atque ii turbas proruentes extra palatium continentes, indicto silentio, hisce verbis compellarunt: *Quid quaeritis, et cur tumultuamini?* et clamarunt, *contra Praefectum Praetorio Joannem Cappadocem, et Rufinum Quaestorem, ac Praefectum Felicis urbis.* Quibus auditis, et ad Imperatorem perlatis, is extemplo Joannem Praefectum Praetorio exauctoravit, illique successorem designavit Phocam Craterum Patricium. Abdicavit etiam Rufinum Quaestorem, illiusque loco subrogavit Basilidem Patricium, qui Magistri vicem agebat, ut dictum est. Felicis quoque Praefecto urbis exauctorato, ei suffectus est Tryphon, Theodori Ex-Praefecto urbi frater. Populus interea extra Palatium consistens pergebat: quo cognito, Belisarius Patricius Magister militum cum Gotthorum copiis egressus, multos ex illis cecidit usque ad vesperam. Tum vero incenderunt Palatii vestibulum aereis tegulis tectum, quo quidem incendio exusta est Porticus Scholariorum, et Protectorum atque Candidatorum, factaque ingens caedes. Conflagravit etiam Senatus, ubi est quod appellatur Augustaeum,

σὺν τοῖς φοβεροῖς καὶ θαυμαστοῖς κίοσι πᾶσα ἐκ τετραέντου κα-
τηνέχθη. κἀκεῖθεν κατῆλθεν ὁ δῆμος πάλιν εἰσελαύνων ἐπὶ τὸν
Ἰουλιανοῦ λιμένα εἰς τὸν οἶκον Πρόβου· καὶ ἐζήτει παρ' αὐτοῦ
λαβεῖν ὅπλα, καὶ ἔκραζον, Πρόβον βασιλέα τῇ Ῥωμανίᾳ. καὶ
ἔβαλον πῦρ εἰς τὸν οἶκον τοῦ αὐτοῦ πατρικίου Πρόβου· καὶ ὀλί-
γων καυθέντων ἐλείφθη τὸ πῦρ καὶ ἐσβέσθη. τῇ δὲ παρασκευῇ
ἡμέρᾳ τοῦ αὐτοῦ μηνὸς ιϛ' ἦλθον οἱ δῆμοι εἰς τὸ πραιτώριον τῶν
ἐπάρχων, καὶ ἔβαλον ἐκεῖ πῦρ, καὶ ἐκαύθησαν αἱ στέγαι τῶν
C δύο βασιλικῶν οἴκων καὶ μόνον τοῦ αὐτοῦ πραιτωρίου, ὅπου τὰ
σκρίνια. ἐφύσησεν γὰρ ἄνεμος βοῤῥᾶς, καὶ τὸ πῦρ ἔξω τοῦ
πραιτωρίου ἐδίωξεν, καὶ ἐκαύθη τὸ βαλανεῖον τῶν Ἀλεξάνδρου,
καὶ ὁ ξενὼν τῶν Εὐβούλου ἐν μέρει καὶ ἡ ἁγία Εἰρήνη, ἥτις ἦν
V 269 κτισθεῖσα ὑπὸ Ἴλλου τοῦ Ἰσαύρου τοῦ ἀντάρτου Ζήνωνος τοῦ
βασιλέως. καὶ ὁ ξενὼν τοῦ Σαμψὼν ὁ μέγας ἐκαύθη, καὶ ἀπώ-
λοντο οἱ ἐν αὐτῷ ἀνακείμενοι ἄῤῥωστοι. τῷ δὲ σαββάτῳ, τουτ-
έστιν τῇ ιζ' τοῦ αὐτοῦ αὐδυναίου μηνός, ἐποίησαν συμβολὴν
μετὰ τοῦ δήμου οἱ στρατιῶται οἱ ἐλθόντες ἀπὸ τοῦ Ἑβδόμου καὶ
τοῦ Ῥηγίου καὶ τοῦ Ἀθύρα καὶ ἀπὸ Καλαβρίας, ἐπειδὴ ὡς ἔτυ-
χεν ἐφόνευον οἱ δῆμοι τοὺς ἀνθρώπους καὶ ἔσυρον αὐτοὺς καὶ
ἔβαλλον εἰς θάλασσαν ὡς παρακενωτάς. ὁμοίως δὲ καὶ γυναῖ-
D κας ἐφόνευον, καὶ πολλοὶ ἔπεσαν δημόται. καὶ ἑωρακότες ἑαυ-
τοὺς βαλλομένους οἱ ὄχλοι, ἦλθον αὐτοὶ εἰς τὸν Ὀκτάγωνον τὸν

1. πᾶσι P. 8. στίγαι R. 14. ὁ prius om. P. 19. οἱ δῆμοι om. P. 21. ἔσπασαν P.

et Magna Ecclesia, cum stupendis omnibus et admirandis columnis, ex quadri-marmore confectis, tota procubuit. Atque inde populus rursum descendens versus Juliani Portum, ad aedem Probi proruit, ab eoque arma petivit, haecce verba inclamans, *Probum Imperatorem Romaniae:* ac igne in domum Probi Patricii injecto, paucisque absumptis, ignis postmodum desiit et extinctus est. Die Veneris, ejusdem mensis XVI. venerunt Factiones in Praetorium Praefecti, ignemque ibi injecerunt, quo conflagrarunt contignationes duarum domorum Regiarum, et locus ipsius Praetorii, ubi erant Scrinia. Vento quippe Aquilone flatum protendente, ignis ultra Praetorium prorupit, quo exustum est Alexandri Balneum, et ex parte Xenodochium Eubuli, ut et aedes Sanctae Irenes, quae condita fuerat ab Illo Isauro, qui adversus Zenonem tyrannidem invasit. Sed et ingens illud Xenodochium Sampsonis incendio consumptum est, et qui in eo aegri jacebant periere. Die Sabbati, hoc est XVII. ejusdem mensis Audynaei, milites qui ex Hebdomo, Rhegio, Athyra, et Calabrya venerant, cum populo congressi sunt. Postquam vero quoslibet, ut occurrebant, occiderant, hos in mare, tanquam vilia quaeque, tractos jaciebant. Interficiebant quoque feminas, multique jaculis aut sagittis factiosos aggrediebantur. Verum ut se ii sic peti advertere, ve-

ὄντα εἰς μέσον τῆς βασιλικῆς τῶν Γουναρίων καὶ τοῦ δημοσίου Ἐμβόλου τῆς Ῥηγίας. καὶ ἑωρακότες οἱ στρατιῶται ὅτι οὐκ ἠδύναντο εἰσελθεῖν, ἐπάνω αὐτῶν ἔβαλον πῦρ, καὶ ὕφηψαν τὴν Ὀκτάγωνον, καὶ ἐξ αὐτοῦ τοῦ πυρὸς ἐκαύθη τὰ πέριξ τοῦ ἁγίου Θεοδώρου τῶν Σφωρακίου δίχα τοῦ σκευοφυλακίου τοῦ φούρνου τοῦ ἁγίου οἴκου. ὁ δὲ Ἔμβολος ὅλος τῶν ἀργυροπρατίων καὶ ὁ οἶκος Συμμάχου τοῦ ἀπὸ ὑπάτων ὀρδιναρίων καὶ ἡ ἁγία Ἀκυ- R 780
λῖνα ἕως τῆς καμάρας τοῦ ἄλλου Ἐμβόλου τοῦ φόρου Κωνσταν- P 338
τίνου ἐκαύθη. καὶ φυγόντες ἐκεῖθεν οἱ δῆμοι ἔβαλον πῦρ ἐπὶ τὸ Λίβυρνον ἐπὶ τὴν Μαγναύραν, καὶ συνδρομῆς πολλῆς γενομένης ἐσβέσθη εὐθέως.

Τῇ δὲ κυριακῇ ἡμέρᾳ, τουτέστι τῇ ιη' τοῦ αὐτοῦ μηνός, ἀπονύχιον ἀνῆλθεν ὁ βασιλεὺς εἰς τὸ Ἱππικὸν ἐν τῷ ἰδίῳ καθίσματι, βαστάζων τὸ ἅγιον εὐαγγέλιον. καὶ τούτου γνωσθέντος ἀνῆλθεν πᾶς ὁ δῆμος, καὶ ἐγεμίσθη τὸ Ἱππικὸν ὅλον ἐκ τῶν ὄχλων. καὶ ἐπωμόσατο αὐτοῖς ὁ βασιλεύς, λέγων, Μὰ τὴν δύναμιν ταύτην, συγχωρῶ ὑμῖν τὸ πταῖσμα τοῦτο καὶ οὐ κελεύω τινὰ ἐξ ὑμῶν συσχεθῆναι, ἀλλ' ἡσυχάσατε· οὐδὲν γὰρ παρ' ὑμᾶς, ἀλ- B
λὰ παρ' ἐμέ. αἱ γὰρ ἐμαὶ ἁμαρτίαι ἐποίησάν με μὴ παρασχεῖν ὑμῖν περὶ ὧν ᾐτήσατέ με ἐν τῷ Ἱππικῷ. καὶ πολλοὶ τοῦ δήμου ἔκραξαν, Αὔγουστε Ἰουστινιανέ, τοῦ βίγκας. ἄλλοι δὲ ἔκραζον,

5. σκευοφυλακίου in m. ponit V. *ib.* φουρίου P. 6. ἀργυροπρατίων] Immo ἀργυροπρατείων. 9. ἐκεῖ P. *ib.* ἐπὶ τὸ Λίβυρνον om. P. 15. ἐγνώσθη R, ἐπληρώθη m. R, ἐχώσθη P. 16. ὁ om. P.

nerunt ad Octagonum, situm inter Basilicam Gunariorum, et publicam Porticum Regiae. Milites autem ubi viderunt in illos se non posse irruere, ignem projecerunt, et Octagonum incenderunt: quo incendio conflagravit quidquid erat circa aedem Sancti Theodori in tractu Sphoracii, praeter Scevophylacium arcis sacrae aedis. Porticus autem tota Argentariorum, et domus Symmachi Ex-Consule ordinario: sancta item Aquilina usque ad fornices alterius Porticus Fori Constantini exusta est. Hinc igitur fugientes Factiones, ignem injecerunt in Magnauram, sed multo hominum facto concursu, statim extinctus est.

Die vero Dominica, hoc est XVIII. ejusdem mensis, cum noctem insomnem duxisset Imperator, progressus est in Circum seditque in suo Tribunali, gestans sanctum Evangelium. Quo cognito, populus universus ascendit, totusque impletus est Circus, turba passim affluente. Tum Imperator, acto sacramento, *Per hanc potestatem*, inquit, *condono vobis offensam hanc*, *neminemque ex vobis praecipiam comprehendi*, *modo quiescatis: nulla enim penes vos culpa*, *sed super me residet. Peccata enim mea effecere*, *ut vobis non concederem quae a me in Circo petiistis.* Tum multi ex populo acclamarunt: *Auguste Justiniane*, *tu vincas.* Alii

Ἐπιορκεῖς, σγαύδαρι. καὶ ἔασεν, καὶ κατῆλθεν αὐτὸς ἐκ τοῦ Ἱππικοῦ ὁ βασιλεύς· καὶ ἔδωκεν εὐθέως μίσσας τοῖς τοῦ παλατίου, καὶ λέγει τοῖς συγκλητικοῖς, Ἀπέλθατε, ἕκαστος φυλάξει τὸν οἶκον αὐτοῦ. καὶ ἐξελθόντων αὐτῶν ὑπήντησεν ὁ δῆμος Ὑπατίῳ τῷ πατρικίῳ καὶ Πομπηίῳ τῷ πατρικίῳ· καὶ ἔκραξαν, Ὑπάτιε Αὔγουστε, τοῦ βίγκας. καὶ λαβόντες οἱ δῆμοι τὸν αὐ- C τὸν πατρίκιον Ὑπάτιον εἰς τὸν φόρον Κωνσταντίνου, φοροῦντα ἄσπρον χλανίδιν, ἀναγαγόντες αὐτὸν ὕψος εἰς τοὺς βαθμοὺς τοῦ κίονος τῆς στήλης Κωνσταντίνου τοῦ βασιλέως ἤνεγκαν οἱ δῆμοι ἀπὸ τοῦ παλατίου Πλακιλλιανῶν οὕτω λεγομένου σίγνα βασιλικὰ ἀποκείμενα ἐκεῖσε, καὶ ἔβαλον εἰς τὴν κεφαλὴν τοῦ αὐτοῦ Ὑπατίου, καὶ μανιάκιον χρυσοῦν εἰς τὸν τράχηλον αὐτοῦ. καὶ τούτου γνωσθέντος τῷ βασιλεῖ, ἐσφαλίσθη τὸ παλάτιον, καὶ λαβόντα τὰ τοῦ δήμου πλήθη τὸν αὐτὸν Ὑπάτιον καὶ Πομπήιον τὸν πατρίκιον καὶ Ἰουλιανὸν τὸν ἀπὸ ἐπάρχων πραιτωρίων ἀπήγαγον τὸν αὐτὸν Ὑπάτιον εἰς τὸ βασιλικὸν κάθισμα, βουλόμενοι ἐκβαλεῖν ἐκ τοῦ παλατίου πορφύραν βασιλικὴν καὶ διάδημα καὶ D στέψαι αὐτὸν εἰς βασιλέα. καὶ ἔκραξεν αὐτῷ ὁ πᾶς δῆμος ὁ ὢν εἰς τὸ Ἱππικόν, Αὔγουστε Ὑπάτιε, τοῦ βίγκας. καὶ αὐτὸς Ὑπάτιος προθεωρῶν τὰ τοῦ δήμου ὅτι τρεπτοί εἰσι καὶ πάλιν ἐγ- R 782 V 270 κρατὴς γίνεται ὁ βασιλεύς, πέμψας λάθρα Ἐφραίμιον τὸν κανδιδᾶτον, ᾧτινι ἐθάῤῥει, δηλοῖ τῷ βασιλεῖ Ἰουστινιανῷ, Ἰδοὺ τοὺς ἐχθρούς σου πάντας ἐν τῷ Ἱππικῷ συνήγαγον· ὃ κελεύεις

1. σγαύδαρι] *γάδαρε* Ducangius. 3. *ἀπέλθετε* P. *ib.* *φυλάξειν* P, *φυλάξε* m. R. 8. *ἀναγόντες* P. 12. *μανίκιον* R, *μανιάκην*. *μανιάκιον* m. R. 14. *καὶ Πομπήιον* om. P. 18. *πᾶς* om. P.

vero clamitarunt: *Pejeras*, *Asine*. Imperator ad haecce siluit, et ex Circo abiit, statimque dimisit Palatinos Proceres, iisque dixit, *Abite, ut vestras aedes custodiatis*. Quibus digressis, occurrit populus Hypatio Patricio, et Pompeio Patricio, et acclamavit, *Hypati Auguste, tu vincas:* arreptumque Hypatium Patricium, Chlamyde indutum candida, in Forum Constantini sublimem usque ad gradus statuae Constantini Imperatoris deduxerunt. Tum vero Factiones ablatis ex Palatio Placillianarum, ita appellato, ubi asservabantur, Imperatoriis insignibus, iis induerunt caput ipsius Hypatii, torque etiam aureo collo aptato. Quod ubi Justiniano Imperatori est renuntiatum, Palatium clausum est. Factiosi vero, Hypatio Patricio, et Juliano Ex-Praefecto Praetorio arreptis, ipsum Hypatium usque ad Imperatorium Thronum adduxere, ut allatis ex Palatio Imperatoria purpura, et diademate, illum in Imperatorem coronarent. Verum Hypatius, cum populorum mentem praevideret, eorumque levitatem, rursumque Justinianum rerum potiturum, misso clam Ephremio Candidato, cui fidebat inprimis, nuntiat Imperatori Justiniano: *Ecce*

ποίησον. ἀπελθόντος δὲ τοῦ αὐτοῦ Ἐφραιμίου ἐν τῷ παλατίῳ, καὶ θελήσαντος εἰσελθεῖν καὶ εἰπεῖν τῷ βασιλεῖ τὴν ἀπόκρισιν, ἀπαντᾷ αὐτῷ Θωμᾶς τις ἀδσηκρῆτις, ἰατρὸς ὢν τοῦ βασιλέως, πάνυ φιλούμενος παρ' αὐτοῦ, καὶ λέγει τῷ κανδιδάτῳ, Ποῦ εἰσ- P 339
έρχῃ; ἔσω οὐδείς ἐστιν· ὁ γὰρ βασιλεὺς ἀπῆλθεν ἀπ' αὐτοῦ. καὶ ὑποστρέψας Ἐφραίμιος λέγει Ὑπατίῳ, Δέσποτα, μᾶλλον ὁ θεὸς θέλει σε βασιλεῦσαι· ὁ γὰρ Ἰουστινιανὸς ἔφυγεν, καὶ οὐδείς ἐστιν τῷ παλατίῳ. καὶ ταῦτα ἀκούσας ὁ Ὑπάτιος ἔδοξε θαρσαλεώτερος καθέζεσθαι ἐν τῷ δεσποτικῷ καθίσματι τοῦ Ἱππικοῦ καὶ ἀκούειν τὰς εἰς αὐτὸν εὐφημίας τοῦ δήμου καὶ τὰς ὑβριστικὰς φωνάς, ἃς ἔλεγον εἰς τὸν βασιλέα Ἰουστινιανὸν καὶ εἰς τὴν Αὔγουσταν Θεοδώραν. ἦλθαν δὲ καὶ ἀπὸ Κωνσταντιανῶν νεώτεροι Πράσινοι, φοροῦντες ζάβας, σν'· οἵτινες νεώτεροι ἦλθον ὡπλισμένοι, ὑπολαβόντες ὅτι δύνανται ἀνοῖξαι τὸ παλάτιον καὶ B
εἰσαγαγεῖν αὐτὸν ἐν αὐτῷ. ὁ δὲ θειότατος βασιλεὺς Ἰουστινιανὸς ἀκηκοὼς τὰ περὶ τοῦ δήμου καὶ Ὑπατίου καὶ παρὰ Πομπηίου τολμηθέντα, εὐθέως ἀνῆλθεν διὰ τοῦ λεγομένου Κοχλίου εἰς τὰ λεγόμενα Πούλπιτα, ὄπισθεν τοῦ καθίσματος τοῦ Ἱππικοῦ, εἰς τὸν Τρίκλινον τὸν ἔχοντα τὰς χαλκᾶς θύρας, αἵτινες ἦσαν ἠσφαλισμέναι. ἦσαν δὲ μετ' αὐτοῦ τοῦ βασιλέως Μοῦνδος

3. τῷ αὐτῷ R. *ib.* ἀσηκρήτοις P. Ioannes Laurentius de magistr. Romanis p. 182. ἀσηκρῆτις τοὺς ἐπὶ τῶν σηκρήτων· οὐδὲ γὰρ ἀδσηκρῆτις κατὰ τοὺς ἰδιώτας ἐξ ἀνοίας μετὰ τοῦ δέλτα στοιχείου τῆς προθέσεως ἐπιβαλλομένης. 6. Εὐφραίμιος PV. 8. θαρσαλέως P. 12. ἦλθον P. *ib.* Κωνσταντινῶν R. 16. περὶ] παρὰ, omisso mox παρὰ, P sola. *ib.* καὶ alterum om. R. 19. Τρικλίνιον P. *ib.* τὰς om. P.

hostes tui universi in Circo collecti sunt, quod praecipis, exequere. Ephraemio ad Palatium pergenti, illudque volenti ingredi, ut quae sibi mandata erant exponeret, occurrit Thomas quidam a Secretis, quique Imperatoris erat Medicus, et ab eo praecipua quadam familiaritate colebatur, qui Candidatum adortus: *Quo*, inquit, *tendis: nemo intus est, Imperator quippe inde discessit.* Reversus Ephraemius renuntiat Hypatio: *Domine, Deus te potius vult imperare: fugit enim Justinianus, nec quisquam est in Palatio.* Quibus auditis, Hypatius visus est in Imperatorio Circi Tribunali fidentius considere, atque audire faustas in se populi factas acclamationes, et convitia quae in Justinianum Imperatorem e in Theodoram Augustam passim jactabantur. Venerunt quoque a Constantianis Juniores Prasini, loricas ducentas quinquaginta ferentes: et quidem armati accesserunt, rati se Palatium aperire posse, in illudque Hypatium introducere. Sacratissimus vero Imperator Justinianus, certior factus de populi, Hypatii, et Pompeii conatibus, extemplo ascendit per Cochleam, uti appellatur, in Pulpita, sic pariter dicta, pone Circi Tribunal: atque inde in Triclinium aereas habens januas, quae tum erant clausae. Aderant porro cum Imperatore Mundus, Constantiolus,

καὶ Κωνσταντίολος καὶ Βασιλείδης καὶ Βηλισάρις καὶ ἄλλοι τινὲς συγκλητικοί. εἶχεν δὲ καὶ τὴν τοῦ παλατίου ἔνοπλον βοήθειαν μετὰ τῶν ἰδίων σπαθαρίων καὶ κουβικουλαρίων.

C *Καὶ τούτων γενομένων Ναρσῆς ὁ κουβικουλάριος καὶ σπαθάριος ἐξελθὼν λαθραίως δι' ἑαυτοῦ καὶ τῶν ἀνθρώπων αὐτοῦ ὑπέκλεψέ τινας τῶν τοῦ Βενέτου μέρους, ῥογεύσας χρήματα. καὶ ἀποσχίσαντες ἤρξαντο κράζειν, Αὔγουστε Ἰουστινιανέ, τοῦ βίγκας. κύριε, σῶσον Ἰουστινιανὸν καὶ Θεοδώραν. καὶ ὠλόλυξεν ἅπαν τὸ πλῆθος ἐν τῷ Ἱππικῷ. τινὲς δὲ τῶν ἐκ τοῦ Πρασίνου μέρους ἀνασεισταὶ ὁρμήσαντες κατ' αὐτῶν ἐλιθοβόλουν αὐτούς. καὶ λοιπὸν τρακτάϊσαντες οἱ ἐν τῷ παλατίῳ ὄντες ἔλαβον τὴν εὑρεθεῖσαν ἔσω βοήθειαν, ὑποκλέψαντες καὶ φανεροὺς τῶν* D *ἐξκουβιτώρων καὶ σχολαρίων· ἦσαν γὰρ καὶ αὐτοὶ ἀποσχίσαντες μετὰ τοῦ δήμου· καὶ ἐξελθόντες μετὰ τῶν ἰδίων αὐτῶν ἀνθρώπων ὥρμησαν εἰς τὸ Ἱππικόν, ὁ μὲν Ναρσῆς διὰ τῶν θυρῶν, ὁ* R 784 *δὲ υἱὸς Μούνδου διὰ τῆς σφενδόνης, καὶ ἄλλοι διὰ τοῦ μονοπόρτου τοῦ δεσποτικοῦ καθίσματος εἰς τὸ πέλμα, ἕτεροι δὲ διὰ τῶν Ἀντιόχου καὶ τῆς λεγομένης Νεκρᾶς πόρτας. καὶ ἤρξαντο κόπτειν τοὺς δήμους ὡς ἔτυχεν, ὥστε μηδένα τῶν πολιτῶν ἢ ξένων τῶν εὑρεθέντων ἐν τῷ Ἱππικῷ περισωθῆναι, ἐν οἷς ἐσφάγη καὶ Ἀντίπατρος ὁ βίνδιξ Ἀντιοχείας τῆς Θεουπόλεως. εὐθέως* P 340 *δὲ οἱ περὶ τὸν στρατηλάτην Βηλισάριν ἀνοίξαντες τὰς θύρας ἐπὶ*

1. *Βασιλίδης* PV. *ib.* *Βελισάριος* P. 10. *ἀνασεῖσαι* P. 15. *εἰς τὸ Ἱππικὸν* om. P. 21. *καὶ* om. P. 22. *δὲ* om. P. *ib.* *Βιλισάριον* P.

Basilides, Belisarius, aliique ex Senatoribus: habebatque armatum Palatii praesidium, cum suis Spathariis et Cubiculariis.

Cum haec ita se haberent, Narses Cubicularius et Spatharius clam egressus, tum per se, tum per suos homines, quosdam ex Veneta Factione sibi conciliavit, erogata pecunia. Ac tum seditiosi illi acclamare coepere: *Auguste Justiniane, tu vincas. Domine, serva Justinianum et Theodoram.* Flevitque universa plebs in Circo. Quidam vero de Prasinorum Factione, seditionem ac tumultum in illos concitare aggressi, ipsos lapidibus impetiere. Demum qui in Palatio erant, communicatis inter se consiliis, praesidium intus repertum sibi adjunxerunt, et clam Excubitoribus et Scholariis, qui aperte una cum populo ab Imperatoris partibus sese subduxerant, egressi cum suis copiis, irruperunt in Circum, ac Narses quidem per portas, filius vero Mundi per Sphendonem, alii per portam unicam Imperatorii Tribunalis in arenam: alii per locum Antiochi appellatum, et per portam, quam Mortuam vocant, coeperuntque Factiones sine discrimine concidere, adeo ut nemo vel ex civibus vel ex peregrinis, qui tum in Circo forte erant, evaserit: in quibus Antipater Antiochiae Theopoleos Vindex caesus occubuit. Extemplo qui cum Belisario erant, janis apertis, facto in Imperatorium Tri-

τὸ δεσποτικὸν κάθισμα ὁρμήσαντες μετὰ σπαθαρίων, καὶ συλλαβόμενοι τὸν Ὑπάτιον μετὰ Πομπηίου τοῦ πατρικίου τοῦ αὐτοῦ ἐξαδέλφου εἰσήγαγον τῷ βασιλεῖ Ἰουστινιανῷ. οἵτινες εἰσενεχθέντες προσέπεσαν, λέγοντες, Δέσποτα, πολὺς ἡμῖν κόπος V 271 ἐγένετο, ὥστε συναγαγεῖν τοὺς ἐχθροὺς τοῦ κράτους ὑμῶν εἰς τὸ Ἱππικόν. καὶ λέγει αὐτοῖς ὁ βασιλεύς, Καλῶς ἐποιήσατε· ὅμως παρ' ὃ ἐπείθοντο ὑμῖν κελεύουσιν αὐτοῖς, διὰ τί τοῦτο οὐκ ἐποιήσατε πρὸ τοῦ πᾶσα ἡ πόλις καυθῇ; καὶ λέγει τοῖς εὐνούχοις καὶ σπαθαρίοις αὐτοῦ καὶ Εὐλαλίῳ τῷ βαρβάτῳ καὶ τοῖς κανδιδάτοις B, Λάβετε αὐτοὺς καὶ ἀποκλείσατε. καὶ ἔλαβον αὐτοὺς κάτω εἰς τὸ παλάτιον, καὶ ἀπέκλεισαν τὸν Ὑπάτιον καὶ τὸν Πομπήιον μόνους. ἐσφάγησαν δὲ τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ παλάτιν, ὡς λέγουσιν οἱ στοχασάμενοι, πολιτῶν καὶ ξένων ἀνδρῶν χιλιάδες λε'. καὶ οὐκέτι ἐφάνη δημότης πού ποτε, ἀλλὰ γέγονεν ἡσυχία ἕως ἑσπέρας.

Τῇ δὲ ἐπαύριον, ἥτις ἦν ἡμέρα δευτέρα μηνὸς τοῦ αὐτοῦ αὐδυναίου ιθ', ἐσφάγησαν Ὑπάτιος καὶ Πομπήιος οἱ πατρίκιοι, καὶ ἐρρίφησαν τὰ λείψανα αὐτῶν εἰς τὴν θάλασσαν. καὶ τὸ μὲν Ὑπατίου λείψανον ἐφανερώθη παρὰ τὸν αἰγιαλόν, καὶ ἐκέλευσεν C ὁ βασιλεὺς χωσθῆναι αὐτὸ εἰς τὸ μέσον τῶν λοιπῶν βιοθανάτων, καὶ πλάκα τεθῆναι ἐπάνω τοῦ λειψάνου αὐτοῦ, ἐν ᾗ ἐπεγράφη, Ἐνθάδε κατάκειται ὁ βασιλεὺς τῆς Λούππας.

7. πάρος P, εἰ m. R. 12. παλάτιν] ἱππικὸν P, m. R, παλάτιον R. 16. δὲ] τε PV.

bunal una cum Spathariis impetu, captum Hypatium cum Pompeio patrueli ad Imperatorem Justinianum adduxerunt, qui ad Imperatoris genua advoluti, dixere: *Domine, multum laboravimus, ut hostes vestrae Majestatis in Circum cogeremus.* Quibus Imperator, *Recte*, inquit, *fecistis: verum siquidem vobis jubentibus parebant, cur non hoc fecistis priusquam universa civitas conflagraret?* Tum Eunuchis ac Spathariis suis, atque Eulalio Barbato, et Candidatis, *Illos*, inquit, *arripite, et custodia includite.* Atque ii in inferiorem Palatii partem delatos, Hypatium et Pompeium solos incluserunt. Caesi sunt illa die in Circo, ut referunt qui numerum conjectarunt, ex civibus, vel hominibus peregrinis, tricies quinquies mille, nec quisquam amplius e Factionibus apparuit, sed summa quies fuit usque ad vesperam.

Postero die, feria scilicet secunda, ejusdem mensis Audynaei XIX. interfecti sunt Hypatius et Pompeius Patricii, ipsorumque corpora in mare projecta. Ac Hypatii quidem corpus in littore visum est: illudque praecepit Imperator inter eorum cadavera qui judicum decretis damnati violenta morte obierant terra obrui, ac supra illius corpus apponi tabulam, cui haecce verba inscripta sunt: Hic situs est Imperator Luppae.

Μεθ' ἡμέρας δὲ ἐκέλευσεν τοῖς αὐτοῦ λαβεῖν τὸ λείψανον αὐτοῦ καὶ θάψαι αὐτό. καὶ λαβόντες αὐτὸ οἱ αὐτοῦ ἔθαψαν εἰς τὸ μαρτύριον τῆς ἁγίας Μαύρας· τὸ δὲ Πομπηίου σῶμα οὐδαμοῦ ἐφανερώθη. τὰ δὲ διαφέροντα αὐτοῖς πάντα ἐδημεύθη. καὶ οἱ λοιποὶ πατρίκιοι οἱ ἅμα αὐτοῖς εὑρεθέντες ἔφυγον, οἱ μὲν R 786 D *εἰς μοναστήρια, οἱ δὲ εἰς εὐκτηρίους οἴκους, καὶ ἐσφραγίσθησαν οἱ οἶκοι αὐτῶν. φανεροὶ δὲ καὶ ἐδημεύθησαν καὶ ἐξωρίσθησαν. καὶ γέγονε φόβος βασιλικὸς πολύς. γνοὺς δὲ ὁ βασιλεὺς μετὰ ταῦτα τὴν δοθεῖσαν ἀπόκρισιν παρὰ Θωμᾶ τοῦ ἀδσηκρῆτις Ἐφραϊμίῳ τῷ κανδιδάτῳ, τὸν μὲν Θωμᾶν ἀπεκεφάλισεν, Ἐφραΐμιον δὲ ἐξώρισεν εἰς Ἀλεξάνδρειαν τὴν μεγάλην.*

Καὶ τῇ κ' τοῦ αὐτοῦ αὐδυναίου μηνός, ἡμέρᾳ τρίτῃ, ἡσύχασεν πᾶσα Κωνσταντινούπολις, καὶ οὐδεὶς ἐτόλμησεν προσελθεῖν, ἀλλ' ἠνέῳξαν τὰ ἐργαστήρια μόνα τὰ παρέχοντα βρῶσιν καὶ πόσιν δεο- P 341 *μένοις ἀνθρώποις. καὶ ἔμειναν τὰ πράγματα ἄπρακτα καὶ Κωνσταντινούπολις ὑπῆρχεν ἀδοσόληπτος ἐπὶ ἡμέρας ἱκανάς.*

Ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς εὐθέως ἐδήλωσε τὴν ἑαυτοῦ νίκην εἰς τὰς ὑπὸ τὴν αὐτοῦ βασιλείαν πόλεις πάσας καὶ τὴν ἀναίρεσιν τῶν ἐπαναστάντων αὐτῷ τυράννων, ἐπιλαβόμενος κτίζειν σπουδαίως καὶ βέλτιον τὴν μεγάλην ἐκκλησίαν καὶ τὸ παλά-

9. *ἀσηκρήτοις* P. 12. *μηνὸς Αὐδυναίου* P. 13. *πᾶσα ἡ Κ.* P. 14. *ἔχοντα* P. 16. *ἀσιτόληπτος* P. „*Corruptus locus, nec expresse scriptum ἀσιτόληπτος.*“ Raderus. Conf. Ducang. v. *δοσοληψία*. 18. *καὶ τὴν*] (*καὶ*) P, om. R.

Post dies aliquot mandavit propinquis ejus ut illius funus tollerent, illudque sepelirent, quod ii inde sublatum, in aede Sanctae Maurae humo condiderunt. At Pompeii corpus nusquam apparuit. Bona vero illorum omnia publicata. Caeteri Patricii, qui cum iis inventi fuerant, alii in monasteria, alii in aedes sacras fuga evaserunt: quorum domus sunt obsignatae. Eorum autem qui manifeste iis adhaesisse sunt deprehensi, bona publicata, iique proscripti sunt. Exinde universos propter Imperatorem invasit terror. Is intellecta a Thoma a Secretis Ephraemio Candidato data responsione, Thomae caput amputari praecepit, Ephraemium vero Alexandriam magnam in exilium amandavit.

Ac die xx. ejusdem mensis Audynaei, Feria III. quievit omnis civitas Constantinopolitana: nec quisquam ausus est in publicum prodire. Sed Officinae duntaxat apertae sunt, quae egentibus cibum et potum subministrarent: manseruntque negotia omnia infecta, et Constantinopolis per aliquot dies inedia laboravit.

A. C. [Ol. Iph.]

Anni a m. c. Justinianus Imperator victoriam suam continuo per universas imperii sui civitates nuntiavit: atque ut insurgentes in se tyrannos sustulerit. Tum vero coepit magno studio instaurare Magnam Ecclesiam, et Pala-

τιον καὶ πάντας τοὺς καυθέντας τῆς πόλεως δημοσίους τόπους.
ἔκτισε δὲ ἔνδον τοῦ παλατίου μαγκίπια καὶ ὅρια εἰς τὸ ἀποτίθε-
σθαι σῖτον. ὁμοίως δὲ καὶ κιστέρναν ὑδάτων διὰ τὰς δημοτι-
κὰς περιστάσεις, κελεύσας τῷ ἐπάρχῳ τῆς πόλεως τιμωρήσα-
σθαι τοὺς ἐκ τοῦ Βενέτου μέρους τοὺς συναινέσαντας τοῖς Πρα- B
σίνοις καὶ τοῖς λοιποῖς μέρεσι κατ' αὐτοῦ.

τκη' Ὀλυμπιάς.

Ἰνδ. ι'. ε'. μετὰ ὑπ. Λαμπαδίου καὶ Ὀρέστου τὸ β'.
Ἰνδ. ια'. ϛ'. ὑπ. Ἰουστινιανοῦ Αὐγούστου τὸ δ' μόνον.

Τούτῳ τῷ ἔτει μηνὶ δίῳ κατὰ Ῥωμαίους νοεμβρίῳ, τῆς ιβ'
ἰνδικτιῶνος, γέγονε σεισμὸς μέγας ἀβλαβὴς ἐν Κωνσταντινουπό-
λει, ἑσπέρας βαθείας, ὥστε πᾶσαν τὴν πόλιν συναχθῆναι εἰς V 272
τὸν φόρον Κωνσταντίνου καὶ λιτανεύειν καὶ λέγειν, Ἅγιος ὁ θεός,
ἅγιος, ἰσχυρός, ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέη-
σον ἡμᾶς. καὶ ἔμειναν πᾶσαν τὴν νύκτα ἀγρυπνοῦντες καὶ εὐ-
χόμενοι. πρωίας δὲ γενομένης, ὁ πᾶς δῆμος τῶν λιτανευόντων C
ἐξεβόησεν, Νικᾷ ἡ τύχη τῶν χριστιανῶν. ὁ σταυρωθείς, σῶσον
ἡμᾶς καὶ τὴν πόλιν. Αὔγουστε Ἰουστινιανέ, τοῦ βίγκας. ἆρον,
καῦσον τὸν τόμον τὸν ἐκτεθέντα ἀπὸ τῶν ἐπισκόπων τῆς συνόδου
Χαλκηδόνος.

2. *μαγκηπία* PV, *ἀρτοπωλεῖα* m. R. 7. *τκη' — β'*, omisso *μετὰ* et *β'* in *γ'* mutato, praefixoque *Ἰνδ. θ'. δ' ὑπ. Λαμπαδίου καὶ Ὀρέστου τὸ β'* ante p. 336. B *πέμπτῳ ἔτει* posuit Raderus. 17. *νίκα* PV.

tium, atque omnia civitatis aedificia, quae igne absumpta fuerant. At intra Palatium quidem Pistrina condidit, et horrea recondendo frumento: nec non aquarum Cisternam propter publicas necessitates. Praecepit etiam Praefecto Urbi, ut ex Veneta Factione eos puniret potissimum qui sese Prasinis adjunxerant, et reliquis Factionibus quae in se conspiraverant.

533. vi. Ind. xi. Justiniano Augusto IV. solo Cos. 1. 328. 6041.

Hoc anno, mense Dio, secundum Romanos, Novembri, xii. Indictione, factus est ingens terrae motus innocuus Constantinopoli, adulta jam vespera, ita ut civitas universa in Forum Constantini coiret, et supplicationes institueret, diceretque, *Sanctus Deus*, *Sanctus Fortis*, *Sanctus Immortalis*, *Qui crucifixus es pro nobis*, *miserere nobis*. Manseruntque tota nocte insomnes, precibus assidue vacantes. Cum dilucularet, universus supplicantium populus exclamavit: *Vincit Fortuna Christianorum. Crucifixe, serva nos, et urbem nostram. Auguste Justiniane, tu Vincas. Tolle, exure decretum editum ab Episcopis Synodi Chalcedonensis.*

R 788 *Καὶ τῇ κʹ τοῦ αὐτοῦ δίου μηνός, τῆς ιβʹ ἰνδικτιῶνος, προέθηκεν θεῖον αὐτοῦ γράμμα ὁ αὐτὸς βασιλεὺς Ἰουστινιανὸς ἐν Κωνσταντινουπόλει, καταπέμψας καὶ ἐν τῇ πόλει Ῥώμῃ καὶ ἐν Ἱεροσολύμοις καὶ ἐν τῇ μεγάλῃ τῶν Ἀντιοχέων Θεουπόλει τῆς Συρίας καὶ ἐν τῇ μεγάλῃ τῶν Ἀλεξανδρέων πόλει τῇ πρὸς Αἴγυ-* D *πτον καὶ ἐν Θεσσαλονίκῃ τῇ πόλει τοῦ Ἰλλυριῶν ἔθνους καὶ ἐν Ἐφέσῳ πόλει τῆς Ἀσίας τὸ αὐτὸ θεῖον αὐτοῦ γράμμα, ὅπερ εἶχεν οὕτως.*

Αὐτοκράτωρ Καῖσαρ Ἰουστινιανός, εὐσεβής, νικητής, τροπαιοῦχος, μέγιστος, ἀεισέβαστος, Αὔγουστος, πολίταις ἡμετέροις.

Τὸν σωτῆρα καὶ δεσπότην τῶν ἁπάντων Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν ἡμῶν θεὸν θεραπεύειν διὰ πάντων σπουδάζομεν ὅσον P 342 *ἐνδέχεται νοῦν καταλαμβάνειν ἀνθρώπινον μιμεῖσθαι τὴν αὐτοῦ συγκατάβασιν. καὶ εὑρόντες τινὰς τῇ νόσῳ καὶ μανίᾳ κρατουμένους Νεστορίου καὶ Εὐτυχοῦς τῶν ἐχθρῶν τοῦ θεοῦ καὶ τῆς ἁγιωτάτης καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀρνουμένους τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν θεοτόκον εἰπεῖν κυρίως καὶ κατ' ἀλήθειαν, ἐσπουδάσαμεν τούτους τὴν ὀρθὴν τῶν χριστιανῶν διδαχθῆναι πίστιν. οἱ δὲ ἀνιάτως ἔχοντες καὶ κρύ-*

1. *τῆς* om. P. *ib.* *προσέθηκεν* PV. 13. *ἡμῶν* om. P sola. *ib.* *θεραπεύων* P. *ib.* *σπουδαζόμενος ὃν* PV. Correxi ex Codice Iustin. p. 4. ed. Spangenb. 15. *καὶ* prius addidi ex Cod.

xx. ejusdem mensis Dii, xii. Indictione, sacram suam sanctionem publicavit Constantinopoli idem Imperator Justinianus: misitque Romam et Hierosolyma, et in magnam Antiochenorum urbem Theopolim Syriae, et in magnam urbem Alexandrinorum in Aegypto, et in Illyriorum gentis urbem Thessalonicam, et Ephesum urbem Asiae, illud ipsum sacrum suum rescriptum, hisce verbis conceptum.

Imperator Caesar Justinianus, Pius, Victor, Triumphator, Maximus, Semper Augustus, civibus nostris salutem.

„Cum Salvatorem, et Dominum omnium Jesum Christum verum Deum nostrum colamus per omnia, studemus etiam (quatenus datum est humanae menti assequi) imitari ejus condescensionem seu demissionem.“

„Etenim cum quosdam invenerimus morbo atque insania detentos impiorum Nestorii, et Eutychis, Dei et Sanctae Catholicae et Apostolicae Ecclesiae hostium, nempe qui detrectabant sanctam gloriosam semper Virginem Mariam Theotocon sive Deiparam appellate proprie, et secundum veritatem, illos festinavimus, quae sit recta Christianorum fides edocere. Nam hi incurabiles cum sint, celantes errorem suum, pas-

πτοντες τὴν ἑαυτῶν πλάνην, περιέρχονται, καθὰ μεμαθήκαμεν, τὰς τῶν ἁπλουστέρων ψυχὰς ἐκταράττοντες καὶ σκανδαλίζοντες καὶ ἐναντία τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας B λέγοντες. ἀναγκαῖον τοίνυν ἐνομίσαμεν καταλῦσαι μὲν τὰς τῶν αἱρετικῶν ψευδολογίας, σαφηνίσαι δὲ πᾶσιν ὅπως δοξάζει ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. κηρύττουσι δὲ οἱ αὐτῆς ὁσιώτατοι ἱερεῖς, οἷς καὶ ἡμεῖς ἑπόμενοι φανερὰ καθιστῶμεν τὰ περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, οὐ καινίζοντες πίστιν, μὴ γένοιτο, ἀλλ' ἐλέγχοντες τὴν μανίαν τῶν φρονούντων τὰ τῶν ἀσεβῶν αἱρετικῶν, ὅπερ καὶ ἤδη ἐν τοῖς προοιμίοις τῆς ἡμετέρας βασιλείας πράξαντες πᾶσι κατάδηλον ἐποιήσαμεν. C

Πιστεύομεν γὰρ εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ εἰς τὸ ἅγιον πνεῦμα, μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦντες, μίαν θεότητα, μίαν δύναμιν, τριάδα ὁμοούσιον. ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν R 790 ὁμολογοῦμεν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, τὸν ἐκ V 273 θεοῦ ἀληθινοῦ, τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα, τὸν συναΐδιον τῷ πατρί, τὸν ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου D καὶ τῆς ἁγίας ἐνδόξου ἀειπαρθένου καὶ θεοτόκου Μαρίας καὶ ἐνανθρωπήσαντα σταυρόν τε ὑπομεῖναι ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου

3. καὶ prius addidi ex Cod. 4. παραλῦσαι P sola. 7. αὐτῆς] αὐτοὶ V. 15. δὲ om. P. 18. οὗ τὰ] οὗ P.

sim circumeunt, (sicut didicimus) et simpliciorum animos exturbant et scandalizant, ea astruentes, quae sunt sanctae Catholicae Ecclesiae contraria. Necessarium igitur esse putavimus, tam haereticorum vaniloquia et mendacia dissipare, quam omnibus insinuare, quomodo aut sentiat sancta Dei, et Catholica et Apostolica Ecclesia, aut praedicent sanctissimi ejus Sacerdotes: quos et nos secuti, manifesta constituimus ea, quae fidei nostrae sunt: non quidem innovantes fidem (quod absit) sed coarguentes eorum insaniam, qui eadem cum impiis haereticis sentiunt. Quod quidem et nos in nostri imperii primordiis pridem satagentes cunctis fecimus manifestum."

„Credimus itaque in unum Deum Patrem omnipotentem, et in unum Dominum Jesum Christum filium Dei, et in Spiritum sanctum, unam essentiam in tribus hypostasibus, sive subsistentibus personis, adorantes unam Deitatem, unam Potestatem, Trinitatem consubstantialem. In ultimis autem diebus confitemur Dominum nostrum Jesum Christum unigenitum Dei Filium ex Deo vero Deum verum, ante saecula, et sine tempore ex patre natum: coaeternum patri, ex quo omnia, et per quem omnia, qui descendit de coelis, incarnatus de Spiritu sancto, et sancta gloriosa et semper Virgine Maria, et inhumanatus, sive homo factus est, et passus crucem pro nobis sub Pontio Pilato, sepultus est, et resurrexit ter-

Πιλάτου καὶ ταφῆναι καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ, ἑνὸς καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκί, γινώσκοντες. οὐ γὰρ ἄλλον τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ἐπιστάμεθα, τὸν ἕνα καὶ τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀν- P 343 *θρωπότητα, τὴν δὲ καθ' ὑπόστασιν ἑνότητα δεχόμεθα καὶ ὁμολογοῦμεν. ἔμεινε γὰρ τριὰς ἡ τριὰς καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς τριάδος θεοῦ λόγου· οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπιδέχεται ἡ ἁγία τριάς. τούτων τοίνυν οὕτως ἐχόντων, ἀναθεματίζομεν πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ τοὺς τὰ αὐτοῦ φρονήσαντας ἢ φρονοῦντας, τοὺς διαιροῦντας τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, καὶ μὴ ὁμολογοῦντας κυρίως καὶ κατὰ ἀλήθειαν τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν θεοτόκον, τουτέστι μητέρα θεοῦ, ἀλλὰ δύο υἱοὺς λέγοντας, ἄλλον μὲν τὸν ἐκ* B *πατρὸς θεὸν λόγον, ἄλλον δὲ τὸν ἐκ τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτόκου Μαρίας, χάριτι δὲ καὶ σχέσει καὶ οἰκειώσει τῇ πρὸς τὸν θεὸν λόγον καὶ θεὸν αὐτὸν γεγενῆσθαι ἀρνουμένους, καὶ μὴ ὁμολογοῦντας τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ σταυρωθέντα ἕνα εἶναι τῆς ὁμοουσίου τριάδος. οὗτος γὰρ μόνος*

2. *τοῦ αὐτοῦ*] *αὐτοῦ* P. 4. *τὸν αὐτὸν*] *αὐτὸν* P. 10. *τὸν* om. P. *ib.* *ἀνθρωπολάτριν* PV. Illud Cod. 14. *ἀειπαρθένον* om. P. 18. *γεγεννῆσθαι* V.

tio die. Unius ac ejusdem passiones et miracula, quae sponte pertulit in carne, agnoscentes. Non enim alium Deum Verbum, et alium Christum novimus, sed unum et eundem, consubstantialem Patris secundum Deitatem, et consubstantialem nobis secundum humanitatem. Ut enim est in Divinitate perfectus, ita idem ipse et perfectus est in humanitate. Nam ejus secundum hypostasim seu secundum personam unitatem suscipimus, et confitemur: mansit enim Trinitas Trinitas, et post incarnatum unum ex Trinitate Dei Verbum: neque enim quartae personae adjectionem admittit sancta Trinitas. His ita se habentibus, anathematizamus omnem haeresin, praecipue vero *Nestorium* anthropolatram, et qui eadem cum ipso sentiunt, vel senserunt, qui dividunt unum Dominum nostrum Jesum Christum Filium Dei, et Deum nostrum, et qui non confitentur proprie, et secundum veritatem sanctam gloriosam, et semper Virginem Mariam Theotocon seu Deiparam, id est, Dei matrem: sed qui duos Filios dicunt, unum ex Deo Patre Deum Verbum, alterum ex sancta semper virgine Deipara Maria, gratia et habitudine, et propinquitate, quam cum Deo Verbo habet, natum esse: et qui negant, nec confitentur Dominum nostrum Jesum Christum Filium Dei, et Deum nostrum incarnatum, et hominem factum, et crucifixum, unum esse ex sancta, et

ἐστὶν ὁ συμπροσκυνούμενος καὶ συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι.

Ἀναθεματίζομεν δὲ καὶ Εὐτυχέα τὸν φρενοβλαβῆ καὶ τοὺς τὰ αὐτοῦ φρονήσαντας ἢ φρονοῦντας, τοὺς φαντασίαν εἰσάγον- C
τας, ἀρνουμένους δὲ τὴν ἐκ τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτό- R 792
κου Μαρίας ἀληθινὴν σάρκωσιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν τὴν ἡμετέραν σωτηρίαν, καὶ μὴ ὁμολογοῦντας αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα. τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀπολλινάριον τὸν ψυχοφθόρον καὶ τοὺς τὰ αὐτοῦ φρονήσαντας ἢ φρονοῦντας τοὺς ἄνθρωπον μόνον λέγοντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, καὶ σύγχυσιν ἤτοι φυρμὸν εἰσάγοντας τῇ ἐνανθρωπήσει τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, καὶ πάντας τοὺς τὰ αὐτῶν φρο- D
νήσαντας ἢ φρονοῦντας.

Τὸ ἴσον δὲ τούτου οἱ ἐπίσκοποι πάντες ἔλαβον ἐν ταῖς ἰδίαις πόλεσι, καὶ προέθηκαν ἐν ταῖς ἐκκλησίαις.

Ἰνδ. ιβʹ. ζʹ. ὑπ. Ἰουστινιανοῦ Αὐγούστου τὸ εʹ καὶ Παυ- V 274
λίνου.

Ἐπὶ τούτων τῶν ὑπάτων ὁ Ἰουστινιανὸς κῶδιξ ἀνενεώθη, προστεθεισῶν αὐτῷ καὶ τῶν μετ᾽ αὐτὸν διατάξεων. καὶ ἐκελεύ- P 344

10. *φρονοῦντας ἢ φρονήσαντες* P. *ib.* *ἀνθρώπων* P. 12. *ἀνθρωπήσει* P.

consubstantiali Trinitate. Ipse enim solus est coadorandus et conglorificandus Patri et sancto Spiritui."

A. C. [Ol. Iph.]

„Anathematizamus insuper, et *Eutychem*, mentę captum, et qui cum eo sentiunt, aut senserunt, qui phantasiam introducunt, negantque veram nativitatem, seu generationem Domini, et Salvatoris nostri Jesu Christi ex sancta Virgine et Deipara, hoc est, nostram salutem, et qui non confitentur ipsum consubstantialem Patri secundum Deitatem, et consubstantialem nobis secundum humanitatem. Similiter autem anathematizamus, et *Apollinarium* psychophthoron, sive animicidam, et qui cum eo sentiunt, vel senserunt, qui dicunt inanimem, hoc est animae humanae expertem, esse Dominum nostrum Jesum Christum Filium Dei, et Deum nostrum, et qui confusionem, aut conturbationem introducunt, et invehunt in unigeniti Dei Filii inhumanationem sive humanitatem: et omnes postremo, qui eadem cum ipso senserunt, aut sentiunt."

Exemplum autem hujus edicti omnes Episcopi in suis civitatibus acceperunt, et in Ecclesiis suis promulgarunt.

534. VII. Ind. XII. Justiniano Augusto V. et Paulino Coss. 2. 6042.

His Coss. renovatus est Justinianus Codex, eidem adjunctis post illius editionem factis constitutionibus: jussumque est, ut priore illa edi-

σθη τῆς προτέρας ἐκδόσεως σχολαζούσης αὐθεντεῖσθαι ἀπὸ τῆς πρὸ δ′ καλανδῶν ἰανουαρίων ἰνδικτιῶνος ιγ′.

Ἰνδ. ιγ′. η′. ὑπ. Βηλισαρίου μόνου.

τκθ′ Ὀλυμπιάς.

Ἰνδ. ιδ′. θ′. ὑπ. Βηλισαρίου μόνου.
Ἰνδ. ιε′. ι′. ὑπ. Βηλισαρίου τὸ β′ μόνου.
Ἰνδ. α′. ια′. ὑπ. Ἰωάννου μόνου.
Ἰνδ. β′. ιβ′. ὑπ. Ἀπίωνος, υἱοῦ Στρατηγίου, μόνου.

B τλ′ Ὀλυμπιάς.

Ἰνδ. γ′. ιγ′. ὑπ. Ἰουστίνου νέου μόνου.
Ἰνδ. δ′. ιδ′. ὑπ. Βασιλείου μόνου.
Ἰνδ. ε′. ιε′. μετὰ ὑπ. Βασιλείου μόνου.
Ἰνδ. ϛ′. ιϛ′. μετὰ ὑπ. Βασιλείου τὸ β′ μόνου.

τλα′ Ὀλυμπιάς.

Ἰνδ. ζ′. ιζ′. μετὰ ὑπ. Βασιλείου τὸ γ′ μόνου.
Ἰνδ. η′. ιη′. μετὰ ὑπ. Βασιλείου τὸ δ′ μόνου.
C Ἰνδ. θ′. ιθ′. μετὰ ὑπ. Βασιλείου τὸ ε′ μόνου.

3. Βελισ. P. *ib.* μόνου] μόνου α′ P. 5. μόνου] μόνου β′ P. 6. τὸ β′ μόνου] μόνου γ′ P. 12. μόνου α′ P. 13. τὸ β′ μόνου] μόνου β′ P, et sic deinceps praeter p. seq. v. 8., ubi consentit cum V.

tione antiquata, vim et auctoritatem obtineret ab a. d. IV. Kal. Jan. Indictionis XIII.

A. C.				[Ol. Iph.]
535.	VIII.	Ind. XIII.	Bilisario solo Cos.	3.
			CCCXXIX. Olympias.	
536.	IX.	Ind. XIV.	Bilisario II. solo Cos.	4.
537.	X.	Ind. XV.	Bilisario III. solo Cos.	1. 329.
538.	XI.	Ind. I.	Joanne solo Cos.	2.
539.	XII.	Ind. II.	Apione, filio Strategii, solo Cos.	3.
			CCCXXX. Olympias.	
540.	XIII.	Ind. III.	Justino Juniore solo Cos.	4.
541.	XIV.	Ind. IV.	Basilio solo Cos.	1. 330.
542.	XV.	Ind. V.	Post Consulatum Basilii I. solius.	2.
543.	XVI.	Ind. VI.	Post Cons. Basilii II. solius.	3.
			CCCXXXI. Olympias.	
544.	XVII.	Ind. VII.	Post Cons. Basilii III. solius.	4.
545.	XVIII.	Ind. VIII.	Post Cons. Basilii IV. solius.	1. 331.
546.	XIX.	Ind. IX.	Post Cons. Basilii V. solius.	2.

Ἰνδ. ι'. κ'. μετὰ ὑπ. Βασιλείου τὸ ϛ' μόνου.

τλβ' Ὀλυμπιάς. R 794

Ἰνδ. ια'. κα'. μετὰ ὑπ. Βασιλείου τὸ ζ' μόνου.
Ἰνδ. ιβ'. κβ'. μετὰ ὑπ. Βασιλείου τὸ η' μόνου.
Ἰνδ. ιγ'. κγ'. μετὰ ὑπ. Βασιλείου τὸ θ' μόνου.
Ἰνδ. ιδ'. κδ'. μετὰ ὑπ. Βασιλείου τὸ ι' μόνου.

τλγ' Ὀλυμπιάς. D

Ἰνδ. ιε'. κε'. μετὰ ὑπ. Βασιλείου τὸ ια' μόνου.

Τούτῳ τῷ κε' ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας μετὰ τὴν ὑπατείαν Φλ. Βασιλείου τὸ ια' μόνου γέγονεν ἡ ε' σύνοδος ἐν Κωνσταντινουπόλει κατὰ τῶν δυσσεβῶν καὶ μυσαρῶν καὶ ἀκαθάρτων καὶ ἀλλοτρίων τοῦ χριστιανισμοῦ ἑλληνικῶν δογμάτων Ὠριγένους καὶ Διδύμου καὶ Εὐαγρίου τῶν θεομάχων καὶ Θεοδώρου τοῦ δυσσεβοῦς καὶ τῶν Ἰουδαϊκῶν αὐτοῦ συγγραμμάτων καὶ τῆς ἀκαθάρτου ἐπιστολῆς τῆς πρὸς Μάριν τὸν Πέρσην Ἴβα λεγομένης καὶ τῶν μωρῶν συγγραμμάτων Θεοδωρήτου τῶν κατὰ τῶν ιβ' κεφαλαίων Κυρίλλου τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ διδασκάλου. P 345

Ἐν ὀνόματι τοῦ θεοῦ καὶ πατρὸς καὶ τοῦ μονογενοῦς αὐτοῦ V 275 υἱοῦ Ἰησοῦ Χριστοῦ κυρίου ἡμῶν καὶ τοῦ ἁγίου πνεύματος

9. κε' om. P. 10. Φλ. VP sola, φιλοχρίστου m. V, R. 15. *Μάρην* PV. Conf. p. 294. A, 362. A. 16. κατὰ ιβ' R. 18. Praeponit P *Πρόγραμμα, ἤτοι διδασκαλία καὶ ἔκδοσις ἀκριβὴς περὶ τῆς ἀμωμήτου καὶ ὀρθοδόξου πίστεως ἡμῶν τῶν χριστιανῶν*, quae V habet in m. ab alia manu.

547. XX. Ind. X. Post Cons. Basilii VI. solius. 3.

CCCXXXII. Olympias.

548. XXI. Ind. XI. Post Cons. Basilii VII. solius. 4.
549. XXII. Ind. XII. Post Cons. Basilii VIII. solius. 1. 332.
550. XXIII. Ind. XIII. Post Cons. Basilii IX. solius. 2.
551. XXIV. Ind. XIV. Post Cons. Basilii X. solius. 3.

CCCXXXIII. Olympias.

552. XXV. Ind. XV. Post Cons. Basilii XI. solius. 4.

Hoc anno imperii Justiniani, post Consulatum Fl. Basilii XI. solius, celebrata est Synodus Constantinopoli contra impia, execranda, impura, et a Christiana religione prorsus aliena pagana dogmata Origenis ac Didymi et Evagrii, perduellium Dei, et Theodori impii, ac illius scripta Judaica, et impuram Epistolam ad Maren Persam Iba dictam, ac inepta Theodoreti scripta adversus XII. capita Cyrilli sanctissimi Patris nostri et Doctoris.

Edictum, sive Doctrina et accurata expositio immaculatae ac rectae fidei nostrae Christianae.

In nomine Dei et Patris, et unigeniti ipsius Filii Jesu Christi Domini nostri, et sancti Spiritus, Imperator Caesar Christi amans, Justinia-

B αὐτοκράτωρ, Καῖσαρ, Φλ. Ἰουστινιανός, Ἀλαμανικός, Γοτθικός, Φραγκικός, Γερμανικός, Ἀντικός, Ἀλανικός, Οὐανδαλικός, Ἀφρικανός, εὐσεβής, εὐτυχής, ἔνδοξος, νικητής, τροπαιοῦχος, ἀεισέβαστος, Αὔγουστος, παντὶ τῷ πληρώματι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

Εἰδότες ὡς οὐδὲν οὕτω θεραπεύει τὸν φιλάνθρωπον θεὸν ὡς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν πάντας τοὺς χριστιανοὺς περὶ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν καὶ μὴ εἶναι σχίσματα ἐν τῇ ἁγίᾳ
R 796 C τοῦ θεοῦ ἐκκλησίᾳ, ἀναγκαῖον ἡγησάμεθα πᾶσαν πρόφασιν ἀναιροῦντες τοῖς σκανδαλιζομένοις ἢ σκανδαλίζουσι τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν τὴν ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ κηρυττομένην φανερὰν διὰ τοῦ παρόντος ἠδίκτου ποιήσασθαι πρὸς τὸ καὶ τοὺς τὴν ὀρθὴν πίστιν ὁμολογοῦντας ἐν βεβαίῳ ταύτην φυλάττειν καὶ τοὺς πρὸς ταύτην φιλονεικοῦντας μανθάνοντας τὴν ἀλήθειαν σπουδάσαι ἑνωθῆναι τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ.

Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα ἤτοι φύσιν καὶ οὐσίαν
D καὶ δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν ἤτοι προσώποις δοξάζοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ οἷς συντετάγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. μονάδα γὰρ ἐν τριάδι καὶ τριάδα ἐν μονάδι προσκυνοῦμεν, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν.

1. φιλόχριστος P. Φλ. V, alterum in margine ponens. *ib.* Γοθικός, Φραγικός V.

nus*, *Alamanicus*, *Gotthicus*, *Francicus*, *Germanicus*, *Anticus*, *Alanicus*, *Wandalicus*, *Africanus*, *Pius*, *Felix*, *Inclytus*, *Victor*, *Triumphator*, *Semper venerabilis*, *Augustus*, *universo coetui Catholicae et Apostolicae Ecclesiae.

„Scientes quod nihil aliud sic potest misericordem Deum placare, quam ut omnes Christiani unum idemque sapiant in recta et immaculata fide, nec sint dissensiones in sancta Dei Ecclesia: necessarium putavimus, omnem occasionem interimentes eis qui scandalizantur, vel qui scandalizant, rectae fidei confessionem, quae in sancta Dei Ecclesia praedicatur, praesenti edicto facere manifestam: ut et illi qui rectam fidem confitentur, firmiter eam custodiant: et illi qui adversus eam contendunt, discentes veritatem, festinent semetipsos unire sanctae Dei Ecclesiae."

„Confitemur igitur credere in Patrem, et Filium, et Spiritum sanctum, Trinitatem consubstantialem, unam Deitatem, sive naturam et substantiam et virtutem et potestatem in tribus subsistentiis sive personis adorantes, in quibus baptizati sumus, in quas credimus, in quibus confessionem dedimus, proprietates quidem separantes, Deitatem autem unientes. Unitatem enim in Trinitate, et Trinitatem in unitate adoramus, mirabilem habentem et divisionem et unitionem: unitatem quidem, secun-

in quae credimus, in qua baptizati sumus,

μονάδα μὲν κατὰ τὸν τῆς οὐσίας, ἤγουν θεότητος λόγον, τριά-
δα δὲ κατὰ τὰς ἰδιότητας, ἤγουν ὑποστάσεις ἤτοι πρόσωπα.
διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵνα οὕτως εἴπωμεν, καὶ συνάπτεται
διῃρημένως. ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν, ἐν οἷς P 346
ἡ θεότης, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης, θεὸν ἕκα-
στον, ἂν θεωρεῖται μόνον, τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα, θεὸν
τὰ τρία μετ' ἀλλήλων νοούμενα τῷ αὐτῷ τῆς κινήσεως καὶ τῆς
φύσεως. ἐπειδὴ χρὴ καὶ τὸν ἕνα θεὸν ὁμολογεῖν καὶ τὰς τρεῖς
ὑποστάσεις κηρύττειν, ἤγουν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ
τῆς ἰδιότητος, καὶ οὔτε τὴν ἕνωσιν σύγχυσιν ἐργαζόμεθα κατὰ
Σαβέλλιον, ἓν πρόσωπον τριώνυμον λέγοντα τὴν τριάδα, τὸν V 276
αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, οὔτε διαιροῦντες ἀλ-
λοτριοῦμεν τῆς τοῦ θεοῦ πατρὸς οὐσίας τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ B
ἅγιον, κατὰ τὴν Ἀρείου μανίαν εἰς τρεῖς διαφόρους οὐσίας κατα-
τέμνοντες τὴν θεότητα.

Εἷς τοίνυν θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς υἱὸς
μονογενής, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάν-
τα. ὁμολογοῦμεν δὲ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, θεὸν
λόγον τὸν πρὸ αἰώνων, καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα,
οὐ ποιηθέντα, ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς καὶ διὰ τὴν R 798
ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα
ἐκ πνεύματος ἁγίου καὶ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρ- C

7. *τῷ τ' αὐτῷ* V. 8. *ὁμολογεῖν* om. P. 10. *μετὰ Σαβελλίου* P.
16. *εἷς*] *εἰ* in codice invenerat Raderus. 20. *τῶν* om. P.

dum rationem substantiae seu Deitatis: Trinitatem autem, secundum — et quibus
proprietates, vel subsistentias, sive personas. Dividitur enim sine divi- — conf.
sione, (ut sic dicamus) et conjungitur divise. Unum enim est Deitas in
tribus, et tria unum, in quibus Deitas est: aut (ut subtilius dicamus)
ipsa tria est Deitas, quae tria Deus Pater, Deus Filius, Deus Spiritus — quae tria,
sanctus, cum unaquaeque persona solum intelligitur, mente separante in- — *desunt in*
separabilia, et tria unus Deus, cum simul intelliguntur propter eamdem — *cod. Colb.*
virtutem, eamdemque naturam: quoniam oportet et unum Deum confiteri,
et tres subsistentias praedicare, seu tres personas, et unamquamque cum
sua proprietate. Et unitatem confitentes, confusionem non facimus se-
cundum Sabellium, dicentem, Trinitatem unam esse personam trinomium — trionymum
eumdem Patrem, et Filium, et Spiritum sanctum: nec dividentes proprie-
tates, alienamus a Dei Patris substantia Filium et Spiritum sanctum, se- — Arrii
cundum Arii furorem, in tres diversas naturas incidentes Deitatem." — incidentis.

„Unus igitur Deus Pater, ex quo omnia: et unus unigenitus Filius,
per quem omnia: et unus Spiritus sanctus, in quo omnia. Confitemur
autem ipsum unigenitum Filium Dei, Deum Verbum, ante saecula et sine
tempore ex Patre natum, non factum, in ultimis diebus propter nos et
propter nostram salutem descendisse de coelis, et incarnatum esse ex

θένου Μαρίας καὶ γεννηθέντα ἐξ αὐτῆς, ὅς ἐστιν κύριος Ἰησοῦς Χριστός, εἷς τῆς ἁγίας τριάδος, ὁμοούσιος τῷ θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, παθητὸς σαρκί, ἀπαθὴς ὁ αὐτὸς θεότητι. οὔτε γὰρ ἕτερός τίς ἐστιν παρὰ τὸν λόγον ὁ τὸ πάθος καὶ τὸν θάνατον ἀναδεδεγμένος, ἀλλ' αὐτὸς ὁ ἀπαθὴς καὶ ἀΐδιος τοῦ θεοῦ λόγος γεννήσεως σαρκὸς ἀνθρωπίνης ἀνασχόμενος τὰ πάντα πεπλήρωκεν. διὸ οὐκ ἄλλον τὸν θεὸν λόγον τὸν θαυματουργήσαντα καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν
D αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκί, ὁμολογοῦμεν. οὔτε γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν, ἀλλ' αὐτὸς ὁ λόγος τὸ ἴδιον σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίστις καὶ ἡ ἐλπὶς ἡμῶν ᾖ, ἀλλ' εἰς αὐτὸν τὸν θεὸν λόγον τὴν ἡμετέραν πίστιν ἔχωμεν. καὶ θεὸν τοίνυν αὐτὸν ὁμολογοῦντες οὐκ ἀθετοῦμεν τὸ εἶναι αὐτὸν καὶ ἄνθρωπον, καὶ ἄνθρωπον λέγοντες
P 347 αὐτὸν οὐκ ἀρνούμεθα τὸ εἶναι αὐτὸν καὶ θεόν. εἰ γὰρ θεὸς μόνον ἦν, πῶς ἔπασχεν, πῶς ἐσταυροῦτο καὶ ἀπέθνησκεν; ἀλλότρια γὰρ ταῦτα θεοῦ. εἰ δὲ ἄνθρωπος μόνον, πῶς διὰ τοῦ πάθους ἐνίκα, πῶς ἔσωζε, πῶς ἐζωοποίει; ταῦτα γὰρ ὑπὲρ ἄνθρωπον ἦν. νῦν δὲ ὁ αὐτὸς πάσχει καὶ σώζει, καὶ διὰ τοῦ πά-

22. ὁ om. P.

Spiritu sancto, et sancta gloriosa Dei genitrice semper Virgine Maria, et natum ex ipsa, qui est Dominus Jesus Christus, unus de sancta Trinitate, consubstantialis Deo Patri secundum Deitatem, et consubstantialis nobis idem ipse secundum humanitatem, passibilis carne, impassibilis idem ipse Deitate. Non enim alius quidam est praeter Deum Verbum, qui passionem et mortem suscepit: sed ipse impassibilis et sempiternus Deus Verbum generationem carnis humanae sustinere dignatus, implevit omnia. Ideo non alium Deum Verbum esse qui miracula operatus est, et alium Christum qui passus est, cognoscimus: sed unum eundemque Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum, et hominem factum, et ejusdem ipsius miracula et passiones, quas carne voluntarie sustinuit, confitemur. Non enim homo aliquis pro nobis semetipsum dedit, sed ipse Deus Verbum suum corpus pro nobis dedit, ne in hominem fides et spes nostra sit, sed in ipsum Deum Verbum nostram fidem habeamus. Et Deum igitur eum confitentes, non abnegamus ipsum esse et hominem: et hominem dicentes eum, non abnegamus ipsum esse et Deum. Si enim Deus tantummodo esset, quomodo patiebatur? quomodo crucifigebatur et moriebatur? Aliena enim ista sunt Deo. Sin autem homo solum, quomodo per passionem vincebat? quomodo salvos faciebat? quomodo vivificabat? Haec enim supra hominis naturam erant. Nunc au-

θους νικᾷ, ὁ αὐτὸς θεός, ὁ αὐτὸς ἄνθρωπος, τὸ συναμφότερον, οὕτως ἓν ἑκάτερον ὡς μόνον. ὅθεν ἐξ ἑκατέρας φύσεως, τουτέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος ἕνα Χριστὸν σύνθετον λέγοντες σύγχυσιν τῇ ἑνώσει οὐκ ἐπεισάγομεν, καὶ ἐν ἑκατέρᾳ δὲ B *φύσει, τουτέστιν ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι, τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα γινώσκοντες, καὶ διαίρεσιν μέν τινα ἀμερὸς ἢ τομὴν οὐκ ἐπιφέρομεν τῇ μιᾷ αὐτοῦ ὑποστάσει, τὴν δὲ διαφορὰν* R 800 *τῶν φύσεων ἐξ ὧν καὶ συνετέθη σημαίνομεν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν, ἐπειδὴ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ. συνθέσεως γὰρ ὁμολογουμένης, καὶ τὰ μέρη ἐν τῷ ὅλῳ ὑπάρχει καὶ τὸ ὅλον* V 277 *ἐν τοῖς μέρεσι γινώσκεται. οὔτε γὰρ ἡ θεία φύσις εἰς τὴν ἀνθρωπίνην μετεβλήθη οὔτε δὲ ἡ ἀνθρωπίνη φύσις εἰς τὴν* C *θείαν ἐτράπη, νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ τε καὶ λόγῳ, πεπρᾶχθαί φαμεν τὴν ἕνωσιν καθ᾽ ὑπόστασιν. ἡ δὲ καθ᾽ ὑπόστασιν ἕνωσις δηλοῖ ὅτι ὁ θεὸς λόγος, τουτέστιν ἡ μία ὑπόστασις, ἐκ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων οὐ προϋποστάντι ἀνθρώπῳ ἡνώθη, ἀλλ᾽ ἐν τῇ γαστρὶ τῆς ἁγίας παρθένου ἐδημιούργησεν ἐν ἑαυτῷ ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ ἐστὶν φύσις ἀνθρωπίνη. ταύτην*

2. οὕτως] ὡς P. 4. δὲ om. P. 7. *ἀμερὲς* P, *ἀνὰ μέρος* m. P. 8. *αὐτοῦ θεοῦ* P, *αὐτοῦ τοῦ θεοῦ* R. 9. *καὶ* om. P. 13. *δὲ* om. P. 20. *ἐμψυχομένην* P. *ἐχομένην* apographum Leonclavii Iuris Graecor. vol. I. p. 523.

tem idem ipse patitur, et salvos facit, et per passionem vincit, idem ipse Deus, ipse homo, utrumque tamquam unum, utrumque tamquam solum. Unde ex utraque natura, id est, ex Deitate et humanitate unum Christum compositum dicentes, confusionem unitioni non introducimus. Et in utraque autem natura, id est, in Divinitate et humanitate, unum Dominum nostrum Jesum Christum Dei Verbum incarnatum, et hominem factum cognoscentes, divisionem quidem per partes, vel incisionem non inferimus uni ejus subsistentiae: differentiam autem naturarum, ex quibus compositus est, significamus, non interemptam propter unitatem, quoniam utraque natura in ipso est. Cum enim compositionem dicamus, necesse est confiteri et partes in toto esse, et totum in partibus cognosci. Nec enim divina natura in humanam transmutata est, nec humana natura in divinam conversa est. Magis autem intelligitur, quod utraque in proprietate et ratione suae naturae manente, facta est unitas secundum subsistentiam. Unitas autem secundum subsistentiam significat, quod Deus Verbum, id est, una subsistentia ex tribus Deitatis subsistentiis, non ante plasmato homini unitus est, sed in utero sanctae Virginis creavit sibi ex ipsa in sua subsistentia carnem animatam anima rationali et intellectuali, quod est natura humana. Hanc autem secundum subsistentiam unitatem

D δὲ τὴν καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ἕνωσιν
διδάσκων ἡμᾶς καὶ ὁ θεῖος ἀπόστολος λέγει, Ὃς ἐν μορφῇ θεοῦ
ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν
ἐκένωσε, μορφὴν δούλου λαβών. διὰ γὰρ τοῦ εἰπεῖν Ὃς ἐν μορ-
φῇ θεοῦ ὑπάρχων τὴν τοῦ λόγου ὑπόστασιν ὑπάρχουσαν ἔδειξεν
ἐν οὐσίᾳ θεοῦ, διὰ δὲ τοῦ εἰπεῖν Μορφὴν ἔλαβεν οὐσίᾳ ἀνθρώ-
που, καὶ οὐχ ὑποστάσει ἤτοι προσώπῳ ἑνωθῆναι τὸν θεὸν λόγον
ἐσήμανεν. οὔτε γὰρ εἶπεν Τὸν ἐν μορφῇ δούλου ὑπάρχοντα ἔλα-
βεν, ἵνα μὴ προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι δείξῃ τὸν λόγον,
P 348 καθὼς Θεόδωρος καὶ Νεστόριος ἀσεβοῦντες ἐβλασφήμησαν, σχε-
τικὴν τὴν ἕνωσιν λέγοντες.

Ἡμεῖς δὲ τῇ θείᾳ γραφῇ καὶ τοῖς ἁγίοις πατράσιν ἑπόμε-
νοι ὁμολογοῦμεν ὅτι ὁ θεὸς λόγος σὰρξ ἐγένετο, ὅπερ ἐστὶ καθ'
ὑπόστασιν ἑαυτῷ ἑνῶσαι φύσιν ἀνθρωπίνην. διὸ καὶ εἷς ὑπάρχει ὁ
κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ἔχων ἐν ἑαυτῷ τὸ τέλειον τῆς
θεϊκῆς φύσεως καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης φύσεως. καὶ
R 802 ἔστιν μονογενὴς μὲν καὶ λόγος, ὡς ἐκ θεοῦ πατρὸς γεννηθείς, καὶ
πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς ὁ αὐτός, ὅτε γέγονεν ἄνθρω-
B πος· ὁ γὰρ υἱὸς τοῦ θεοῦ υἱὸς ἀνθρώπου γέγονεν καὶ μείνας ὅπερ
ἦν οὐ μετέβαλεν ὅπερ γέγονεν. ὅθεν καὶ δύο γεννήσεις τοῦ αὐτοῦ
μονογενοῦς θεοῦ λόγου ὁμολογοῦμεν, τὴν μὲν πρὸ αἰώνων ἐκ τοῦ

2. λέγει] Philip. II. 6. 6. **μορφὴν δούλου ἔλαβεν** P. 15. ὁ om. P. 17. ὁμογενὴς P.

Dei Verbi ad carnem docens nos et divinus Apostolus, dicit: *Qui cum in forma Dei esset, non rapinam arbitratus est, aequalem se esse Deo: sed semetipsum exinanivit, formam servi accipiens.* Per hoc enim quod dixit: *Qui cum in forma Dei esset*, Verbi subsistentiam in natura Dei esse ostendit. Per hoc autem quod dixit: *Formam servi accepit*, naturae hominis, et non subsistentiae sive personae, unitum esse Deum Verbum significavit. Nec enim dixit, quod eum qui in forma servi erat, accepit: ne ante plasmato homini unitum esse Deum Verbum ostenderet, sicut Theodorus et Nestorius impii blasphemaverunt, affectualem dicentes unitatem."

„Nos autem sequentes divinas scripturas et sanctos patres, confitemur quod Deus Verbum caro factus est, quod est secundum subsistentiam sibi unire naturam humanam. Ideo et unus est Dominus noster Jesus Christus, habens in semetipso perfectionem divinae naturae, et perfe-
quidem et ctionem naturae humanae. Et est unigenitus quidem Verbum, utpote ex Deo Patre natus, et primogenitus autem in multis fratribus: idem ipse cum factus est homo (Filius enim Dei, filius hominis factus est) et manens quod erat, non transmutavit quod factus est. Unde et duas nativitates ejusdem ipsius unigeniti Dei Verbi confitemur: ante saecula qui-

πατρὸς ἀσωμάτως, τὴν δὲ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. ὁ γὰρ ἐκ πατρὸς ἐκλάμψας ὑπὲρ ἔννοιαν ἐκ μητρὸς ἀνέτειλεν ὑπὲρ λόγον, καὶ ὢν θεὸς ἀληθὴς ἄνθρωπος γέγονεν ἀληθῶς. διὰ τοῦτο κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον τὴν ἁγίαν ἔνδοξον καὶ ἀειπαρθένον Μαρίαν ὁμολογοῦμεν, οὐχ ὡς τοῦ θεοῦ λόγου τὴν ἀρχὴν ἐξ αὐτῆς λαβόντος, ἀλλ᾽ ὅτι ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ὁ πρὸ τῶν αἰώνων μονογενὴς θεὸς C
λόγος σαρκωθεὶς ἐξ αὐτῆς ἀτρέπτως ἐνηνθρώπησεν, καὶ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ᾽ ἡμῖν, καὶ ἀπαθὴς ὢν θεὸς οὐκ ἀπηξίωσεν παθητὸς εἶναι ἄνθρωπος καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. τοῦτον τὸν ἐν Βηθλεὲμ γεννηθέντα ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα καὶ ὁμοιωθέντα ἀνθρώποις καὶ σταυρωθέντα ὑπὲρ ἀνθρώπων ἐπὶ Ποντίου Πιλάτου ἐκήρυξαν οἱ ἅγιοι ἀπόστολοι αὐτὸν εἶναι θεόν, αὐτὸν ἄνθρωπον, αὐτὸν υἱὸν θεοῦ, αὐτὸν υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, V 278
αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν παθητόν. ὁ γὰρ D
γεννηθεὶς ἄνωθεν ἐκ τοῦ πατρὸς λόγος ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες ἄνωθεν ἐκ δευτέρου γεννηθῶσιν, τουτέστιν ἐκ θεοῦ. αὐτὸς οὖν μητέρα μόνον ἔχει ἐπὶ τῆς γῆς, καὶ ἡμεῖς πατέρα μόνον ἔχομεν ἐν

1. τῶν om. P. 18. τοῦ om. P. 22. τῆς om. P.

dem ex Patre incorporaliter nati, in ultimis autem diebus ejusdem ipsius incarnati et nati de sancta gloriosa Dei genitrice et semper Virgine Maria. Qui enim de Patre splenduit supra intellectum, ex matre ortus est supra rationem. Et cum Deus verus esset, factus est vere homo. Ideo proprie et vere Dei genitricem sanctam gloriosam et semper Virginem Mariam confitemur: non quia Deus Verbum initium ex ipsa accepit, sed quod in ultimis diebus unigenitus Deus Verbum, qui ante saecula erat, incarnatus ex ipsa, immutabiliter homo factus est: et cum invisibilis in suis esset, visibilis factus est in nostris: et cum impassibilis Deus esset, non dedignatus est passibilis esse homo; et immortalis, mortis legibus subjacere. Istum, qui in Bethlehem de semine David natus est secundum carnem, et similis factus hominibus, et crucifixus est pro hominibus sub Pontio Pilato, praedicaverunt sancti Apostoli ipsum esse Deum, ipsum hominem; ipsum Filium Dei, ipsum filium hominis; ipsum de coelo, ipsum de terra; ipsum impassibilem, ipsum passibilem. Deus enim Verbum, qui natus est desursum ex Patre ineffabiliter, inenarrabiliter, incomprehensibiliter, sempiterne, ipse in tempore nascitur deorsum de Virgine Maria, ut illi qui deorsum prius nati sunt, desursum secundo nascerentur, id est, ex Deo. Ipse igitur matrem tantummodo habet super terram, et

οὐρανῷ. λαβὼν γὰρ τὸν θνητὸν πατέρα τῶν ἀνθρώπων τὸν
Ἀδὰμ ἔδωκε τοῖς ἀνθρώποις τὸν ἑαυτοῦ πατέρα ἀθάνατον κατὰ
P 349 τὸ λεγόμενον, Δέδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι.
ὅθεν καὶ θανάτου κατὰ σάρκα γεύεται ὁ υἱὸς τοῦ θεοῦ, διὰ τὸν
σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς αὐ-
τοῦ μεταλάβωσι διὰ τὸν κατὰ πνεῦμα αὐτῶν πατέρα τὸν θεόν.
R 804 αὐτὸς οὖν κατὰ φύσιν υἱός ἐστιν τοῦ θεοῦ, ἡμῶν δὲ κατὰ χάριν.
καὶ πάλιν αὐτὸς κατ᾽ οἰκονομίαν καὶ δι᾽ ἡμᾶς υἱὸς γέγονε τοῦ Ἀδάμ·
ἡμεῖς δὲ κατὰ φύσιν ἐσμεν υἱοὶ τοῦ Ἀδάμ. πατὴρ γὰρ αὐτοῦ
ἐστιν ὁ θεὸς κατὰ φύσιν, ἡμῶν κατὰ χάριν. καὶ θεὸς αὐτοῦ
γέγονε κατ᾽ οἰκονομίαν, διότι ἄνθρωπος· ἡμῶν δὲ κατὰ φύσιν
B δεσπότης ἐστὶ καὶ θεός. καὶ διὰ τοῦτο ὁ λόγος, ὅς ἐστιν υἱὸς
τοῦ πατρός, ἑνωθεὶς σαρκὶ γέγονε σάρξ, ἵνα οἱ ἄνθρωποι ἑνω-
θέντες τῷ πνεύματι γένωνται ἓν πνεῦμα. αὐτὸς οὖν ὁ ἀληθινὸς
υἱὸς τοῦ θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες τὸν ἕνα
φορέσωμεν θεόν, καὶ ἔστιν καὶ μετὰ τὴν ἐνανθρώπησιν εἷς τῆς
ἁγίας τριάδος ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ
Χριστὸς σύνθετος ἐξ ἑκατέρας φύσεως. σύνθετον δὲ τὸν Χρι-
στὸν ὁμολογοῦμεν τῇ τῶν ἁγίων πατέρων ἀκολουθοῦντες διδα-
σκαλίᾳ. ἐπὶ γὰρ τοῦ κατὰ Χριστὸν μυστηρίου ἡ κατὰ σύνθεσιν
ἕνωσις τὴν σύγχυσιν καὶ διαίρεσιν ἀποβάλλεται, καὶ φυλάττει μὲν

1. τὸν alterum om. P. 3. λεγόμενον] Ioan. I. 12. 7. ἡμῶν δὲ] ἡμεῖς P. 17. ὁμογενὴς P, ὁμονογενὴς R. ib. ὁ om. P.

nos tantummodo Patrem habemus in coelo. Cum enim accepisset mortalem patrem hominum Adam, dedit hominibus suum Patrem immortalem, secundum hoc quod dicitur: *Dedit eis potestatem filios Dei fieri.* Unde et mortem secundum carnem gustat Filius Dei, propter carnalem suum patrem, ut filii hominis vitae ejus participes fierent, propter suum secundum spiritum Patrem Deum. Ipse igitur secundum naturam filius est Dei, nos autem secundum gratiam: et iterum ipse secundum dispensationem et propter nos filius fuit Adam, nos autem secundum naturam sumus filii Adam. Pater enim est ejus Deus secundum naturam, noster autem secundum gratiam. Et Deus ei fuit secundum dispensationem, eo quod homo factus est: noster autem secundum naturam Dominus est et Deus. Et ideo Deus Verbum, qui est Filius Dei Patris, unitus carni, factus est caro, ut homines uniti spiritui, fierent unus spiritus. Ipse igitur verus Filius Dei omnes nos indutus est, ut omnes induamur unum Deum. Et est etiam post incarnationem unus de sancta Trinitate, unigenitus Filius Dei Dominus noster Jesus Christus, compositus ex utraque natura. Compositum autem Christum confitemur, sanctorum Patrum doctrinam sequentes. In mysterio enim Christi unitas secundum compositionem, confusionem et divisionem rejecit, et servat quidem utriusque

τὴν ἑκατέρας φύσεως ἰδιότητα, μίαν δὲ ὑπόστασιν ἤτοι πρόσω- C
πον τοῦ θεοῦ λόγου καὶ μετὰ τῆς σαρκὸς δείκνυσι· καὶ ἔστιν εἷς
καὶ ὁ αὐτὸς τέλειος ἐν θεότητι καὶ τέλειος ἐν ἀνθρωπότητι, οὐχ
ὡς ἐν δυσὶν ὑποστάσεσιν ἤτοι προσώποις, ἀλλ' ἐν θείᾳ φύσει
καὶ ἀνθρωπίνῃ γνωριζόμενος, ἵνα εἷς ᾖ τὰ ἑκάτερα τέλειος θεὸς
καὶ τέλειος ἄνθρωπος ὁ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ
εἷς τῆς ἁγίας τριάδος, συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ
πνεύματι. οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπεδέξατο ἡ
ἁγία τριὰς καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς ἁγίας τριάδος θεοῦ λό-
γου. ταύτην τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἁγίων D
πατέρων εἰλήφαμεν, φυλάττομεν, ἐν ᾗ ζῶμεν καὶ πολιτευόμεθα
καὶ ἣν συνέκδημον λάβοιμεν εἰς πατέρα καὶ Χριστὸν τὸν υἱὸν τοῦ
θεοῦ τοῦ ζῶντος καὶ ἅγιον πνεῦμα ὁμολογίαν. ταῦτα οὕτως ὁμο-
λογοῦντες πρὸς ταῖς ἄλλαις τοῦ ἐν ἁγίοις Κυρίλλου περὶ τῆς ὀρ-
θῆς πίστεως διδασκαλίαις καὶ τὸ εἰρημένον παρ' αὐτοῦ μίαν
φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην δεχόμενοι ὁμολογοῦμεν ὅτι R 806
ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης εἷς Χριστὸς ἀπετελέσθη,
καὶ οὐ μία φύσις, καθώς τινες κακῶς τὴν λέξιν ἐκλαμβάνοντες P 350
λέγειν ἐπιχειροῦσιν. ἀμέλει τοι καὶ αὐτὸς ὁ πατήρ, ὁσάκις μίαν V 279
φύσιν εἶπεν τοῦ λόγου σεσαρκωμένην, ἐπὶ τούτου τῷ τῆς φύσεως
ὀνόματι ἀντὶ ὑποστάσεως ἐχρήσατο. καὶ ἐν οἷς λόγοις εἶπεν ταύ-
την τὴν λέξιν, ἐν τοῖς ἐφεξῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐπήγαγεν ποτὲ

2. λόγου om. R. 3. ὁ om. P. 9. θεοῦ om. P. 19. πατήρ] Κύριλλος m. P.

naturae proprietatem; unam autem subsistentiam seu personam Dei Verbi et cum carne ostendit, et est unus idemque perfectus in Deitate, et perfectus in humanitate, non tamquam in duabus subsistentiis sive personis, sed in divina natura et humana cognoscendus, ut unus sit in utraque perfectus Deus et perfectus homo, idem ipse Dominus noster Jesus Christus, unus de sancta Trinitate conglorificandus Patri et sancto Spiritui. Nec enim quartae personae adjectionem suscepit sancta Trinitas et incarnato uno de sancta Trinitate Deo Verbo. Istam igitur bonam traditionem, quam a sanctis Patribus accepimus, custodimus, in qua vivimus et conversamur, et quam, ab hac vita proficiscentes, oramus nobiscum habere, quae est in Patrem et Christum Filium Dei vivi, et sanctum Spiritum confessio. Haec ita confitentes super alias Sancti Cyrilli de fide recta doctrinas, et hoc quod dictum est ab ipso, unam naturam Dei verbi incarnatam, suscipientes, confitemur quod ex divina natura et humana unus Christus effectus est, et non in una natura, prout quidam male intelligentes dictionem conantur dicere. Unde et ipse Pater, quoties unam naturam dixit Verbi incarnatam, in hoc naturae nomine pro subsistentia usus est. Et in quibus libris dixit hanc dictionem, in sequentibus saepius intulit, et quando Filium, et quando Verbum, aut uni-

in *deest*
est quando

μὲν υἱόν, ποτὲ δὲ λόγον ἢ μονογενῆ, ἅπερ οὐ φύσεως, ἀλλ' ὑποστάσεως ἤτοι προσώπου ἐστὶ δηλωτικά. ἡ τοίνυν ὑπόστασις τοῦ λόγου σαρκωθεῖσα οὐ μίαν φύσιν, ἀλλ' ἕνα Χριστὸν σύνθετον ἀπετέλεσεν, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον. θεὸν δὲ καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογοῦντας μίαν φύσιν ἤτοι οὐσίαν ἐπ'
B αὐτῷ λέγειν ἀσεβές. ἀδύνατον γὰρ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν ἤτοι οὐσίαν καὶ πρὸ αἰώνων εἶναι καὶ ἐν χρόνῳ ἢ ἀπαθῆ καὶ παθητόν, ὅπερ ἐπὶ τῆς μιᾶς αὐτοῦ ὑποστάσεως ἤτοι προσώπου ὀρθῶς ὁμολογοῦμεν. ἐξ αὐτῶν δὲ τῶν εἰρημένων τοῦ αὐτοῦ ἐν ἁγίοις Κυρίλλου ἀποδείξομεν τὴν περὶ τῆς εἰρημένης λέξεως σαφεστάτην αὐτοῦ διδασκαλίαν. ἐν γὰρ τῇ πρώτῃ πρὸς Σούκενσον ἐπιστολῇ εἰπὼν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην εὐθὺς ἐπήγαγεν, Οὐκοῦν
C ὅσον μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἴς γε μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασι τίνα τρόπον ἐνηνθρώπηκεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναί φαμεν, ἕνα δὲ υἱὸν καὶ Χριστὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. διὰ τούτων δὲ ὁ πατὴρ τὸν τρόπον τῆς ἐνανθρωπήσεως παραστῆσαι βουλόμενος καὶ τὸ ἀδιαίρετον καὶ ἀσύγχυτον φυλάττων καὶ τὸν ἀριθμὸν τῶν συνελθουσῶν φύσεων ἔδειξε καὶ ἕνα Χριστὸν ἐκήρυξεν, ἀλλ' οὐχὶ μίαν φύσιν θεότητος καὶ σαρκός. καὶ ἐν τῇ δευτέρᾳ δὲ πρὸς

10. ἀποδείξωμεν PV. 14. εἰς γε μονῶς τὸ V, εἴς γε μόνον ὡς τὸ P. Correxi ad exemplum Cyrilli ed. Aubert. vol. V. p. II. Epist. p. I. p. 137. E. 15. ἐνηνθρώπησεν P. 21. δὲ om. P.

Filium, est quando Verbum. qui Deum et hom. Chr. conf.

genitum, quae non naturam, sed subsistentiam seu personam significant. Subsistentia igitur Verbi incarnata non unam naturam, sed unum Christum compositum effecit, eumdem ipsum Deum et hominem. Eos autem qui Christum Deum et hominem confitentur, unam naturam sive substantiam ipsius dicere impium est. Impossibile enim est, Dominum nostrum Jesum Christum secundum unam eamdemque naturam seu substantiam et ante saecula esse, et in tempore, aut impassibilem et passibilem: quod in una subsistentia sive persona ejus recte confitemur. Ex ipsius autem dictis ejusdem Sancti Cyrilli ostendemus de memorata dictione manifestam ipsius doctrinam. In prima enim ad Successum epistola, cum dixisset, unam naturam Dei Verbi incarnatam, statim intulit: Ergo quantum quidem ad intellectum pertinet, et ad videndum tantummodo oculis animae, quemadmodum incarnatus est unigenitus, duas naturas unitas esse dicimus, unum autem filium, et Christum, et Dominum, Dei Patris Verbum incarnatum, et hominem factum.

„Per ista autem Pater modum incarnationis volens manifestare, et indivisam et inconfusam custodiens unitionem, et numerum naturarum quae convenerunt demonstravit, et unum Christum praedicavit, et non unam naturam Deitatis et carnis. Et in secunda ad eumdem Successum

τὸν αὐτὸν Σούκενσον ἐπιστολῇ τὰ παραπλήσια διδάσκων γράφει οὕτως. Εἰ μὲν γὰρ μίαν εἰπόντες τοῦ λόγου φύσιν σεσιγήκαμεν, D οὐκ ἐπενεγκόντες τὸ σεσαρκωμένην, ἀλλ' οἷον ἔξω θέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾶν ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι ἢ τὸ πῶς R 808 ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία. ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην, παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. τοῦ γὰρ ἐκβάλλοντος τὴν οἰκονομίαν καὶ ἀρνουμένου τὴν σάρκωσιν ἦν τὸ ἐγκαλεῖσθαι δικαίως ὡς ἀφαιρουμένου τὸν υἱὸν τῆς τελείας ἀνθρωπότητος. εἰ δέ, ὡς ἔφην, ἐν τῷ σεσαρ- P 351 κῶσθαι λέγειν αὐτὸν σαφής ἐστιν καὶ ἀναμφίβολος ὁμολογία τοῦ ὅτι γέγονεν ἄνθρωπος, οὐδὲν κωλύει νοεῖν ὡς εἷς ὑπάρχων καὶ μόνος υἱὸς ὁ Χριστὸς ὁ αὐτὸς θεός ἐστι καὶ ἄνθρωπος, ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος. ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, καθ' ὃ νοεῖται καὶ ἔστι θεός, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει. δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατὰ ἀλήθειαν υἱῷ, καὶ τὸ μὴ πάσχειν θεϊκῶς καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ.

3. ἐξωθέντες PV. 4. ἀπειθανὸς P. 10. ἦν δικαίως RV, ἦν τὸ ἐγκαλεῖσθαι δικαίως P. Conf. Cyrillus p. 144. A. 16. συνετῶς ἡ σὴ] συνετωσησ ἡ V, συνεστώσης ἡ R. 20. ἑνὶ υἱῷ P sola. ib. υἱῷ, καὶ τὸ restitui ex Cyrillo, τὸ καὶ PV. 21. γὰρ αὐτοῦ P, γὰρ αὐτὴ R.

epistola similia docens, ita scribit: Nam siquidem unam dicentes Verbi naturam tacuissemus, non inferentes, Incarnatam, sed quasi extra ponentes dispensationem; erat illis forsitan et verisimilis ratio confingentibus interrogare, ubi perfectio in humanitate, vel quomodo subsistit humana substitit nostra substantia? Quoniam autem et perfectio in humanitate, et nostrae substantiae demonstratio introducta est, dicendo, Incarnatam; cessent arundineam virgam sibi supponentes. Ejicientem enim dispensationem, et abnegantem incarnationem, oportebat juste accusari, auferentem a Filio perfectam humanitatem. Sin autem (ut dixi) incarnatum esse dicendo ipsum, manifesta est et indubitabilis confessio, quod factus est homo; nihil jam prohibet intelligere, quia cum unus sit et solus filius Christus, idem ipse Deus est et homo, sicut in Deitate perfectus, ita et in humanitate perfectus. Rectissime autem et nimis prudenter tua Perfectio de salutari passione rationem exponit, non ipsum unigenitum Filium Dei, secundum quod intelligitur et est Deus, passim esse in sua natura quae sunt corporis affirmans, magis autem passum esse terrena natura. Oportet enim necessario utraque servari uni et vero Filio, et non pati secundum Deitatem, et dici passum esse eumdem ipsum secundum

V 280 B *Καὶ ἐν τῷ τρισκαιδεκάτῳ δὲ κεφαλαίῳ τῶν σχολίων ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ὁμοίως ἀποβαλλόμενος τούς τε δύο υἱοὺς εἰσάγοντας τούς τε μίαν φύσιν λέγοντας θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ γράφει οὕτως. Οὐ διοριστέον οὖν ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς καὶ θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον Ἰησοῦν Χριστόν φαμεν, τὴν τῶν φύσεων εἰδότες διαφορὰν καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς.*

Εἰ τοίνυν, καθὼς διδάσκει ὁ ἐν ἁγίοις Κύριλλος, εἷς ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τέλειος ἐν θεότητι καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ οὐκ ἔπαθεν τῇ θείᾳ φύσει, ἀλλὰ τῇ C *χοϊκῇ φύσει· οἶδεν δὲ καὶ τὴν τῶν φύσεων διαφορὰν καὶ τὸ ἀσυγχύτους αὐτὰς ἀλλήλαις ἐν μιᾷ ὑποστάσει φυλάττεσθαι· δῆλον ὅτι τὸν αὐτὸν ἐν τῇ θείᾳ φύσει καὶ τῇ ἀνθρωπίνῃ λέγει ὁ πατὴρ γνωρίζεσθαι, καὶ ἑκατέραν φύσιν ἐν αὐτῷ εἶναι, ἐξ ὧν καὶ συνετέθη.* R 810 *καὶ οὐκ ἄν τις οὕτω μανείη ὡς ὀρθῶς νομίσαι φρονεῖν τοὺς λέγοντας μίαν εἶναι φύσιν ἤτοι οὐσίαν σαρκὸς καὶ θεότητος τοῦ Χριστοῦ, τὴν αὐτὴν θείαν καὶ χοϊκήν, παθητὴν καὶ* D *ἀπαθῆ. ἐπειδὴ δὲ καὶ ἑτέρωθεν κατασκευάζειν ἐπιχειροῦσίν τινες τὸ μίαν εἶναι φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, τὸ τοῦ ἀνθρώπου παράδειγμα προβαλλόμενοι καὶ λέγοντες ὅτι ὥσπερ ἐξ ἑτεροφυῶν ψυχῆς καὶ σώματος συνεστὼς ὁ*

1. ὁ *αὐτὸς* ὁ P. 5. *θεὸν*] ἢ V. Conf. Cyrillus vol. V. p. 1. p. 787. s.

humanitatem: ipsius enim passa est caro. „Et in tertio decimo capite Scholiorum, idem Sanctus Cyrillus similiter rejiciens eos, qui duos filios introducunt, et eos qui unam dicunt naturam Deitatis et carnis Christi," ita scribit: Non discernendum unum Dominum Jesum Christum in hominem separatim, et in Deum separatim; sed unum eumdemque Dominum Jesum Christum dicimus, naturarum scientes differentiam, et inconfusas eas sibi invicem conservantes. „Si igitur (prout docet nos Sanctus Cyrillus) unus est Dominus noster Jesus Christus, perfectus in Deitate, et perfectus idem ipse in humanitate, et non est passus divina natura, sed terrena, scit autem et naturarum differentiam, et quod inconfusae sibi invicem in una subsistentia conservantur: certum est, quod eumdem ipsum in divina natura et in humana dicit Pater cognosci, et utramque naturam in ipso esse, ex quibus et compositus est. Et non aliquis sic insaniat, ut arbitretur eos recte sapere, qui dicunt unam esse naturam sive substantiam carnis et Deitatis Christi, eamdem et divinam et terrenam, passibilem et impassibilem. Quoniam autem et alio modo quidam ostendere conantur, unam esse naturam Deitatis et humanitatis Christi, exemplum hominis proponentes, et dicentes, quod sicut ex diversis natu-

ἄνθρωπος μία φύσις λέγεται, οὕτω καὶ ἐκ δύο φύσεων θεότητος καὶ ἀνθρωπότητος τὸν Χριστὸν λέγοντες ὀφείλομεν μίαν φύσιν ἐπ' αὐτῷ λέγειν, ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν ὅτι ὁ μὲν ἄνθρωπος, κἂν ἐκ διαφόρων συνέστηκεν, τουτέστιν ψυχῆς καὶ σώματος, ὅμως διὰ τοῦτο μία φύσις λέγεται, ἐπειδὴ κοινῶς κατὰ πασῶν P 352 τῶν ὑποστάσεων, ἤγουν προσώπων, τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀναγομένων κατηγορεῖται. εἰ καὶ τὰ μάλιστα γὰρ ἑκάστη ὑπόστασις ἤτοι πρόσωπον, οἷον Πέτρος καὶ Παῦλος, τοῖς ἰδιώμασιν ἀπ' ἀλλήλων διαχωρίζονται, ἀλλ' ὅμως οὐ τῇ φύσει διαιροῦνται· ἀμφότεροι γὰρ ἄνθρωποι· καὶ πάλιν οὔτε ψυχὴ χωρὶς σώματος οὔτε σῶμα χωρὶς ψυχῆς ἄνθρωπος, ἀλλ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, ἐκ ψυχῆς καὶ σώματος ἐδημιουργήθη. πᾶν δὲ κτίσμα εἰ καὶ ἐκ διαφόρων συνέστηκεν, ἀλλ' οὖν μίαν ἐκείνην ἔχειν λέγεται φύσιν, καθ' ἣν παρὰ τοῦ θεοῦ ἐδημιουργήθη. ὁ δὲ Χριστὸς οὐχ οὕτως· οὔτε γὰρ μίαν φύσιν, ἤγουν οὐσίαν, δηλοῖ κοινῶς κατὰ πολλῶν ὑποστάσεων ἤτοι προσώπων κατηγορουμένην, ὥσπερ ὁ ἄνθρωπος· εἰ γὰρ τοῦτο ἦν, πολλοὶ Χριστοὶ εὑρεθήσον- B ται, καθ' ὧν τὸ κοινὸν τῆς μιᾶς φύσεως κατηγορεῖται, ὅπερ καὶ λέγειν ἐστὶν ἀσεβές· ἀλλ' οὔτε ἀπ' ἀρχῆς ἐκ θεότητος καὶ ἀνθρωπότητος, ὥσπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, ὁ Χριστὸς ἐδημιουργήθη, ἵνα τοῦτο ᾖ φύσις Χριστοῦ, ἀλλὰ θεὸς ὢν πρὸ

7. τὰ om. P. 11. ἀνθρωπότητος V. 12. πᾶν — 14. ἐδημιουργήθη om. P. 15. κοινῶς γὰρ P. 18. καθὼν V, καθὼς P. 21. ᾖ] ἡ P.

ris, anima et corpore consistens homo, una natura dicitur, sic et ex duabus naturis Deitatis et humanitatis Christum dicentes, debemus unam ipsius dicere naturam: illud ad eos dicemus, quod homo quidem licet ex diversis constet, id est, anima et corpore, tamen ideo una natura dicitur, quoniam de omnibus subsistentiis sive personis, quae sub eadem in omnibus specie referuntur, communiter praedicatur. Licet enim unaquaeque subsistentia sive persona, sicut Petrus et Paulus, proprietatibus a se invicem separentur, sed tamen non natura dividuntur; ambo enim homines: et iterum, nec anima sine corpore, nec corpus sine anima homo est, sed ex eo quod non erat, ad hoc quod est, ex anima et corpore creatus est. Unaquaeque autem creatura licet ex diversis constet, sed tamen unam illam habere dicitur naturam, secundum quam a Deo creata est. Chri- ex Deo stus autem non sic: nec enim unam naturam sive substantiam significat, quae communiter de plurimis subsistentiis sive personis praedicatur, sicut homo. Si enim hoc esset, multi Christi invenirentur in quibus communitas unius naturae praedicabitur; quod et dicere impium est. Sed neque ab initio ex Deitate et humanitate sicut homo ex anima et corpore, Christus creatus est, ut hoc sit natura Christi: sed cum Deus esset ante

αἰώνων ὁ λόγος καὶ τῆς αὐτῆς φύσεως ἤτοι οὐσίας ὑπάρχων τῷ
πατρὶ καὶ δημιουργὸς τῶν ἁπάντων ἐπ' ἐσχάτων τῶν ἡμερῶν
ἀνθρώπου φύσιν καθ' ὑπόστασιν ἑνώσας ἑαυτῷ γέγονεν ἄνθρω-
πος, μὴ ἐκστὰς τοῦ εἶναι θεός.
C Ἔστιν οὖν ὁ Χριστὸς μία ὑπόστασις, ἤτοι πρόσωπον, καὶ
V 281 ἔχει τὸ τέλειον ἐν ἑαυτῷ τῆς τε θείας καὶ ἀκτίστου φύσεως καὶ τὸ
τέλειον τῆς ἀνθρωπίνης καὶ κτιστῆς φύσεως. πῶς οὖν, ἐν ᾧ
R 812 δύο φύσεις γνωρίζονται, ἄκτιστος καὶ κτιστή, ἐπὶ τούτου μίαν
φύσιν ἤτοι οὐσίαν λέγεσθαι δυνατόν; εἰ γὰρ μία ὑπόστασις ἤτοι
πρόσωπον ὁ Χριστός, ἀλλ' ὁμοούσιος τῷ θεῷ καὶ πατρί, καὶ
ὁμοούσιος ἡμῖν ὁ αὐτός, οὐ μὴν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν
ἤτοι οὐσίαν. εἰ δὲ μία φύσις ἤτοι οὐσία ἦν ὁ Χριστός, ἢ ἄσαρ-
D κος ὢν μόνῳ τῷ θεῷ καὶ πατρί ἐστιν ὁμοούσιος, ἐπειδὴ μία τῆς
θεότητος οὐσία ἤτοι φύσις, ἢ ψιλὸς ὢν ἄνθρωπος μόνοις ἡμῖν
ἐστιν ὁμοούσιος, ἐπειδὴ μία φύσις τῆς ἀνθρωπότητος, ἢ τρα-
πεῖσα ἑκατέρα φύσις ἑτεροφυής ἐστιν, ἀπετέλεσε παρὰ τὰς συν-
ελθούσας, καὶ κατ' αὐτοὺς οὔτε θεὸς ἔμεινεν οὔτε ἄνθρωπος
γέγονεν ὁ Χριστός, καὶ διὰ τοῦτο οὔτε τῷ πατρὶ οὔτε ἡμῖν ἐστιν
ὁ αὐτὸς ὁμοούσιος. τὸ δὲ οὕτω φρονεῖν πάσης πεπλήρωται ἀσε-
βείας. καὶ ταῦτα λέγομεν οὐκ ἀγνοοῦντες ὅτι καί τινες τῶν ἁγίων
P 353 πατέρων τῷ τοῦ ἀνθρώπου ὑποδείγματι ἐπὶ τοῦ κατὰ Χριστὸν
μυστηρίου ἐχρήσαντο, ἀλλ' ἐκεῖνοι μὲν ἵνα δείξωσιν ὅτι καθάπερ

1. ὁ θεοῦ λόγος P. 10. ἀλλ' om. P. 14. ἢ om. P. 16. ἑτε-
ροφυές τι ἐπετέλεσε R.

substantiae saecula Verbum, et esset ejusdem naturae sive substantiae cum Patre,
Patri et creator omnium, in ultimis diebus hominis naturam secundum subsi-
stentiam sibi uniens, factus est homo manens Deus."

„Est igitur Christus una subsistentia, sive persona, et habet in se-
metipso perfectionem divinae et increabilis naturae, et perfectionem hu-
manae et creabilis naturae. Quomodo igitur, in quo duae naturae co-
gnoscuntur, increabilis, et creabilis, in eo unam naturam sive substan-
tiam dici possibile est? Licet enim una subsistentia sive persona Chri-
Deo et Pa- stus sit, sed consubstantialis Deo Patri, et consubstantialis nobis idem
tri ipse est, non tamen secundum unam eamdemque naturam, seu substan-
tiam. Sin autem una natura sive substantia esset Christus, aut sine
consub- carne est, et soli Deo Patri consubstantialis, quoniam una Deitatis sub-
stantialis stantia sive natura est: aut purus homo existens, nobis est solum con-
est, substantialis, quoniam una natura humanitatis est: aut immutata utraque
natura alteram effecit naturam, praeter eas quae convenerunt, et secun-
dum illos neque Deus mansit, neque homo factus est Christus; et ideo
613. III. Ind. I. Post Cons. Heraclii Augusti II. 1. 348. 6121.

Hoc anno, mense Audynaeo, secundum Romanos, Januarii die XXII. feria II. coronatus est puer Heraclius Novus Constantinus Imperator a patre suo in Palatio: moxque ascendit in Circum, ibique diademate redimitus, consalutatus est a Senatoribus ut Imperator, et faustis acclama-

ὑπὸ τῶν μερῶν, καὶ οὕτω σὺν τῷ πατρὶ αὐτοῦ ἐξῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν, βασταζόμενος ὑπὸ Φιλαρέτου.

Καὶ ἀπ' αὐτῆς τῆς κβ' τοῦ ἰανουαρίου μηνὸς ἐπετράπη γράφεσθαι μετὰ τὸ ἐν ὀνόματι, βασιλείας τῶν θειοτάτων ἡμῶν P 385 *δεσποτῶν καὶ μεγίστων εὐεργετῶν Φλαβίου Ἡρακλείου τοῦ εὐσεβεστάτου ἔτους γ' καὶ μετὰ τὴν ὑπατείαν αὐτοῦ ἔτους β' καὶ Φλαβίου Ἡρακλείου νέου Κωνσταντίνου τοῦ θεοφυλάκτου αὐτοῦ υἱοῦ ἔτους α', τῶν αἰωνίων Αὐγούστων καὶ αὐτοκρατόρων.*

Ἰνδ. β'. δ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ γ'.

Καὶ ἀπὸ κβ' τοῦ ἰανουαρίου μηνὸς γράφεται, βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος β'.

Τούτῳ τῷ ἔτει περὶ μῆνα ἰούνιον θρήνων ἀπαύστων ἄξιον ἡμῖν συνέβη πάθος. μετὰ γὰρ πολλῶν τῆς ἀνατολῆς πόλεων ἥλω B *καὶ Ἱερουσαλὴμ ὑπὸ Περσῶν, καὶ σφάζονται πολλαὶ χιλιάδες ἐν αὐτῇ κληρικῶν, μοναχῶν, μοναστριῶν παρθένων. ἐμπίπραται τὸ δεσποτικὸν μνῆμα καὶ οἱ περιβόητοι τοῦ θεοῦ ναοί, καὶ ἁπλῶς πάντα τὰ τίμια καθαιρεῖται. τὰ σεβάσμια τοῦ σταυροῦ ξύλα σὺν τοῖς ἱεροῖς σκεύεσιν ἀναριθμήτοις οὖσιν λαμβάνεται παρὰ Περσῶν, καὶ Ζαχαρίας ὁ πατριάρχης καὶ αἰχμάλωτος γί-*

12. ἔτους P. 16. *αὐτῷ* P. 20. ὁ om. P. *ib.* *καὶ* fortasse delendum.

Anni a m. c. tionibus a Factionibus exceptus. Atque ita cum patre egressus, ad Magnam Ecclesiam venit, a Philareto gestatus.

Et ab ipso die XXII. Januarii mensis imperatum est, uti scriberetur: *In nomine, etc. imperii piissimorum Dominorum nostrorum et beneficentissimorum Flavii Heraclii piissimi anno* III. *et post Consulatum illius anno* II. *et Flavii Heraclii Novi Constantini a Deo custoditi filii ejus* I. *aeternorum Augustorum et Imperatorum.*

A. C. [Ol. Iph.]

6122. 644. IV. Ind. II. Post Cons. Heraclii Augusti III. 1. 348.

Et a XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* II.

Hoc anno, circa mensem Junium, malum nobis accidit perpetuo luctu prosequendum. Cum aliis quippe compluribus Orientis civitatibus, Hierusalem a Persis capta est, multis Clericorum, Monachorum, Sanctimonialium et Virginum millibus trucidatis. Incensum etiam Dominicum Sepulchrum, et celeberrima Dei templa: et ut verbo dicam, pretiosa omnia destructa. Veneranda Crucis ligna, cum sacris vasis innumeris capiuntur a Persis, et Zacharias Patriarcha captivus abducitur. Atque haec

νεται. καὶ ταῦτα οὐκ ἐν πολλῷ χρόνῳ οὐδὲ ἐν ὅλῳ μηνί, ἀλλ' ἐν ἡμέραις ὀλίγαις συμβέβηκε.

Καὶ τῇ ιδʹ γορπιαίου, κατὰ Ῥωμαίους σεπτεμβρίου μηνός, τῆς τρίτης ἰνδικτιῶνος, ἐν τῇ τρίτῃ ὑψώσει ἀποδεθεὶς τῷ ζωοποιῷ σταυρῷ ὁ τίμιος σπόγγος καὶ αὐτὸς συνυψοῦται αὐτῷ ἐν C
τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, πεμφθεὶς παρὰ Νικήτα πατρικίου. V 307 R 882

Καὶ τῇ κηʹ τοῦ ὑπερβερεταίου, κατὰ Ῥωμαίους ὀκτωβρίου μηνός, ἡμέρᾳ ζʹ, τῇ ἐπὶ κυριακὴν νυκτί, ἠνέχθη ἡ τιμία λόγχη ἀπὸ τῶν ἁγίων τόπων, ἑνὸς τῶν ἐγγιζόντων τῷ καταράτῳ Σαλβάρᾳ μετὰ τὸ ληφθῆναι αὐτὴν παρ' αὐτῶν, δεδωκότος αὐτὴν τῷ μνημονευθέντι Νικήτᾳ. καὶ εὐθέως αὐτῇ τῇ κυριακῇ ἐκηρύχθη ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὡς ἠνέχθη· καὶ τῇ τρίτῃ καὶ τετράδι προσεκυνήθη ὑπὸ ἀνδρῶν, πέμπτῃ δὲ καὶ παρασκευῇ ὑπὸ γυναικῶν.

Ἰνδ. γʹ. εʹ. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ δʹ. D

Καὶ ἀπὸ κβʹ καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος γʹ.

Τούτῳ τῷ ἔτει ἐπὶ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως ἀπὸ τῆς αʹ ἑβδομάδος τῶν νηστειῶν ἰνδικτιῶνος δʹ ἤρξατο ψάλλεσθαι μετὰ τὸ Κατευθυνθήτω ἐν τῷ καιρῷ τοῦ εἰσάγεσθαι τὰ προηγιασμένα δῶρα εἰς τὸ θυσιαστήριον ἀπὸ τοῦ σκευοφυλα-

3. Γορπιαίου μηνὸς P. 4. ἀποδεχθεὶς R. 5. σπόνγγος V correctus. 9. Σάρβαρα P. 13. τετάρτῃ P. 16. καὶ ἀπὸ] ἀπὸ P. 17. ἔτους P. 19. νηστῶν R.

omnia non multa anni parte, nec toto mense, sed intra paucos dies contigere.

Et XIV. Gorpiaei mensis, secundum Romanos Septembris mensis Indictionis III. in tertia Exaltatione vivificae Cruci alligata veneranda Spongia, et ipsa coexaltatur in sanctissima Magna Ecclesia, missa a Niceta Patricio.

Et XXVIII. Hyperberetaei, secundum Romanos Octobris mensis, feria VII. ea nocte quae praecedit Dominicam, veneranda Lancea e sacris locis allata est, quam quidam familiaris abominandi Sarbarae, cum ab iis fuisset ablata, dedit memorato Nicetae: et statim eo ipso die Dominico in sanctissima Magna Ecclesia publicatum ac nuntiatum eam esse allatam; ac tertia deinde et quarta feria a viris, quinta autem et sexta a feminis est adorata.

645. V. Ind. III. Post Cons. Heraclii Augusti IV. 2.

Ab ipso XXII. mensis Januarii die, scribitur: *Imperii Heraclii Novi Constantini anno* III.

Hoc anno, sub Sergio Patriarcha Constantinopolitano, a prima Jejuniorum hebdomade Indictionis IV. coepit psalli post illud: *Dirigatur*, quando Praesanctificata Dona in altare ex Scevophylacio inferuntur,

κίου μετὰ τὸ εἰπεῖν τὸν ἱερέα, Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου,
εὐθέως ἄρχεται ὁ λαός, Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν
P 386 *ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰςπορεύεται ὁ βασιλεὺς τῆς*
δόξης. ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. πίστει
καὶ φόβῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. ἀλ-
ληλούια. τοῦτο δὲ οὐ μόνον ἐν ταῖς νηστείαις προηγιασμένων
εἰσαγομένων ψάλλεται, ἀλλὰ καὶ ἐν ἄλλαις ἡμέραις, ὁσάκις ἂν
προηγιασμένα γίνηται.

Τούτῳ τῷ ἔτει γέγονεν ἀπὸ νόμου νόμισμα ἑξάγραμμον
ἀργυροῦν, καὶ βασιλικαὶ ῥόγαι δι᾽ αὐτοῦ γεγόνασι καὶ κατὰ τὸ
ἥμισυ τῆς ἀρχαιότητος. καὶ ἔξαρχος τοῦ Πέρσου, καλούμενος
B *Σαήν, ἕως αὐτῆς Χαλκηδόνος ἦλθεν καὶ ἐπὶ τὰ μέρη Χρυσοπό-*
λεως καὶ τοῦ Κηκωνίου καὶ εἰς τὴν ἀντιπέρας ἐβλέπετο. καὶ λα-
βὼν δῶρα παρὰ τοῦ βασιλέως Ἡρακλείου δι᾽ ἑαυτοῦ ἐν πλοίοις
ἐγγίσαντος τῷ λιμένι Χαλκηδόνος ἀνεχώρησεν, ἐπαγγειλάμενος
ὅτι ἐὰν πεμφθῶσιν ἐξ ἡμῶν εἰς πρεσβείαν πρὸς Χοσδρόην τινές,
εἰρήνη γίνεται. καὶ δὴ ἐπέμφθησαν ἐξ ἡμῶν πρεσβευταὶ τρεῖς,
τουτέστιν Ὀλύμπιος ἔπαρχος πραιτωρίων καὶ Λεόντιος ἔπαρ-
R 884 *χος πόλεως καὶ Ἀναστάσιος πρεσβύτερος τῆς κατὰ Κωνσταν-*
τινούπολιν ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐπιφερόμενοι καὶ ἀπο-
κρίσεις γραφείσας ἀπὸ τῶν ἀρχόντων ἡμῶν πρὸς τὸν θεόπτωτον
Χοσρόην, ὧντινων ἡ δύναμίς ἐστιν αὕτη.

4. *δωροφορεῖται* R. 5. *ἀλλαιλούια* V. 7. *εἰσαγομένων* om. P. *ib.* *ἂν* om. R, uucis includit P. 8. *γίνεται* PV. 12. *Χρυσουπό-λεως* P. 13. *Μηκωνίου* P. 14. *αὐτοῦ* P. 16. *Χοσρόην* P. 17. *καὶ διεπέμφθησαν* P.

postquam dixit Pontifex, *juxta donum Christi tui*, statim incipit populus: *Nunc virtutes coelorum nobiscum invisibiliter adorant: Ecce ingreditur Rex gloriae. Ecce sacrificium mysticum perfectum solenni pompa affertur, in fide et tremore accedamus, ut participes efficamur vitae aeternae. Alleluia.* Hoc non solum in Jejuniis Praesanctificatorum canitur, sed et aliis praeterea diebus, quotiescunque Praesanctificata fiunt.

Hoc anno, lege lata, numus argenteus sex scripulorum cusus est, quo numi genere factae sunt largitiones Imperatoriae, ipseque ad semissem veterum numorum. Persarum vero Regis Exarchus, Saen vocatus, ad ipsam usque Chalcedonem, et in fines Chrysopoleos et Meconii venit, cum in opposita civitati regione a populo conspiceretur. Donis vero ac muneribus acceptis ab Imperatore Heraclio, hac de causa navigio Chalcedonensi portui appropinquante, recessit: pollicitus, si aliqui ex nostris ad Chosroem legati mitterentur, pacem futuram. Missique e nostris legati tres, Olympius scilicet Praefectus Praetorio, Leontius Praefectus Urbi, et Anastasius sanctissimae Magnae Ecclesiae Constantinopolitanae Presbyter, literas a Principibus nostris scriptas ad Deo invisum Chosroen deferentes, in hanc ferme sententiam.

Ὁ τὰ πάντα δημιουργήσας καὶ τῇ ἰδίᾳ δυνάμει συνέχων C θεὸς δῶρον ἄξιον τῆς αὐτοῦ ἀγαθότητος τῷ γένει τῶν ἀνθρώπων ἐφιλοτιμήσατο τῆς βασιλείας τὴν πρόνοιαν, δι' ἧς ἀταράχως ἀξιούμεθα ζῆν ἢ δυσχερείαις τισὶ περιπίπτοντες ἴασιν ἐξευρίσκομεν. πρὸς τοῦτο τὸ θεϊκὸν ἀποβλέψαντες, τὴν βασιλικὴν πρόνοιάν φαμεν, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν ὑπέρογκον ὑμῶν ἡμερότητα, δυσωποῦμεν συγγνώμης ἡμᾶς ἀξιῶσαι, τολμήσαντας παρὰ τὴν πρώην πολιτευομένην κατάστασιν τῇ παρούσῃ πρὸς τὸ ὑμέτερον κράτος ἀναφορᾷ χρήσασθαι. ἴσμεν γὰρ τὴν ἐν τῷ προλαβόντι χρόνῳ κρατήσασαν συνήθειαν, ἥτις ἠβούλετο D φιλονεικίας τινὸς μεταξὺ τῶν δύο πολιτειῶν ἀνακυπτούσης τοὺς V 308 ἑκατέρας αὐτῶν βασιλεύοντας διὰ τῶν πρὸς ἀλλήλους δηλωμάτων τὰ φιλονεικούμενα διαλύειν. ἀλλὰ ταύτην τὴν τάξιν παρέλυσε Φωκᾶς ὁ τῆς Ῥωμαϊκῆς πολιτείας γενόμενος ἐπίβουλος. τὸν γὰρ ἐν Θρᾴκῃ Ῥωμαϊκὸν ὑποφθείρας στρατὸν αἰφνιδίως ἐπέστη τῇ παρ' ἡμῖν βασιλευούσῃ πόλει, καὶ Μαυρίκιον τὸν εὐσεβῶς ἡμῶν βασιλεύσαντα καὶ τὴν αὐτοῦ γυναῖκα, ἔτι δὲ καὶ τέκνα καὶ συγγενεῖς καὶ ἐκ τῶν ἀρχόντων οὐκ ὀλίγους ἀνεῖλεν. καὶ οὐκ ἠρκέσθη τοῖς πεπραγμένοις παρ' αὐτοῦ τοσούτοις κακοῖς, ἀλλ' οὐδὲ τὴν πρέπουσαν τῇ ὑπερόγκῳ ὑμῶν ἡμερότητι τιμὴν ἀπένειμεν, ὥστε P 387 λοιπὸν ἐξ ἡμετέρων ἁμαρτιῶν ὁρμηθέντας ὑμᾶς εἰς τὴν τοσαύτην ἐλάττωσιν ἀγαγεῖν τὰ τῆς Ῥωμαϊκῆς πολιτείας πράγματα. ἐγνω-

9. ἴσμεν μὲν γὰρ R. 11. τινὰς PV. ib. ἀνακυπτούσας P. 14. γενόμενος om. P. 15. ὑποφθείρει P. 21. ὁρμηθέντα P. 22. τὰ om. R, uncis inclusit P.

„Qui omnia creavit, et sua potentia continet, Deus, sua bonitate dignum munus humano generi contulit, imperii scilicet providentiam, qua vitae securitas, et si in aliquas difficultates incidere nos contigerit, medela nobis procuratur. Ad hoc divinum munus, Regiam scilicet providentiam, respectantes, prae cunctis omnibus immensam vestram Clementiam deprecamur, uti veniam nobis dignetur impertiri, si praeter prioris Reipublicae status rationem hac suggestione erga vestram Majestatem utamur. Neque enim ignoramus, praeteritis temporibus eam obtinuisse consuetudinem, ut inter utramque Rempublicam enatae controversiae, ab utriusque Principibus, mutuis invicem factis collationibus, dirimerentur: quam quidem infregit Romani imperii insidiator Focas. Corrupto enim in Thracia Romano exercitu, Reginam hanc nostram urbem adortus, et Mauricium nobis pie imperantem, ac illius conjugem, liberosque et cognatos, et ex Magistratibus haud paucos sustulit. Nec satis illi fuit tanta perpetrasse facinora, immensae quoque vestrae Clementiae debitum honorem minime exhibuit. Unde accidit, ut propter peccata nostra a vobis impeteremur, resque Romanorum ad hanc imminutionem et debili-

κῶς δὲ τὰ παρὰ τοῦ λυμεῶνος ἐκείνου γενόμενα ὁ νῦν εὐσεβῶς ἡμῶν βασιλεύων καὶ ὁ αὐτοῦ ἀείμνηστος πατήρ, ἐβουλεύσαντο τῆς τοσαύτης ἐκείνου ἀνάγκης ἐλευθερῶσαι τὴν Ῥωμαϊκὴν πολιτείαν· ὅπερ καὶ ἔπραξαν, τεταπεινωμένην ἐκείνην ἐκ τοῦ ὑμετέρου κράτους εὑρόντες. καὶ μετὰ τὸν τοῦ τυράννου θάνατον βουληθέντος τοῦ ἡμῶν βασιλέως τοὺς ἰδίους λαβεῖν συγγενεῖς καὶ πρὸς τὸν οἰκεῖον ἐν Ἀφρικῇ ἐπαναζεῦξαι πατέρα, προτρέ-
B *ψαντός τε ἡμᾶς ὃν θέλομεν ἐπιλέξασθαι βασιλέα, μόλις ταῖς*
R 886 *αἰτήσεσιν ἡμῶν πεισθεὶς κατεδέξατο τὴν βασιλείαν, καὶ διὰ τὴν κρατοῦσαν ἐν ταῖς δύο πολιτείαις ταραχήν, ἔτι δὲ καὶ τὴν ἐμφύλιον στάσιν, οὐκ ἔσχε καιρόν, ὅπερ ἐχρῆν πραχθῆναι, τοῦ διὰ πρεσβείας τὴν ὀφειλομένην τιμὴν τῷ ὑπερόγκῳ κράτει τῆς ὑμετέρας γαλήνης προσαγαγεῖν. ἐβουλευσάμεθα οὖν παριδεῖν τὸ ἔθος, οὗπερ ἀνωτέρω ἐμνήσθημεν, καὶ βραχεῖς ὄντες ἄνθρωποι πρὸς ἀρχιβασιλέα τηλικοῦτον τῇ δεήσει χρήσασθαι, στέλλοντες καί τινας ἐξ ἡμῶν ὀφείλοντας τῶν ὑμετέρων ἰχνῶν ἀξιωθῆναι. ἀλλὰ διὰ τὰ ἐν μέσῳ συμβάντα τοῦτο πρᾶξαι μέχρι νῦν οὐκ ἐτολ-*
C *μήσαμεν· ὅτε μέντοι Σαὴν ὁ ἐνδοξότατος Βαβμανζαδαγώ, τοῦ Περσικοῦ στρατοῦ ἔξαρχος, ἐν τοῖς μέρεσι Χαλκηδόνος γέγονε, καὶ συντυχὼν τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ καὶ ἡμῖν, καὶ ἐκ πάντων αἰτηθεὶς τὰ περὶ τῆς εἰρήνης διαλεχθῆναι, αὐτὸς μὲν εἶπεν μὴ ἔχειν τοιαύτην ἐξουσίαν, δέεσθαι δὲ τὰ περὶ τούτου τῆς*

10. *δὲ* om. P. 18. *ὅτι* P. 21. *αὐτὸν* R. 22. *τὰ* om. R.

tationem devenirent. Cum ergo intelligeret is qui nunc pie imperat, quae a peste illa patrata essent, unaque et aeternae memoriae illius pater, decreverunt Romanum imperium ex tantis illius angustiis in libertatem asserere: quod et confecere, quamvis a vestra Majestate non modice labefactatum invenirent. Post mortem ergo tyranni, cum Imperator noster, affinibus secum assumptis, in Africam ad patrem suum reverti statueret, moneretque nos, ut quem vellemus Imperatorem designaremus, aegre precibus nostris cedens, imperium tandem suscepit. At propter utriusque Reipublicae perturbationem, civilesque motus, locus ipsi haud fuit per legatos, uti par erat, id praestandi, quo debitum honorem amplissimae Majestatis vestrae Serenitati exhiberet. Statueramus igitur, omisso more cujus meminimus, nos pusilli homines, erga potentissimum Regem precibus uti, et aliquos ex nobis mittere qui ad vestigia vestra admitterentur. Sed ex iis quae subinde evenere, id ad hunc usque diem exequi ausi non sumus. At cum Saen illustrissimus Babmanzadago, Persicarum copiarum dux supremus ad fines Chalcedonis accessisset, cum piissimo nostro Imperatore nobisque collocutus, rogatus est ab omnibus ut de pace tractaret. Qui respondit, sibi quidem ejusmodi minime indultam esse facultatem: deprecaturum tamen super hoc Clementiam ve-

ὑμῶν φιλανθρωπίας. νυνὶ δὲ καὶ ἀπόκρισιν ἔστειλε πρὸς ἡμᾶς διὰ τοῦ Σπαδαδουάρ, ὑποσχόμενος ἐνωμότως ὅτι τὸ ὑπέρογκον ὑμῶν κράτος τοὺς στελλομένους παρ' ἡμῶν ὡς πρέπον ἐστὶν δέχεται καὶ ἀπολύει ἀβλαβεῖς πρὸς ἡμᾶς ἐπαναλῦσαι, καὶ ὅτι παρὰ τῆς ὑμετέρας φιλανθρωπίας τοῦτο πρᾶξαι ἐκελεύσθη. ἡμεῖς δὲ D *πάλιν τοῖς οὕτω παρακολουθήσασι θαῤῥήσαντες, πρὸ πάντων δὲ τῷ θεῷ καὶ τῇ ὑμετέρᾳ μεγαλειότητι, τοὺς δούλους ὑμῶν ἀπελύσαμεν Ὀλύμπιον τὸν ἐνδοξότατον ἀπὸ ὑπάτων, πατρίκιον καὶ ἔπαρχον τῶν πραιτωρίων, καὶ Λεόντιον τὸν ἐνδοξότατον ἀπὸ ὑπάτων, πατρίκιον καὶ ἔπαρχον πόλεως καὶ Ἀναστάσιον τὸν θεοφιλέστατον πρεσβύτερον καὶ σύγκελλον, οὓς δυσωποῦμεν ὡς πρέπει τῷ ὑπερόγκῳ ὑμῶν κράτει δεχθῆναι καὶ συντόμως ἐπαναλῦσαι πρὸς ἡμᾶς τὴν ἀρέσκουσαν τῷ θεῷ εἰρήνην καὶ πρέπουσαν τῷ φιλειρήνῳ ὑμῶν κράτει ἀποσώζοντας ἡμῖν. δεόμεθα δὲ τῆς* P 388 *ὑμετέρας ἡμερότητος καὶ Ἡράκλειον τὸν εὐσεβέστατον ἡμῶν βασιλέα γνήσιον ἔχειν τέκνον, προθύμως ἔχοντα ἐν ἅπασι τὴν θεραπείαν τῆς ὑμετέρας ποιεῖν γαλήνης. ταῦτα γὰρ πράττοντες δι-* V 309 *πλῆν ἑαυτοῖς περιποιεῖτε δόξαν, καὶ ἐπὶ τῇ τῶν πολέμων ἀνδραγαθίᾳ καὶ ἐπὶ τῇ δωρεᾷ τῆς εἰρήνης. καὶ ἡμεῖς λοιπὸν τῆς ἡσυχίας διὰ τῶν ὑμετέρων ἀειμνημονεύτων δωρεῶν ἐν ἀπολαύσει γινόμεθα, καιρὸν λαμβάνοντες τὰς ὑπὲρ τῆς ὑμετέρας πολυχρο-* R 888 *νίου εὐζωίας τῷ θεῷ προσαγαγεῖν εὐχάς, ἀληθάργητον εἰς αἰῶνας τῆς Ῥωμαϊκῆς πολιτείας τὴν ὑμετέραν εὐεργεσίαν ἔχοντες.*

5. *ἡμᾶς — θαῤῥήσαντας* RV. 11. *σύγγελλον* P. 17. *τοῦτο* P.

stram. Nunc vero et responsum misit nobis per Spadadovarem, cum sacramento pollicitus, amplissimam vestram Majestatem, eos pro dignitate suscepturam qui a nobis mitterentur, et salvos ac incolumes ad nos remissuram, idque a Clementia vestra ut faceret sibi esse imperatum. Nos itaque hisce confisi promissis, praesertim autem Deo, et vestra Amplitudine, servos vestros misimus gloriosissimum Olympium Ex-Consule, Patricium et Praefectum Praetorio, et gloriosissimum Leontium Ex-Consule, Patricium et Praefectum Urbi, ac venerabilem Anastasium Presbyterum et Syncellum, quos ut amplissima Majestas vestra, prout par est, excipiat, flagitamus, et uti quamprimum fieri poterit, cum grata Deo pace, et quae pacificam Majestatem vestram decet, salvos nobis remittatis. Obsecramus etiam Mansuetudinem vestram ut Heraclium piissimum nostrum Imperatorem loco proprii filii habeat, paratum in omnibus Serenitati vestrae cultum et officium praestare. Quod quidem si feceritis, geminam vobis gloriam comparabitis, cum ex fortitudine bellica, tum ex pacis concessione. Nos porro deinceps per nunquam obliviscenda vestra munera fruemur quiete, nobisque suppetet occasio pro vestrae vitae diuturnitate Deo preces offerendi, quandiu stabit Romana Respublica vestrum beneficium nunquam oblivioni daturis."

B τμθ' Ὀλυμπιάς.

Ἰνδ. δ'. ϛ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ε'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος δ'.

Ἀπὸ τῆς γεννήσεως τοῦ δεσπότου Χριστοῦ ἕως ταύτης τῆς ὑπατείας ἐπληρώθησαν ἔτη χιθ' καὶ ἤρξαντο τὰ χκ'. ἐκ τούτων ἐξαιροῦνται τὰ μέχρι τῆς σταυρώσεως αὐτοῦ ἔτη λγ', καὶ καταλείπονται φπϛ'. πρὸ φ' τοίνυν πϛ' ἐνιαυτῶν εἰσῆλθεν ὁ μάρτιος
C μὴν ἐν ἡμέρᾳ ε'· τοῖς γὰρ φπϛ' πρόσθες τὰ βίσεξτα, τοῦτο ἔστιν ρμζ'. διὰ τὸ νῦν ἐπικεῖσθαι βίσεξτον γίνονται ψλγ'. ἔκβα τούτων τὸ ζ' ρδ', λοιπὸν ε'. ἀρίθμησον ε' ἀπὸ τῆς ε' ἡμέρας, καὶ καταλήγεις εἰς δευτέραν, ὃ καὶ ἔστιν· ὁ γὰρ μάρτιος τῆς ἐνεστώσης δ' ἰνδικτιῶνος εἰσέρχεται ἐν δευτέρᾳ τῆς ἑβδομάδος ἡμέρᾳ.

Πάλιν τὰς τῆς ἐννεκαιδεκαετηρίδος ζητοῦντες ἐπινεμήσεις εὑρίσκομεν προ φπϛ' ἐνιαυτῶν, τουτέστιν λ' κύκλων, ια' οὖσαν ἰνδικτιῶνα· ια' γὰρ ἐπὶ ια' συνάγει φοα'. λοιπὸν ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη', ιθ', α', β', γ', δ', ε', ϛ', ζ'. αὕτη γὰρ νῦν ἐνέστηκεν. ψηφίζοντες οὖν πρὸ φπϛ' ἐτῶν τὴν σελή-
D νην εὑρίσκομεν αὐτὴν τῇ κγ' τοῦ μαρτίου μηνὸς ἐκείνου, ἥτις ἦν ἐν ἡμέρᾳ παρασκευῇ, ἔχουσαν ιδ', ε', ὡς εἶναι τὸ πάσχα

4. ἔτους P. 6. 7. ἔτη om. P. 10. διὰ τοίνυν R. ib. ἔκβαλε P. 15. ιθ' ετηρίδος P.

A. C. [Ol. Iph.]

CCCXLIX. Olympias.

6124. 616. VI. Ind. IV. Ind. Post Cons. Heraclii Augusti V. 4.

Et ab ipso XXII. die mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* IV.

A Christi Domini nativitate, usque ad hunc Consulatum, exacti sunt anni DCXIX. et coepit annus DCXX. Ex his usque ad ejus Passionem subtractis annis XXXIII. restant anni DLXXXVI. Ergo ante DLXXXVI. annos, mensis Martius feria V. incoepit. Nam DLXXXVI. annis adde Bissextiles, hoc est CXLVII. quia modo Bissextus instat, his additis, fient DCCXXXIII. Abjice ex his septies CIV. reliquum erit V. Numera V. a V. feria, et desines in feria II. quod ita est. Martius enim inchoante IV. Indictione, incipit hebdomadis feria II.

Rursum si XIX. annorum Cycli Indictiones quaeramus, inveniemus ante DLXXXVI. annos, hoc est XXX. Cyclos, XI. esse Indictionem. XI. enim ad XI. colligunt DLXXI. Relinquuntur enim XV. nempe XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. I. II. III. IV. V. VI. VII. Haec enim nunc est. Numerantes igitur ante DLXXXVI. annos lunam, reperimus illam XXIII. die Martii illius quae erat in die Parasceves, esse XIV. ut esset Pascha Ju-

τῶν Ἰουδαίων, ὅτε ὁ κύριος ἐσταυρώθη, ἀπὸ ἑσπέρας τῆς παρασκευῆς. ἀνέστη δὲ κύριος τῇ ἐφεξῆς κυριακῇ, ἥτις ἦν κε' τοῦ αὐτοῦ μαρτίου μηνός. συνᾴδει δὲ ταῦτα καὶ τὰ προταττόμενα παρὰ τῶν ἀξιολόγων ἀνδρῶν ἐν τῇ τῶν φωστήρων ψηφοφορίᾳ.

Ἰνδ. ε'. ζ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ϛ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς P 389
βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ε'. R 890

Ἰνδ. ϛ'. η'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ζ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ϛ'.

Τούτῳ τῷ ἔτει ἀπῃτήθησαν οἱ κτήτορες τῶν πολιτικῶν ἄρτων διὰ διαγραφῶν καθ' ἕκαστον ἄρτον νομίσματα γ'. καὶ μετὰ τὸ παρασχεῖν πάντας εὐθέως τῷ αὐγούστῳ μηνὶ αὐτῆς τῆς
ϛ' ἰνδικτιῶνος ἀνῃρτήθη τελείως ἡ χορηγία τῶν αὐτῶν πολιτικῶν B
ἄρτων.

Ἰνδ. ζ'. θ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ η'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, V 310
τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ζ'.

τν' Ὀλυμπιάς.

Ἰνδ. η'. ι'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ θ'.

3. πραττόμενα P. 6. κβ'] κα' V. 7. 10. 18. ἔτους P. 12. γραφῶν R.

daeorum, cum Dominus passus est, a vespera Parasceves. Resurrexit Dominus deinde Dominica die, quae in XXII. incidit ejusdem Martii. Concinunt autem quae a magnis viris acta sunt in luminarium supputatione.

A. C. [Ol. Iph.]

617. VII. Ind. V. Post Cons. Heraclii Augusti VI. 1. 344.

Et ab ipso die XXII. Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* V.

618. VIII. Ind. VI. Post Cons. Heraclii Augusti VII. 2.

Et ab ipso XXII. die Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VI.

Hoc anno, possessoribus, seu civibus, qui jure panum civilium gaudebant, exacta sunt vice indictionis, in singulos panes tria numismata: et postquam omnes ea dedere, statim mense Augusto ejusdem Indictionis VI. universae panum civilium largitiones sublatae sunt.

619. IX. Ind. VII. Post Cons. Heraclii Augusti VIII. 3.

Et ab ipso die XXII. ejusdem mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VII.

CCCL. Olympias.

620. X. Ind. VIII. Cons. Heraclii Augusti IX. 4.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος η'.

Ἰνδ. θ'. ια'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ι'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος θ'.

P 390 *Ἰνδ. ι'. ιβ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου ἔτος ια'.*

B *Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ι'.*

V 311 *Ἰνδ. ια'. ιγ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιβ'.*

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ια'.

P 391 *Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δαισίῳ, κατὰ Ῥωμαίους ἰουνίου ε', ἡμέρᾳ πρώτῃ, ὄντος τοῦ βασιλέως Ἡρακλείου εἰς τὰ Θρᾴκια μέρη μετά τινων ἀρχόντων καί τινων οὐ μόνον κτητόρων καὶ κλη-*
C *ρικῶν, ἀλλὰ γὰρ καὶ ἐργαστηριακῶν καὶ δημοτῶν ἐξ ἑκατέρου μέρους καὶ πλήθους ἄλλου οὐκ ὀλίγου, πλησιάσαντος τῷ μακρῷ τείχει τοῦ Χαγάνου τῶν Ἀβάρων μετὰ πλήθους ἀπείρου, μελλούσης, ὡς καθὼς ἐφημίσθη, μεταξὺ Ῥωμαίων καὶ Ἀβάρων εἰρήνης γίνεσθαι, καὶ μέλλοντος ἱππικοῦ ἐν Ἡρακλείᾳ ἄγεσθαι, τῇ φήμῃ ταύτῃ συναπαχθὲν πλῆθος ἄπειρον ἐξῆλθεν ἐκ τῆς πανευδαίμονος, καὶ περὶ ὥραν δ' τῆς κυριακῆς αὐτῆς ὁ Χαγάνος*

2. *νέου* om. R. 3. *μετὰ — 9. ιγ'* om. R. 6. *ἔτος*] *τὸ* P. 8. *ἔτους* P. 10. *καὶ*] *τῆς* R. 19. *εἰρήνην* P, *εἰρήνης* V, m. R. 20. *συναχθὲν* P.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VIII.

621. XI. Ind. IX. Post Cons. Heraclii Augusti X. 1. 350.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* IX.

622. XII. Ind. X. Post Cons. Heraclii Augusti XI. 2.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* X.

623. XIII. Ind. XI. Post Cons. Heraclii Augusti XII. 3.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* XI.

Hoc anno, mense Desio, secundum Romanos Junii V. feria I. cum Imperator Heraclius in Thraciae partibus versaretur una cum Proceribus et civibus, atque Clericis, atque adeo cum opificibus, plurimis etiam ex utraque Factione, ac plebe, Avarum Chagano ad Longum Murum cum innumera multitudine etiam accedente, quod, ut rumor increbuerat, Romanos inter ac Avares pax esset conficienda, tum etiam quod Heracleae Ludi Circenses celebrandi essent, hac fama excita multitudo infinita, ex Felice Urbe egressa est. Et circa horam IV. ipsius Dominicae, Avarum

τῶν Ἀβάρων τῷ φραγελλίῳ αὐτοῦ ἔνευσεν, καὶ πάντες οἱ σὺν αὐτῷ ὁρμήσαντες εἰσῆλθαν τὸ μακρὸν τεῖχος, ἐκείνου μείναντος ἔξωθεν τοῦ τείχους μετά τινων τῶν αὐτοῦ, καὶ ὡς καθὼς εἶπεν ὅτι καὶ τὸ τεῖχος εἰσήρχετο καὶ τὴν πόλιν παρελάμβανεν, εἰ μὴ D ὅτι ὁ θεὸς αὐτὸν ἐκώλυσεν. πλὴν οἱ αὐτοῦ εἰσελθόντες αὐτῇ τῇ κυριακῇ ἀπὸ ἑσπέρας ἕως τῆς Χρυσῆς πόρτας πάντας ἐπραίδευ- R 892 σαν οὓς ηὗρον ἔξω τῆς πόλεως μετὰ καὶ τῶν ἐν τοῖς προαστείοις ὅπως οὖν εὑρεθέντων ἀνθρώπων τε καὶ ἀλόγων παντοδαπῶν. εἰσῆλθαν δὲ καὶ εἰς τοὺς ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἐν Βλαχέρναις, καὶ εἰς τὸν Ἀρχάγγελον πέραν εἰς τὰ Προμώτου, καὶ οὐ μόνον ὅτι τὰ κιβούρια καὶ ἄλλα κειμήλια ἀφείλαντο, ἀλλὰ καὶ αὐτὴν τὴν ἁγίαν τράπεζαν τῆς ἐκκλησίας τοῦ Ἀρχαγγέλου κατέκλασαν, καὶ πάντας μετὰ τῶν ἀφαιρεθέντων αὐτῶν μετῴκι- P 390 σαν πέραν τοῦ Δανουβίου, μηδενὸς ἀντιστατοῦντος.

τνα' Ὀλυμπιάς. P 391

Ἰνδ. ιβ'. ιδ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιγ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιβ'.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ, ε' καὶ κ' τοῦ μηνός, τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς δεσποίνης

1. φραγγελίῳ P. 2. εἰσῆλθον P. 6. ἑσπέραν V. 9. εἰσῆλθον P. *ib.* καὶ om. P. 11. κιβώρια P. *ib.* ἀφείλοντο P. 13. μετῴκησαν PV. 19. σύστρῳ R.

Chaganus flagello suo signum dedit, statimque omnes qui cum illo erant Longum Murum impetu facto ingressi sunt, ipso extra Murum cum aliquot familiaribus manente, cum, ut dixisse fertur, simul atque Murum ingressus esset, urbem se facile occupaturum sibi persuaderet: quod sane accidisset, nisi illum prohibuisset Deus. Illius tamen copiae ipsa Dominica, ingressae circa vesperam usque ad Auream portam, quotquot extra urbem repererunt, vel in suburbanis, et quidquid hominum vel animalium inventum fuit, in praedam rapuere. Ingressi sunt etiam sacram aedem Sanctorum Cosmae et Damiani in Blachernis: et Ecclesiam Sancti Archangeli trans urbem in Promoti Suburbano: in iisque non Ciboria duntaxat, et alia cimelia abstulerunt, sed ipsam etiam sacram Mensam Ecclesiae Archangeli confregerunt, omnesque cum praeda captivos secum trans Danubium, obsistente nemine, abduxerunt.

A. C. — Anni a m. c. — [Ol. Iph.]

CCCLI. Olympias.

624. XIV. Ind. XII. Post Cons. Heraclii Augusti XIII. 3. 6132.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* XI.

Hoc anno, mense Dystro, secundum Romanos, Martio, quinto et vicesimo mensis die festo Annuntiationis Dominae nostrae Dei Genitricis,

ἡμῶν τῆς θεοτόκου, ἐξῆλθεν ἐπὶ τὰ ἀνατολικὰ μέρη ὁ βασιλεὺς
Ἡράκλειος ἅμα τοῖς αὐτοῦ τέκνοις Ἡρακλείῳ καὶ Ἐπιφανίᾳ τῇ
καὶ Εὐδοκίᾳ καὶ τῇ βασιλίσσῃ Μαρτίνᾳ, καὶ ἐποίησεν σὺν αὐ-
τοῖς τὴν πασχαλίαν ἑορτὴν πλησίον τῆς πόλεως Νικομηδείας.
C καὶ μετὰ τὴν ἑορτὴν αὐτὸς μὲν ὁ βασιλεὺς Ἡράκλειος μετὰ Μαρ-
τίνης τῆς βασιλίσσης ὥρμησαν ἐπὶ τὰ ἀνατολικὰ μέρη, συνόντος
αὐτοῖς καὶ Ἀνιανοῦ δομεστίκου τοῦ μαγίστρου. τὰ δὲ τέκνα αὐ-
τοῦ ὑπέστρεψαν ἐν Κωνσταντινουπόλει.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, τῆς
D ιβʹ ἰνδικτιῶνος, ἐπὶ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως,
ἐπενοήθη ψάλλεσθαι μετὰ τὸ μεταλαβεῖν πάντας τῶν ἁγίων μυ-
στηρίων ἐν τῷ μέλλειν τοὺς κληρικοὺς ἐπὶ τὸ σκευοφυλάκιον ἀπο-
καθιστᾶν τὰ τίμια ῥιπίδια, δισκάρια καὶ ποτήρια καὶ ἄλλα
ἱερὰ σκεύη, μετὰ τὸ ἐκ τῶν παρατραπεζίων καὶ τὴν διάδοσιν
ἀποτεθῆναι πάντα εἰς τὴν ἁγίαν τράπεζαν, καὶ ψαλθῆναι τὸν
τελευταῖον στίχον τοῦ κοινωνικοῦ, λέγεσθαι καὶ τοῦτο το τροπά-
ριν, Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως, κύριε, ὅπως ἂν
ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου
μετασχεῖν μυστηρίων. τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην
τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. ἀλληλούια.

R 894
P 391 Ἰνδ. ιγʹ. ιεʹ. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιδʹ.

2. Ἡρακλεῖ V. *ib.* τῇ καὶ] τῇ R. 5. ὁ om. R. 6. ὥρμησεν P sola. 7. μεγίστου P. 12. ἀποκαθιστάναι P. 16. λέγεται R. *ib.* τροπάριον P. 17. ὅπως ἀνυμνήσωμεν P. 18. ἡμᾶς om. R. 20. ἀλλελούια V.

profectus in Orientales partes Imperator Heraclius cum liberis suis Heraclio, Epiphania quae et Eudocia dicta, et Imperatrice Martina, Paschales ferias juxta urbem Nicomediam peregit. Iisque exactis, idem Imperator Heraclius cum Martina Imperatrice in Orientis regiones perrexit, habens in comitatu Anianum Domesticum maximum. Liberi vero illius Constantinopolim reversi sunt.

Hoc anno, mense Artemisio, secundum Romanos Maio, xii. Indict. sub Sergio Patriarcha Constantinopolitano tum primum inductum est, ut postquam omnes sacra mysteria perceperunt, cum Clerici relaturi sunt in Scevophylacium pretiosa Muscaria, Discos et Calices, atque alia sacra vasa, et post datam fidelibus ex appositis mensis Communionem, omnia in sacram Mensam referuntur, post exactum denique ultimum versum Communionis, caneretur haec Antiphona: *Impleatur os nostrum laude, Domine, ut celebremus gloriam tuam, quia nos sanctis tuis mysteriis dignatus es. Serva nos in sanctificatione, toto die meditantes justitiam tuam. Alleluia.*

625. xv. Ind. xiii. Post Cons. Heraclii Augusti XIV. 4.

Καὶ ἀπὸ κβ′ καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιγ′.

Ἰνδ. ιδ′. ις′. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου ἔτος ιε′. B

Καὶ ἀπὸ κβ′ καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιδ′.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ, ἐφάνη ἐπὶ δ′ ἡμέρας ἀστὴρ φαιδρὸς πάνυ κατὰ δυσμὰς μετὰ δύσιν ἡλίου.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, ιδ′, ἡμέρᾳ δ′, αὐτῇ τῇ ἁγίᾳ μεσοπεντηκοστῇ, συνήχθησαν αἱ σχολαὶ καὶ ἄλλοι πολλοὶ τοῦ πλήθους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ κατέκραξαν Ἰωάννου τοῦ ἐπίκλην Σεισμοῦ, ὡς θελήσαντος C *ἐπᾶραι τὰ ψώμια τῶν σχολῶν εἰς ὄνομα τῶν στρατιωτῶν· καὶ τοῦ πατριάρχου Σεργίου ὑποσχομένου ἀποθεραπεύειν τὸν ὄχλον, εἰ μόνον ἐνδώσωσι γενέσθαι τὴν θείαν λειτουργίαν.*

Τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς πάλιν πλειόνων εὑρεθέντων ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ κατακραξάντων τοῦ λεχθέντος Ἰωάννου, ὁ μὲν πατριάρχης καὶ Ἀλέξανδρος ὁ ἔπαρχος τῶν πραιτωρίων καὶ ἄλλοι τινὲς τῶν ἀρχόντων καὶ Λεόντιος κόμης τοῦ ὀψαρίου καὶ σπαθάριος, ἀνῆλθαν εἰς τὸν ἄμβωνα τῆς μεγάλης ἐκκλησίας, καὶ κραυγῶν πολλῶν γενομένων D *κατὰ τοῦ ῥηθέντος Ἰωάννου τοῦ ἐπίκλην Σεισμοῦ ἀπὸ τοῦ κοι-*

3. *ἔτος*] *τὸ* P. 4. *καὶ*] *τῆς* P. 17. *κατακραζόντων* P. 20. *ἀνῆλθον* P.

Et ab ipso die XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* XIII.

626. XVI. Ind. XIV. Post Cons. Heraclii Augusti XV. 1. 351.

Et ab ipso die XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* XIV.

Hoc anno, mense Dystro, secundum Romanos, Martio, apparuit sydus fulgentissimum versus occidentem, post occasum solis.

Hoc anno, mense Artemisio, secundum Romanos Maio, XIV. feria IV. in quam incidit Media Pentecoste, convenerunt Scholae (Palatinae) una cum multis aliis ex plebe, in sanctissima Magna Ecclesia, clamoribusque consecuti sunt Joannem cognomento Sismum, quod tollere vellet panes Scholarum in sportulas militum dari consuetos: Sergio Patriarcha interea pollicente operam suam se collaturum ut satis iis fieret, dummodo sinerent sacram Liturgiam peragi.

XIV. ejusdem mensis die, pluribus rursum in sanctissima magna Ecclesia coactis, et clamitantibus contra praedictum Joannem, Patriarcha et Alexander Praefectus Praetorio, et alii quidam ex Magistratibus, et Leontius Comes piscium et Spatharius, Magnae Ecclesiae Ambonem conscenderunt, multisque clamoribus contra eundem Joannem cognomento

νοῦ εἰς τὸ μηκέτι αὐτὸν παρελθεῖν διὰ πολιτικοῦ πράγματος,
ἐκεῖνος μὲν καθῃρέθη καὶ κατεβλήθησαν αὐτοῦ παραχρῆμα αἱ
V 312 εἰκόνες. ὁ δὲ ἔπαρχος τῶν πραιτωρίων Ἀλέξανδρος προσεφώνησε,
λέγων ὅτι Ἀπὸ ἄρτι πρὸς ἐμὲ ἔχετε χάριν τῶν ψωμίων καὶ ἐλπί-
ζω ἐν τάχει ποιῶ διόρθωσιν εἰς αὐτό. ὁ γὰρ λεχθεὶς Ἰωάννης ὁ
Σεισμὸς γ' φόλλεων πιπρασκομένου τοῦ ψωμίου αὐτὸς η' φόλ-
λεων αὐτὸ ἠβουλήθη ποιῆσαι· καὶ ὁ θεὸς κατέβαλε τὴν βου-
λὴν αὐτοῦ.

P 392 Καλὸν δὲ διηγήσασθαι ὅπως καὶ νῦν ὁ μόνος πολυέλεος καὶ
R 896 εὔσπλαγχνος θεὸς τῇ εὐπροσδέκτῳ πρεσβείᾳ τῆς ἀχράντου αὐ-
τοῦ μητρὸς καὶ κατὰ ἀλήθειαν δεσποίνης ἡμῶν θεοτόκου καὶ
ἀειπαρθένου Μαρίας τὴν ταπεινὴν ταύτην αὐτοῦ πόλιν ἔσωσεν
ἐκ τῶν κατὰ συμφωνίαν κυκλωσάντων αὐτὴν παναθέων ἐχθρῶν
τῇ κραταιᾷ αὐτοῦ χειρί, καὶ τὸν ἐν αὐτῇ εὑρεθέντα λαὸν ἐλυ-
τρώσατο τῆς προσδοκωμένης μαχαίρας, αἰχμαλωσίας τε καὶ πι-
κροτάτης δουλείας, ὃ οὐδεὶς τῶν πάντων εὐπορήσει διηγήσασθαι.
ὁ γὰρ ἐπικατάρατος Σαλβάρας, ἔξαρχος τοῦ Περσικοῦ στρατοῦ,
B ἐκδεχόμενος, ὡς ἔοικεν, καὶ ἔργοις δὲ τελευταῖον ἀπεδείχθη,
τὴν τοῦ παναθέου Χαγάνου τῶν Ἀβάρων ἐπέλευσιν, πρὸ πλεί-
στων τούτων ἡμερῶν γενόμενος ἐν Χαλκηδόνι πάντα τά τε προά-
στεια καὶ παλάτια καὶ τοὺς εὐκτηρίους οἴκους ἀθέως ἐνέπρησεν,

4. (ὡς) ἐλπίζω P sola. 16. ὃ addidit P sola. 20. τε et καὶ παλάτια om. P.

Sismum a populo excitatis, ut a publicae rei administratione amoveretur, exauctoratus est, statuaeque illius extemplo dejectae. Alexander autem Praefectus Praetorio multitudinem sic est allocutus: *Panes deinceps a me accipietis, ac futurum spero, uti brevi res ad priorem statum revocetur.* Quippe Joannes iste Sismus, cum tribus duntaxat Follibus panis venderetur, rem ipse eo deducere conabatur, uti octo Folles exigerentur: sed Deus consilium ejus evertit.

Operae pretium porro videtur exponere, quemadmodum et nunc solus misericors ac clementia plenus Deus per acceptissimam intemeratae matris ipsius, et vere Dominae nostrae Dei Genitricis, et semper Virginis Mariae intercessionem, humilem hanc suam urbem ex impiis hostibus, inita invicem conjuratione hanc obsidentibus, et cingentibus, potenti sua manu, et qui tum in ea erat populum ab imminente gladio, captivitate, et acerbissima servitute liberaverit: quae quidem omnia nemo satis poterit exponere. Etenim execrandus ille Salbaras, Persici exercitus Dux et Exarchus, cum expectaret, ut vero simile est, et ex factis demum apparuit, Deo invisi Avarum Chagani adventum, interim complures ante dies castris ad Chalcedonem positis, suburbana omnia, et sacras aedes incendio sacrilege absumpsit: ibique mansit, illius adventum praestolatus.

καὶ ἔμεινεν λοιπὸν τὴν ἐκείνου παρουσίαν ἐκδεχόμενος. τῇ οὖν κθ' τοῦ ἰουνίου μηνὸς τῆς παρούσης ιδ' ἰνδικτιῶνος, τουτέστιν τῇ ἡμέρᾳ τῆς συνάξεως τῶν ἁγίων καὶ ἐνδόξων κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, κατέλαβε πρόκουρσον τοῦ θεομισήτου Χαγάνου, ὡς ἄχρι χιλιάδων τριάκοντα, διὰ δηλωμάτων φημίσαντος τό τε μακρὸν τεῖχος καταλαβεῖν καὶ τὰ ἔνδον αὐτοῦ, ὥστε τοὺς εὑρεθέντας ἔξωθεν τῆς πόλεως ἐφίππους γενναιοτάτους C στρατιώτας κατὰ τὴν αὐτὴν ἡμέραν, κυριακὴν οὖσαν, ἔνδον γενέσθαι τοῦ νέου Θεοδοσιακοῦ τείχους ταύτης τῆς βασιλίδος πόλεως, καὶ ἔμεινεν τὸ αὐτὸ πρόκουρσον ἐπὶ τὰ μέρη Μελαντιάδος, ὀλίγων ἐξ αὐτῶν ἐκτρεχόντων μέχρι τοῦ τείχους ἐκ διαλειμμάτων, καὶ μὴ συγχωρούντων τινὰ ἐξιέναι ἢ ὕλως ἀλόγων δαπάνας συλλέγειν. ἐν τῷ μέσῳ δὲ ἄχρις ἡμερῶν δέκα ἐφεξῆς διαδραμουσῶν, καὶ μηδενὸς τῶν ἐχθρῶν σύνεγγυς τοῦ τείχους φανέντος, ἐξῆλθαν στρατιῶται μετὰ παλλικαρίων καὶ πολιτῶν, ὀφείλοντες ὡς ἀπὸ δέκα μιλίων θερίσαι ὀλίγα γεννήματα, καὶ συνέβη ἀπαντηθῆναι αὐτοῖς τοὺς ἐχθροὺς καὶ ἔνθεν κἀκεῖθέν τινας διαπεσεῖν, D συσχεθῆναι δὲ καί τινας ἐκ τῶν παλλικαρίων, τῶν στρατιωτῶν καὶ τῶν πολιτῶν τῶν ἐξελθόντων σὺν αὐτοῖς. εἰ μὴ γὰρ συνέβη τοὺς στρατιώτας περισπασθῆναι εἰς τὸ ἐκδικῆσαι τὰ ἴδια παλλικάρια καὶ τοὺς πολίτας, ἱκανοὶ ἐφονεύοντο ἐκ τῶν ἐχθρῶν κατ' ἐκείνην τὴν ἡμέραν. μετ' οὐ πολὺ δέ τινων ἐχθρῶν ἄχρι μιᾶς χιλιάδος

9. τοῦ ταύτης P. 14. ἐξῆλθον P. 15. καὶ om. R, uncis inclusit P. 19. τῶν alterum om. P.

Itaque XXIX. Junii mensis, praesentis XIV. Indictionis, die scilicet festo sanctorum et illustrium Coryphaeorum Apostolorum Petri et Pauli, accessit prima acies Deo odiosi Chagani, triginta circiter hominum millium; per nuntios promulgantis se quamprimum Longum Murum occupaturum, et quidquid intra illum est: ita ut quotquot ex equitibus ac fortissimis militibus qui hactenus extra urbem erant, hoc ipso die, qui in Dominicam incidit, intra novum Theodosiacum murum hujus urbium Reginae se confestim reciperent. Mansitque prima ista acies circa Melantiadem, paucis ex iis usque ad muros per intervalla excurrentibus, et quenquam exire, vel ad equorum pabulationem quidquam colligere prohibentibus. Elapsis interea diebus decem, nemine ex hostibus ad moenia apparente, egressi milites cum calonibus et civibus, uti ad decimum ab urbe lapidem meterent exiguam segetem, in hostes incidere, aliquot ex iis caesis, quibusdam etiam ex militum calonibus et ex civibus qui cum iis egressi fuerant, captis. Nisi tamen milites in calonibus suis defendendis fuissent occupati, magnum satis ex hostibus numerum eo die interfecissent. Caeterum non multo post circiter mille ex hostibus, hoc ipso die, juxta

ἐλθόντων πλησίον τοῦ σεβασμίου οἴκου τῶν ἁγίων Μακκαβαίων
πέραν ἐν Συκαῖς, καὶ ἐμφανισάντων ἑαυτοὺς τοῖς Πέρσαις, κἀ-
κείνων συναχθέντων ἐπὶ τὰ μέρη Χρυσοπόλεως, καὶ γνωρισάν-
P 393 των ἀλλήλοις διὰ πυρκαϊᾶς τὴν ἑαυτῶν παρουσίαν, ἐν τῷ μέσῳ
ἀπέλυσεν ὁ ἐπικατάρατος Χαγάνος Ἀθανάσιον τὸν ἐνδοξότατον
R 898 πατρίκιον ἀπὸ τῶν μερῶν Ἀδριανουπόλεως, εἰρηκὼς αὐτῷ ὅτι
Ἄπελθε καὶ ἴδε πῶς θέλουσιν οἱ τῆς πόλεως θεραπεῦσαί με
καὶ τί θέλουσί μοι δοῦναι, ἵνα ὑποστρέψω εἰσελθόντος οὖν
αὐτοῦ Ἀθανασίου τοῦ ἐνδοξοτάτου, καὶ ταῦτα ἀπαγγείλαντος
Βόνῳ τῷ ἐνδοξοτάτῳ πατρικίῳ καὶ μαγίστρῳ καὶ τοῖς λοιποῖς
V 313 ἄρχουσι, κἀκείνων ἐπιμεμψαμένων αὐτῷ οὕτως ὑποπεσόντι τῷ
ἐπικαταράτῳ Χαγάνῳ καὶ ὑποσχομένῳ τοὺς τῆς πόλεως τὰ θε-
ραπεύοντα αὐτὸν πράττειν, τότε Ἀθανάσιος ὁ ἐνδοξότατος εἶπεν
B ταῦτα αὐτῷ ῥηθῆναι παρὰ τῶν ἐνδοξοτάτων ἀρχόντων κατὰ τὸν
καιρὸν καθ᾽ ὃν εἰς πρεσβείαν ἐστέλλετο· λοιπὸν δὲ μηδὲ μεμα-
θηκέναι αὐτὸν οὕτω τὰ τοῦ τείχους κατησφαλίσθαι καὶ στρατὸν
ἐνταῦθα παρεῖναι· πλὴν ἑτοίμως ἔχειν αὐτὸν τὴν αὐτῷ διδομέ-
νην ἀπόκρισιν λέγειν ἀπαραλλάκτως τῷ Χαγάνῳ. εἶτα ἐπιζητή-
σαντος τοῦ αὐτοῦ ἐνδοξοτάτου Ἀθανασίου πρότερον ἐθέλειν θεω-
ρῆσαι τὸν ἐν τῇ πόλει ὄντα στρατόν, ἀρμαστατιῶνος γενομένης
ηὑρέθησαν τῶν ἐνδημούντων ἐν τῇ πόλει καβαλλαρίων περὶ τὰς
ιβ′ καὶ πρὸς χιλιάδας. καὶ τότε δέδωκαν αὐτῷ οἱ ἄρχοντες ἀντα-
C πόκρισιν ὀφείλουσαν πάντως παρασκευάσαι τὸν ἐπικατόρατον

8. ἐλθόντος R. 15. μηδὲ om. R.

venerandam aedem Sanctorum Maccabaeorum ultra Sinum in Sycis, accedentibus, ac sese Persis visendos praebentibus, qui versus Chrysopolim castra posuerant, suam inter se per ignes praesentiam significantibus. Interim execrandus Chaganus Athanasium clarissimum Patricium Adrianopoli cum his dictis amandavit: *Abi, et vide qua ratione velint cives me placare, quaeve dona offerre, ut hinc recedam.* Veniente igitur ipso gloriosissimo Athanasio, haecque Bono gloriosissimo Patricio et Magistro, caeterisque Magistratibus exponente, iisque Athanasium objurgantibus, quod abominando Chagano ita se subdiderit, fueritque pollicitus urbis cives quae illi placitura essent executuros: tum gloriosissimus Athanasius haec sibi data esse in mandatis dixit a gloriosissimis Magistratibus quo tempore legatus missus fuerat: caeterum neque scire se ita muros esse munitos, copiasque hic adesse: nihilominus paratum se datum Chagano responsum iisdem verbis referre. Deinde cum gloriosissimus Athanasius, priusquam reverteretur, quantae essent in urbe copiae videre vellet, lustratione facta, reperta sunt in urbe existentium equitum circiter millia duodecim. Tum Magistratus jusserunt ea responderi quae execrandum Chaganum omnino persuaderent ad exercitum a moenibus, seu

Χαγάνον πλησιάσαι τῷ τείχει ἤγουν τῇ πόλει. εἶτα Ἀθανασίου τοῦ ἐνδοξοτάτου τὰ πρὸς ἐκεῖνον φθάσαντος, καὶ μὴ δεχθέντος, ἀλλὰ λέγοντος τοῦ καταράτου Χαγάνου ὅλως μὴ ἐνδιδόναι, εἰ μήδ' ὂν καὶ τὴν πόλιν καὶ τοὺς ἐν αὐτῇ ὄντας κομίσηται, τῇ κθ' τοῦ Ἰουλίου μηνὸς αὐτὸς ὁ θεομίσητος Χαγάνος κατέλαβε τὸ τεῖχος μετὰ ὅλου τοῦ ὄχλου αὐτοῦ, καὶ ἔδειξεν ἑαυτὸν τοῖς τῆς πόλεως. μετὰ μίαν ἡμέραν, τουτέστιν τῇ λα' τοῦ αὐτοῦ Ἰουλίου μηνός, ἦλθεν παρατασσόμενος πόλεμον [καὶ ἔμεινεν ἀπὸ ἕωθεν ἕως ὥρας ια' πολεμῶν] ἀπὸ τῆς λεγομένης Πολυανδρίου πόρτας καὶ ἕως τῆς πόρτας τοῦ Πέμπτου καὶ ἐπέκεινα σφοδροτέρως· ἐκεῖ D *γὰρ τὸν πολὺν αὐτοῦ παρέστησεν ὄχλον, στήσας εἰς ὄψιν κατὰ τὸ λοιπὸν μέρος τοῦ τείχους Σκλάβους. καὶ ἔμεινεν ἀπὸ ἕωθεν ἕως ὥρας ια' πολεμῶν, πρῶτον μὲν διὰ πεζῶν Σκλάβων γυμνῶν, κατὰ δὲ δευτέραν τάξιν διὰ πεζῶν ζαβάτων. καὶ περὶ ἑσπέραν ἔστησεν ὀλίγα μαγγανικὰ καὶ χελώνας ἀπὸ Βραχιαλίου καὶ ἕως Βραχιαλίου. καὶ πάλιν τῇ ἑξῆς ἔστησε πλῆθος μαγγανικῶν εἰς τὸ μέρος ἐκεῖνο τὸ πολεμηθὲν παρ' αὐτοῦ σύνεγγυς ἀλλήλων, ὡς ἀναγκασθῆναι τοὺς τῆς πόλεως πάμπολλα στῆσαι μαγγανικὰ* R 900 *ἔνδοθεν τοῦ τείχους τῆς μάχης καθ' ἑκάστην τῶν πεζῶν συγκροτουμένης, καὶ τῶν ἡμετέρων κατὰ θεοῦ δημιουργίαν ἐκ τοῦ περιγεγονότος ἀποσοβούντων μήκοθεν τοὺς ἐχθρούς. ἐκαλάμωσε δὲ* P 394 *τὰς πετραρίας αὐτοῦ καὶ ἔξωθεν ἐβύρσωσεν. παρεσκεύασεν δὲ*

1. *μὴ πλησιάσαι* Ducangius. 3. *μοι* P. 8. Seclusi *καὶ — πολεμῶν*. 9. *Κολιανδρίου* hic et infra RV. 12. *καὶ — πολεμῶν* om. P. 14. *διὰ* om. P.

urbe, amovendum. Cum ergo gloriosissimus Athanasius ad execrandum Chaganum pervenisset, ab eo minime exceptus est, illo dicente, sibi omnia esse tradenda, sin minus, urbem funditus eversurum se, et quotquot in ea erant abducturum.

XXIX. Julii mensis die, Deo invisus Chaganus accessit ad moenia cum universis copiis, ac seipsum civibus ostendit. Post diem unum exactum, scilicet XXXI. ejusdem mensis Julii, accessit ad praelium paratus, mansitque a prima luce usque ad horam XI. bellum fortiter ciens a porta Polyandrii usque ad portam Quinti, atque adeo ulterius: ibi enim plurimum militem statuit in ipsius urbis conspectu, in reliqua vero muri parte Sclavos, ac primam quidem eorum aciem pedestrem nudam, alteram pedestrem loricatam. Tum sub vesperam machinas aliquot et testudines admovit a Brachialio usque ad Brachialium. Rursum postero die multa tormenta in illam partem quae ab ipso oppugnabatur, statuit, ita inter se proxima, ut necesse fuerit obsessis quam plurimas machinas intra muros apponere, peditibus quotidie invicem pugnantibus, nostrisque, Dei providentia, victoribus, ac hostes longe propulsantibus. Confecit praeterea machinas jaculatorias, quas extrorsum corio texit. Aedificavit autem in eo spatio,

εἰς τὸ διάστημα τὸ ἀπὸ τῆς Πολυανδρίου πόρτας ἕως τῆς πόρτας τοῦ ἁγίου Ῥωμανοῦ στῆναι ιβ′ πυργοκαστέλλους ὑψηλούς, φθάνοντας σχεδὸν ἕως τῶν προμαχεώνων, καὶ ἐβύρσωσεν αὐτούς. καὶ οἱ εὑρεθέντες δὲ ναῦται ἐν τῇ πόλει καὶ αὐτοὶ ἐξῆλθον εἰς συμμαχίαν τοῖς πολίταις· καὶ εἷς ἐξ αὐτῶν τῶν ναυτῶν ἐμηχανήσατο καταρτίαν καὶ ἐκρέμασεν εἰς αὐτὴν κάραβον, ὀφείλων δι' αὐτοῦ ἐμπρῆσαι τοὺς πυργοκαστέλλους τῶν ἐχθρῶν, ὅντινα ναύτην καταπλήξαντα τοὺς πολεμίους οὐ μετρίως συνεκρότησε Βόνος ὁ πανεύφημος μάγιστρος.

B Ὁ δὲ αὐτὸς εὐκλεέστατος μάγιστρος μετὰ τὸ ἐγγίσαι τὸν ἐχθρὸν τῷ τείχει οὐ διέλειπεν προτρέπων αὐτὸν λαβεῖν μὴ μόνον τὰ πάκτα αὐτοῦ, ἀλλὰ καὶ ἕτερον στίχον ὑπὲρ τοῦ ἐλθεῖν αὐτὸν ἕως τοῦ τείχους. καὶ οὐ προσεδέξατο, ἀλλ' ἔλεγεν ὅτι ἀναχωρήσατε τῆς πόλεως καὶ ἐάσατέ μοι τὰς ὑποστάσεις ὑμῶν, καὶ σώσατε ἑαυτοὺς καὶ τὰς φαμιλίας ὑμῶν. ἠγωνία δὲ χαλάσαι εἰς θάλασσαν τὰ μονόξυλα, ἅπερ ἤγαγεν μεθ' ἑαυτοῦ, καὶ οὐ συνεχωρεῖτο ἐκ τῶν σκαφοκαράβων. καὶ ταῦτα λοιπὸν παρεσκεύασεν χαλασθῆναι κατὰ τὴν γέφυραν τοῦ ἁγίου Καλλινίκου μετὰ τρίτην C ἡμέραν τοῦ πολεμῆσαι. διὰ τοῦτο δὲ παρεσκεύασεν ἐκεῖσε χαλασθῆναι τὰ μονόξυλα, ὡς τῶν τόπων ἐπιβράχων ὄντων, καὶ μὴ δυναμένων ἐκεῖσε τῶν σκαφοκαράβων παρεισελθεῖν. ἔμειναν δὲ οἱ

4. οἱ om. P. 10. αὐτὸς om R. ib. ἐκκλεέστατος R. ib. τῶν ἐχθρῶν m. R. 11. διέλιπε P. 13. ἀναχωρήσετε — ἐάσετε P. 15. χαλάσας P. 16. τὰ om. P. 21. οἱ om. P.

quod inter portam Polyandrii et portam Sancti Romani interjacet, XII. turres castellis instructas, praealtas, et quae ipsa fere propugnacula attingerent, quas et perinde corio munivit. Sed et Nautae qui erant in urbe, egressi, civibus subsidio erant: unusque ex iisdem nautis malum nauticum machinatus est, in cujus summitate navigiolum appendit, quo hostium turres castellis instructas incenderet: quem quidem nautam, qui hostes adeo perculerat, collaudavit Bonus gloriosus Magister.

Idem porro celebratissimus Magister, quoties ad moenia accessit, non destitit hostem hortari, non solum ut tributa sua acciperet, sed et alia quorum causa ad ipsa usque moenia venerat. Verum nihil ex his admisit, dixitque: *Urbe cedite, vestrasque fortunas mihi dimittite, servateque vos ipsos, et familias vestras.* Angebatur vero potissimum in trabariis, quas secum attulerat, in mare demittendis: cum a majoribus scaphis impediretur. Sed eas tandem in mare immittere decrevit versus pontem Sancti Callinici, triduo postquam coepit urbem oppugnare. Ideo vero hocce loco trabarias demittere ei visum est, quod loca illa essent vadosa, et ubi majora navigia accedere minime poterant. Manserunt igitur ea-

σκαφοκάραβοι εἰς ὄψιν τῶν μονοξύλων ἀπὸ τοῦ ἁγίου Νικολάου ἕως τοῦ ἁγίου Κόνωνος πέραν εἰς Πηγάς, μὴ συγχωροῦντες παρεξελθεῖν τὰ μονόξυλα.

Τῷ δὲ σαββάτῳ τῇ δείλῃ, τουτέστιν τῇ δευτέρᾳ τοῦ αὐγούστου μηνός, ἐζήτησεν ἄρχοντας ὁ Χαγάνος ὀφείλοντας αὐτῷ διαλεχθῆναι. καὶ δὴ ἐξῆλθον πρὸς αὐτὸν Γεώργιος ὁ ἐνδοξότατος πατρίκιος καὶ Θεόδωρος ὁ ἐνδοξότατος κομμερκιάριος ὁ τὴν ἴσατιν καὶ Θεοδόσιος ὁ ἐνδοξότατος πατρίκιος καὶ λογοθέτης καὶ D
Θεόδωρος ὁ θεοφιλέστατος σύγκελλος καὶ Ἀθανάσιος ὁ ἐνδοξότατος πατρίκιος. καὶ δὴ ἀπελθόντων αὐτῶν ἤγαγεν εἰς ὄψιν αὐτῶν ὁ Χαγάνος τρεῖς Πέρσας φοροῦντας ὁλοσήρικα, πεμφθέντας R 902
πρὸς αὐτὸν ἐκ τοῦ Σαλβάρα. καὶ ἐκείνους μὲν παρεσκεύασεν καθεσθῆναι ἐπὶ αὐτοῦ, τοὺς δὲ ἡμετέρους πρεσβευτὰς παρίστασθαι. καὶ εἶπεν ὅτι Ἰδοὺ οἱ Πέρσαι ἐπρέσβευσαν πρὸς ἐμέ, ἑτοίμως ἔχοντες δοῦναί μοι τρεῖς χιλιάδας εἰς συμμαχίαν. ἐὰν οὖν θέλετε λαβεῖν ἕκαστος τῶν ἐν τῇ πόλει πρὸς σάγιν καὶ κάμισιν, ποιοῦμεν σιγίλλιν πρὸς τὸν Σαλβάραν· φίλος γάρ μού ἐστιν, καὶ πε- P 395
ράσατε πρὸς αὐτόν, καὶ οὐκ ἀδικεῖ ὑμᾶς, καὶ ἐάσατέ μοι τὴν πόλιν καὶ τὰς ὑποστάσεις ὑμῶν· ἄλλως γὰρ ὑμᾶς οὐκ ἔνι σωθῆναι, μὴ ἰχθύες ἔχετε γενέσθαι καὶ διὰ θαλάσσης ἀπελθεῖν ἢ πτερωτοὶ καὶ εἰς τὸν οὐρανὸν ἀνελθεῖν. ἰδοὺ γάρ, ὡς λέγουσιν αὐτοὶ οἱ Πέρσαι, οὐδὲ ὁ βασιλεὺς ὑμῶν ἐν Περσίδι εἰσῆλθεν οὐδὲ

1. *Νικολάου — ἁγίου* om. P. 7. *Ἰσάτιν* PV. 9. *σύγγελλος* P. 13. *περίστασθαι* PV. 17. *σύγγιλιν* P. *ib.* *Σάρβαρον* P, *Σάλβαρον* R. *ib.* *περάσετε* P. 18. *ἐάσετε* P.

dem navigia in trabariarum conspectu ab aede sacra sancti Cononis trans Fretum, usque ad Fontes, cum transitum trabariis prohiberent.

